# ΘΕΟΚΡΙΤΟΣ.

ΠΑΡΑΦΡΑΣΘΕΙΣ, ΣΧΟΛΙΑΣΘΕΙΣ ΤΕ,

ΚΑΙ ΕΚΔΟΘΕΙΣ

ΥΠΟ

*ΝΕΟΦΥΤΟΥ ΔΟΥΚΑ.*

ΕΙΣ ΤΟΜΟΥΣ ΔΥΟ.

ΤΟΜΟΣ ΠΡΩΤΟΣ.



Ἀμφ' ἀρετῇ τρίβου, καί σοι τὰ δίκαια φίλ' ἔστω·
Μηδέ σε νικάτω κέρδος, ὅτ' αἰσχρὸν ἔοι.

Θέογν. 457.

Γρηγορίῳ Κωνσταντᾷ Νεόφυτος Δούκας εὖ πράττειν.

ΕΘΟΣ ἐςὶν ἀρχαῖον τοῖς τὰ ἑαυτῶν ἀφιεροῦσι πονήματα τά τ᾽ ἄλλα ἐπαινεῖν καὶ ἐξαιτεῖσθαι τοὺς, πρὸς οὓς ἡ ἀφιέρωσις γίγνεται, ὅπως τῇ τῆς δόξης ἐκείνων λαμπρότητι, ἥτις εἴη, τὸ ἑαυτῶν βιβλίον ἐπικοσμήσωσιν· ἐγὼ δὲ, Θεόκριτον, ἄνδρ᾽ ἄντικρυς ἐκδεδιῃτημένον τῇ γραφίδι, καὶ πρὸς ἡδονὴν ὡς μάλιστα δοκοῦντα κεχρῆσθαι ταῖς χάρισι, κἀντεῦθεν καὶ ἐρωτικῶν ἔσθ᾽ ὅπου λόγων ἀψάμενον ἐν τοῖς μέλεσι, τοῦτον δή σοι ἀνδρὶ σοβαρῷ καὶ ἀνέκαθεν σώφρονι ἀφοσιῶσαι βουλόμενος, τί ἂν εἴποιμι, τὰ οὕτως ἑτερόρρυθμα πειρώμενος συνάψαι πρὸς ἄλληλα; καὶ τίνας λόγους ἂν εὕροιμι πρὸς τὸν ἐμὸν Φωκίωνα, οἵους ἀποσεμνῦναι καὶ δικαιῶσαι τὴν ἀφοσίωσιν; εἰκὸς γὰρ ἐρεῖν τινας τῶν τὰ ἡμέτερα βασκαινόντων, τί ποτε παθόντες οἱ ἐσχατόγηροι οὗτοι, ἀμαυροῦσιν οὕτως ἑαυτῶν ἀναξίως τὸ ἐνδιαπρέπον ἑαυτοῖς γεραρόν; ὁ μὲν γὰρ αὐτῶν τὸ ὀγδοηκοστὸν ἔτος ἤδη ὑπερεληλακὼς, ὁ δ᾽ ἀφιερῶν μικρὸν ἐκείνου ὑπολειπόμενος, ἀμφότεροι ἀπὸ τοῦ ἴσου μετὰ τοῦ σώματος καὶ τὴν ψυχὴν ἐμα-

G. D. PETALLIDES

ράνθησαν, ἣν ἤδη ἔδει μάλιστα κατὰ τὸ ἀξίωμα, ἐκείνου ἐρρικνωμέναι· ἄνω γὰρ ποταμῶν κατά γε τὴν παροιμίαν ταῦτα δοκεῖ, ἃ νέοις μὲν ἴσως ἀπερισκέπτοις ἀρέσκει, γέρουσι δὲ μάλιστα πεπνυμένοις ἀπαρέσκει εἰκότως, ἀμφὶ ταῦθ᾽ ἡμᾶς ἔχειν· τὸν μὲν, ἑτοίμως ἀνατιθέντα· τὸν δὲ, ἡδέως ἀποδεχόμενον. Μῶν οὖν ἕτερα νῦν περὶ αὐτῶν (εἴποι γὰρ ἄν τις καὶ τοῦτο) καινοτομοῦσιν οἱ ἔρωτες, ἐπὶ γέροντας ἤδη διηγκυλισμέναι τὰ τόξα, ὧν τὰ βέλη οὐδὲ νέων ἔτ᾽ αὐτῶν δεδύνηνται καθικέσθαι; μῶν ἐπὶ τούτοις ὀργισθέντες, καὶ ἐκ μείζονος παρασκευῆς ὁρμηθέντες, ἐστράτευσαν καινοπρεπέστερον ἐπ᾽ αὐτοὺς δίκην νῦν ληψόμεναι παρ᾽ αὐτῶν, ὧν ποτε ἔδοξαν ἐξυβρίσθαι; οὐ γὰρ ἂν ἐς τέλος, φιλότιμοι ὄντες, τὸν παρ᾽ αὐτῶν φέροιεν γέλωτα.

Ταῦτα μὲν ἴσως ἐροῦσιν ἐκεῖναι, καὶ ἔτι τούτων πλείω, οἱ μὲν τῷ λόγῳ ἐνασμενίζαντες, οἱ δ᾽ ἴσως καὶ ἄλλως ὀξυρεγμοῦντες· ἡμεῖς δὲ θαῤῥῶμεν, σῖγα τόν τε μέτρον ἄγοντες πρὸς τὴν Σπάρτον, καὶ τὴν τοῦ Ἀρχιλόχου Ἀλώπεκα προϊσχόμεναι.

» Πόλλ᾽ οἶδ᾽ ἀλώπηξ, ὁ δέ γ᾽ ἐχῖνος ἓν μέγα.

Ἔστι γὰρ καὶ ἄλλως ἐν τοῖς ἀρχαίοις φιλοσοφεῖν, κἂν ᾖ, ὁποῖά ποτ᾽ ἂν ᾖ· καὶ τοσούτῳ μᾶλλον, ὅσῳ καὶ ἡ Ἄναρχος σοφία ἐν τοῖς γενικοῖς τοῦ ἔρωτας λόγοις θαυμάζεται μά-

G. D. PETALIDES

λιστα· ἀλλὰ δεῖ νοὸς πεπνυμένου καὶ ἐγκρατοῦς· οὗ ὅστις ἂν εὐπορήσῃ, πολλῶν ἀτόπων διέφυγε μεταμέλειαν.

Δέξαι τοίνυν εὐμενῶς τὴν Μοῦσαν τοῦ Σιμιχίδου· καὶ εἴτι μοι ἐν τούτῳ ἢ παρὰ τῶν πολλῶν διαβάλλεται, ἢ παρ' ἐμοῦ πεπλημμέληται, περικάλυπτε πανταχοῦ τὴν ἐμὴν ἀκοσμίαν καὶ ἀξυνεσίαν τῇ παρὰ σεαυτοῦ κοσμιότητι καὶ ξυνέσει· τοῦτο γὰρ καὶ νόμος τῆς ἡμῶν σχέσεως πρὸς ἀλλήλους διαγορεύει, κοινὰ τὰ τῶν φίλων ἀγαθά τε κακά τε τιθέμενος.

Τῷ αωλζ'. ἐν Αἰγίνῃ.

Τῇ φιλομούσῳ καὶ σεμνῇ νεολαίᾳ τῇ χρηςῇ τῶν νέων Ἑλλήνων ἐλπίδι Νεόφυτος Δούκας εὖ πράττειν.

ἸΔΟΥ καὶ Θεόκριτος ὁ ποιητὴς, ὦ φίλα μειράκια, προτίθεται ἡμῖν εἰς πανδαισίαν ἄφθονον ἀπὸ τῶν Δωρικῶν Μουσῶν ὕλην εἰς εὐωχίαν τοῖς γε τὰ τῆς Καλλιόπης ὄργια περὶ πολλοῦ ποιουμένοις παρατιθεὶς, ἀνὴρ μὲν πολλὴν ἐν βουκολικοῖς ποιήμασι κτησάμενος δόξαν, ἀλλ' οὐ καὶ ἴσος οὐδ' ὅμοιος ἀπαντώμενος πᾶσιν, ἀλλ' οἷς μὲν ὠφέλιμος, οἷς δὲ καὶ ὀλισθηρὸς ἔσθ' ὅπου γιγνόμενος· ἐκεῖνο μὲν ὅσοις ἐν τῷ μανθάνειν πέπηγε καὶ τὸ φρόνημα, σωφροσύνῃ μεμεστωμένον· τοῦτο δὲ, οἷς ἂν ἡ περὶ τὰ τοιαῦτα διατριβὴ τέλος ἔχῃ τὴν περιπετῆ ἡδονήν· τούτοις γὰρ ἡ σπουδὴ, ὀλισθηρὰ δήπου καὶ ἐπικίνδυνος ἔσται, ἅτε δὴ ἀντὶ τοῦ ὑγιάζοντος μέλιτι ἀλλοιῶντι δεδευμένον παρέχουσα δηλητήριον· ἔστι γὰρ ὅπου ὁ ποιητὴς καὶ ἐρωτικῶν ἅπτεται λόγων· οὓς οἱ μὴ μετὰ λόγου καὶ λίαν ἐγκρατῶς μετερχόμενοι, ἀλλὰ τῇ ἐκ τῆς λέξεως φαρμασσόμενοι γοητείᾳ, κατωφερεῖς ἐκ τούτων γιγνόμενοι, οἴχονται φερόμενοι εἰς τὸ βάραθρον· ὅθεν οὐκέτι δύναιτ' ἄν τις ἀνανήψας, ἀνιέναι ἐπὶ τὴν, δι' ἣν ἐπλάσθη ποτὲ τελειότητα· ἔνθα.

» Ἔσσεται ἀθάνατος, θεὸς ἄμβροτος, οὐκέτι θνητός.

ὃ μὴ πάθοιτε ὑμεῖς, ὦ παῖδες, οἷς ἡ πατρὶς μάλιστα τὰς χρηστὰς σαλεύει ἐλπίδας τῶν περικλεεστάτων γενήσεσθαι, καὶ οἵα ποτ' ἦν, τὴν αὐτὴν καὶ νῦν ἐν ὑμῖν αὖθις ἀμφιέσεσθαι δόξαν.

Ἔστι μὲν ἔρως δῶρον θεοῦ, ἀνθρώποις τε καὶ κτήνεσι καὶ πάσῃ τῇ φύσει ἁπλῶς εἰς συντήρησιν δωρηθὲν παρ' αὐτοῦ· ἀλλ' ἔχει πανταχοῦ, πολὺς ὢν καὶ ῥαγδαῖος γενόμενος, πολὺ τὸ ἀπόκρημνον, ἔνθα ἂν τύχῃ μὴ ἔχων τὸ σῶφρον συμπάρεδρόν τε καὶ σύμβουλον, κολοῦον τὸ παρατράγῳδον αὐτοῦ πανταχοῦ καὶ παράφορον· καθάπερ γὰρ ἕλξις καὶ ὦσις, ὡς λέγουσιν οἱ φιλόσοφοι, τοῦτο δὴ τὸ τῶν ἀρχαίων φιλία καὶ νεῖκος, ἄμ' ἄμφω συνέχει καὶ συντηρεῖ ἐξ ἰσοῤῥοπίας τὸν ὁρώμενον κόσμον· οὕτως ἔρως καὶ σωφροσύνη διασώζει τὰ εἴδη, ὅσα ἐποίησεν ὁ θεὸς ὀργανικὰ ἐξ ἀρχῆς· δῆλον γὰρ ὅτι, καθάπερ, ἀπωστικῆς μὴ οὔσης δυνάμεως ἐν τῇ φύσει, πάντων συγκεντρωθέντων ἂν διὰ τῆς ἀντιῤῥόπου ἑλκυστικῆς ἐν στιγμιαίῳ μορίῳ, συνοιχήσεται καὶ ἡ φύσις· καὶ πάλιν αὖ, ἀρθείσης τῆς ἕλξεως, ἀναπτυχθέντα πάντα ἀπ' ἐναντίας δυνάμει τῆς ὤσεως, συναναιρεθήσονται κἀκεῖνα, εἰς τὸν ἄπειρον διασκεδασθέντα αἰθέρα, ὁπότε νῦν ἄμφω ἐξ ἴσης ἀντιδράσεως γινόμενα ἐνεργὰ, συντηροῦσι τὸ πᾶν ἐν ἰσοῤῥοπίᾳ· οὕτω καὶ ὁ ἔρως μετὰ τῆς σωφροσύνης ἐξ ἀντιδράσεως ἐπιμεριζόμενα τὴν ἐνέργειαν, ὁ μὲν ἐπείξει, ἡ δὲ σωφροσύνη κωλύσει, διασώζουσι συνάμφω τὰ εἴδη· ἄλλωσδὲ θάτερον παρὰ θάτερον ὀλέθριον ἂν εἴη τῷ βίῳ.

Τιμητέον τοίνυν τὴν σωφροσύνην· ἣ τοσοῦτον παροῦσα ἐτίμησε τοὺς τιμήσαντας, ὅσον ἀποῦσα ἔβλαψε τοὺς κατα-

φρονήσαντας· αὐτίκα γὰρ οἱ ἐν Τροίᾳ ἐνδοξότεροι τῶν Ἑλλήνων, οἵων δεινῶν οὐκ ἐπειράθησαν, διαιρεθέντες δι' ἔρωτα, αὐτοί τε καὶ ἅπας ὁ στρατὸς δι' αὐτούς! ἀλλ' οὐχ οὕτως καὶ ὁ σώφρων Βελλεροφόντης, ὁ ἀνημερωτέρου θηρίου κρατήσας τοῦ Ἔρωτος, ἢ τῆς Χιμαίρας αὐτῆς· ὃς τῇ τῆς Ἀντείας, μάχλου γυναικὸς, μανίᾳ ἀντιταξάμενος, οὐ μόνον τὸν ἔσχατον, διαβληθεὶς ὑπ' αὐτῆς, ἀπέφυγε κίνδυνον, ἀλλὰ καὶ τὴν τοῦ Ἰβάτου θυγατέρα ἀρετῆς ἀριστεῖον εἰς γυναῖκα λαβὼν, κληρονόμος καὶ τῆς βασιλείας ἐγένετο.

Ἀλλ' ἐρεῖς ἴσως, ὡς ὁ Ἱππόλυτος διὰ σωφροσύνην ἀπόλωλεν, ὑπερτείνας φιλονεικίᾳ· τί δέ; μῶν συναπόλωλε καὶ ἡ δόξα τῷ Ἱππολύτῳ; μῶν συναπέσβη ὁ ἔπαινος, ἢ ὁ τῆς σωφροσύνης στέφανος ἐμαράνθη αὐτῷ ἐντεῦθεν, διότι ὁ πατὴρ παραφρονήσας, ἐπέπεσεν αὐτῷ ταῖς ἀραῖς παραβόλως; ἀλλὰ τοῦτ' αὐτὸ μάλιστα καὶ τὸν ἔπαινον αὐτῷ μείζω πεποίηκεν, ὅτι καὶ πρὸς θάνατον ἐσωφρόνησεν, αἰδεσθεὶς τὰ τῆς σωφροσύνης ἐν τῇ τοῦ πατρὸς καταμιάναι κοίτῃ κειμήλια, καὶ ἤδη τρισχιλιοστῷ ἔτει μάλιστα παρὰ πάντων ἐπὶ σωφροσύνῃ θαυμάζεται.

Ἀλλὰ ταῦτ' ἴσως, ὡς νενοθευμένα μύθοις, οὐ δοκεῖ ὑμῖν ἄξια εἶναι λόγου· ἔλθωμεν οὖν εἰς τὰ ἡμέτερα τὰ καθαρά τε καὶ ἄπλαστα, εἰ δεῖ καὶ τῶν σεμνοτέρων ἐν τούτοις ἅψασθαι λόγων· καὶ ἴδε μοι πρῶτον Δαβὶδ αὐτὸν τὸν προφήτην· ὃς ἐξωλίσθησε μὲν ἡττηθεὶς εἰς τὴν τοῦ Οὐρίου γυναῖκα, ἀλλ' ὁ πεντηκοστὸς ψαλμὸς τεκμηριοῖ σοι, ὅσα καὶ οἷα τῆς ἁμαρτίας κατέσπεισε δάκρυα· ἡττηθεὶς δὲ καὶ ὁ παῖς αὐτοῦ,

εἰς πολυθεΐαν ἐκ τούτου ἐξώκειλε· κἀντεῦθεν ἀποστὰς τοῦ θεοῦ, ἀπημαύρωσεν εὐθὺς καὶ τὸ τῶν χαρισμάτων θεσπέσιον, ἐφ' οἷς ἐθαυμάζετο· τοιαῦτα πάσχουσιν οἱ τοῖς πάθεσι γιγνόμενοι ὑποχείριοι· Ἀλλ' Ἰωσὴφ ὁ πάγκαλος, ὁ καλὸς μὲν τῷ σώματι, καλλίων δὲ γενόμενος τὴν ψυχὴν, ἀντιπαραταξάμενος πρὸς ἀνοσίους ἔρωτας μοιχαλίδος δεσποίνης, τῆς τ' Αἰγύπτου πάσης σωτὴρ ἅμα καὶ πατὴρ γενέσθαι ἠξίωται, καὶ τοὺς ἑαυτοῦ ἀδελφοὺς ἀνευρὼν, καὶ πρὸς ἑαυτὸν σὺν τῷ πατρὶ μετακομισάμενος, περιέσωσε καὶ ἐτίμησεν· οἶδε γὰρ τὸ θεῖον τοὺς αὐτὸν σωφρονήσει τετιμηκότας, ὅσοι μάλιστα τὸ παθεῖν τι ἐν τῷ σώματι τοῦ ἠθικῶς ἁμαρτεῖν αἱρετώτερον κρίνουσιν.

Ἐπειδὴ τοίνυν τὸ εἶδος τοῦτο τῶν ποιητῶν, ὅσοι μάλιστά εἰσιν ἐν τῷ τεύχει τούτῳ περιεχόμενοι, ὡς ἀπὸ πάσης ὕλης τοῖς ἑαυτῶν ποιήμασιν ὑπόθεσιν ἐνστησάμενοι, οὐκ ἀπεικότως καὶ ἐρωτικῶν ἀγροικότερον ἔσθ' ὅπου ἅπτονται λόγων, ὁρᾶθ' ὑμεῖς, μὴ τὴν ἀπὸ τῶν λόγων διώκοντες ἡδονὴν, ἐπὶ στυγεράν τινα ἐξοκέλητε πρᾶξιν· ἀλλὰ τὴν ἀπὸ τῆς αἰσχρᾶς πράξεως ἐσομένην πικρίαν φιλοσόφῳ ἀναμετρησάμενοι λόγῳ, ἀποκρούεσθε τὰς ἀπὸ τοῦ ἔρωτος προσβολὰς, τὸ τῆς σωφροσύνης προβαλλόμενοι σάκος, καὶ τῷ τοῦ θεοῦ στοιχειούμενοι φόβῳ· οὗτος γὰρ σκοπὸς καὶ τῶν σοφῶν ἐκείνων ἀνδρῶν, ὅσοις λόγος ἐγένετο περὶ ἔρωτος, χαλινὸν καὶ ὅρον τιθέναι τοῖς πάθεσι μάλιστα· μαρτυροῦσι δέ μοι τῷ λόγῳ ἄλλοι τε πολλοὶ καὶ Εὐριπίδης αὐτὸς, ἐν οἷς λέγει ἐν Ἱππολύτῳ. (στίχ. 527.)

» Ἔρως, Ἔρως, ὁ κατ' ὀμμάτων
» Στάζεις πόθον, εἰσάγων γλυκεῖαν
» Ψυχαῖς χάριν, οἷς ἐπιστρατεύσῃ,
» Μή μοί ποτε σὺν κακῷ φανείης,
» Μήδ' ἄῤῥυθμος ἔλθοις·

Ἃ δὲ τῷ αὐτῷ καὶ ἐν Μηδείᾳ (σίχ. 637.) περὶ τούτων πεφιλοσόφηται, καὶ πλείονός ἐστι μνήμης ἄξια, ἔνθα φησί·

» Στέργοι δέ με σωφροσύνα
» Δώρημα κάλλιστον θεῶν,
» Μηδέ ποτ' ἀμφιλόγους ὀρ-
» Γὰς, ἀκόρεστά τε νείκη,
» Θυμὸν ἐκπλήξασ' ἑτέ-
» Ροις ἐπὶ λέκτροις,
» Προσβάλοι δεινὰ Κύπρις·

Ταῦτ' οὖν εἰδότες ὑμεῖς, ὦ φίλα μειράκια, ἡ χρηστὴ τῆς Ἑλλάδος ἐλπὶς, γένεσθέ μοι τοῦ κρείττονος, ἀεὶ φειδόμενοι ἑαυτῶν, καὶ τὸ χεῖρον τῷ κρείττονι ὑποτάσσοντες, εἴητέ μοι Προμηθεῖς, οἷς τὸ μέλλον μάλιστα μέλει, ἀλλ' οὐχὶ Ἐπιμηθεῖς, οἷς τὸ μέλλον ἀεὶ μεταμέλει, ἐκεῖνο μάλιστα ὑφορώμενοι, μὴ ὁ ἐπίβουλος οὗτος θεὸς, ταῖς τῆς καθ' ὑμᾶς ἡλικίας ἀέλλαις χρησάμενος, ἐξώσῃ τὸ ὑμέτερον σκάφος ἐς χωρίον ἀλίμενόν πῃ τῶν Σειρήνων ἔνθα,

» . . . . . Πολὺς δ' ἀμφ' ὀστεόφιν θὶς
» Ἀνδρῶν πυθομένων, περὶ δὲ ῥινοὶ μινύθουσιν·

ὅθεν οὐκέτ' ἂν εἴη διασωθῆναι· οὐ γὰρ εἴ τι θέλγοι, πρὸς τοῦτο ἕλκεσθαι δεῖ ῥᾳδίως, ἀλλ' ὅπερ ἀφίησι βέλος ἐκεῖνος τοῖς κεκρατημένοις, τοῦτο προσκοποῦντες, πόῤῥωθεν ἔτι σπεύσατε

ἀποφυγεῖν τὴν πεῖραν, φαρμακίτην δακτύλιον παρὰ τῆς σεμνοτάτης πριάμενοι σωφροσύνης· ἧς οἱ καταφρονήσαντες οἱ δ' αὐτοὶ ἂν εἴποιεν εἰς οἷον ἀθλιότητος βυθὸν τυγχάνουσιν ἐμπεπτωκότες.

Ἵν' οὖν μὴ γένωνται αἱ ἐλπίδες ἡμῶν ἄνθρακες, μηδ' ἐμὲ ποιήσητε μεταμεληθῆναι, ἐφ' οἷς τὰ τοιαῦθ', οἷον ἀθύρματα τοῦ γήρως ἐξέδωκα ὑμῖν πρὸς ἐπίδοσιν, προσέχετ', ὦ παῖδες, τὸν νοῦν, εἰδότες ὅτι μυρίοις ἁμαρτήμασι περιπίπτει ὁ ἀπερίσκεπτος ἄνθρωπος, ἐν οἷς ἂν ἐπιχειρῇ· ἐπειδὰν γὰρ ἅπαξ ἐπιλάθηται τῆς εἰκόνος, καὶ οὗ ἠξίωται χαρακτῆρος, τότε δὴ κτήνεσι συμπαραβαλλόμενος ἀνοήτοις, ἐξομοιοῦται αὐτοῖς· οἷς γὰρ παραμεμέληται τὸ προσέχειν ἑαυτοῖς, τούτοις λίαν ὀξὺ ἐμπίπτει κἀπ' ἐλαχίστης ἀφορμῆς τὸ τοῦ ἔρωτος βέλος· πρὸς ὃ οὐδ' ὁ Ἡρακλῆς αὐτὸς, μὴ προσχὼν, ἀντιστῆναι δεδύνηται· ἀλλ' ὁ τοσούτων θηρίων ἀνυποστάτων γεγενημένος ὀλοθρευτὴς, μιᾶς σειρήνης τῆς Ἰόλης τῷ ἔρωτι γέγονε παρανάλωμα. Ἔρρωσθε.

## ΘΕΟΚΡΙΤΟΥ ΓΕΝΟΣ.

Θεοκριτος, ὁ τῶν βουκολικῶν ποιητὴς, Συρακούσιος ἦν τὸ γένος, πατρὸς Σιμιχίδου, ὡς αὐτὸς φησὶ

Σιμιχίδα, πᾷ δὴ τὺ μεσαμέριον πόδας ἕλκεις;

Ἔνιοι δὲ τὸ Σιμιχίδα ἐπώνυμον εἶναι λέγουσι· δοκεῖ γὰρ σιμός τις τὴν πρόσοψιν εἶναι, πατέρα δὲ ἐσχηκέναι Πραξαγόραν, καὶ μητέρα Φιλίναν. Ἀκουστὴς δὲ γέγονε Φιλητᾶ καὶ Ἀσκληπιάδου, ὧν μνημονεύει· ἤκμασε δὲ κατὰ τὸν καιρὸν τοῦ Πτολεμαίου τοῦ ἐπικληθέντος Λαγωοῦ. Περὶ δὲ τὴν τῶν Βουκολικῶν ποίησιν εὐφυὴς γενόμενος, πολλῆς δόξης ἐκ τούτων ἐπέτυχε. Κατὰ γοῦν τινὰς Μόσχος καλούμενος, Θεόκριτος ἐπεκλήθη.

## Περὶ τοῦ ποῦ καὶ πῶς εὑρέθη τὰ Βουκολικά.

ΤΑ Βουκολικά φασιν ἐν Λακεδαίμονι εὑρεθῆναι, καὶ περισσῶς προκοπῆς τυχεῖν. Τῶν γὰρ Περσικῶν ἐνεστώτων ἔτι, καὶ φόβῳ πᾶσαν τὴν Ἑλλάδα ταρασσόντων, ἐνέςη ἑορτὴ Ἀρτέμιδος Καρυάτιδος· τῶν δὲ παρθένων ἀποκεκρυμμένων διὰ τὴν ἐκ τοῦ πολέμου ταραχὴν, ἀγροῖκοί τινες εἰσελθόντες εἰς τὸ ἱερὸν, ἰδίαις ᾠδαῖς τὴν Ἄρτεμιν ὕμνησαν· τῆς δὲ τούτων ξένης μούσης ἀρίστης γενομένης, παρέμεινε τὸ ἔθος, καὶ ἐφυλάχθη. Ἄλλοι δὲ τοῦτον τὸν τρόπον ἐν Τυνδαρίδι τῆς Σικελίας πρῶτον ἀχθῆναι λέγουσι τὰ Βουκολικά. Ὀρέστῃ γὰρ ἐκκομίζοντι τὸ τῆς Ἀρτέμιδος ξόανον ἐκ Ταύρων τῆς Σκυθίας χρησμὸς ἐξέπεσεν, ἐν ἑπτὰ ποταμοῖς, ἐκ μιᾶς πηγῆς ῥέουσιν, ἀπολούσασθαι· ὁ δὲ, πορευθεὶς εἰς Ῥήγιον τῆς Ἰταλίας, τὸ Ἄγος ἀπενίψατο ἐν τοῖς λεγομένοις διαχώροις ποταμοῖς· ἔπειτα εἰς Τυνδαρίδα τῆς Σικελίας ἦλθεν· οἱ δὲ ἐπιχώριοι τὴν θεὸν ἰδίοις ᾄσμασιν ἀνυμνήσαντες, ἔθει τὴν πρώτην παρέδωκαν εὕρεσιν. Ὁ δὲ ἀληθὴς λόγος τοιοῦτος. Στάσεώς ποτε γενομένης ἐν Συρακούσαις, καὶ πολλῶν πολιτῶν φθαρέντων, εἰς ὁμόνοιαν τοῦ πλήθους λοιπόν ποτε ἐλθόντος, ἔδοξεν Ἄρτεμις αἰτία γεγονέναι τῆς διαλλαγῆς· οἱ δὲ ἀγροῖκοι, τούτου χάριν δῶρα κομίσαντες, γεγηθότες ὕμνησαν τὴν θεὰν διὰ τῶν συνήθων αὐτοῖς ἀγροικικῶν ᾠδῶν· καὶ οὕτως ἔλαβεν ἔθος γενέσθαι κἀν τοῖς ἐφεξῆς.

## Περὶ διαφορᾶς τῶν Βουκολικῶν.

Τὰ Βουκολικὰ ἔχει διαφορὰν τὴν τῶν ποιημάτων ἐπιγραφήν· καὶ γὰρ Αἰπολικά ἐστι, καὶ Ποιμενικά, καὶ Μικτά. Τὴν μέντοι ἀπὸ τῶν βοῶν εἴληφεν ἐπιγραφὴν, ὡς ἀριστεύοντος τοῦ ζώου· διὸ καὶ βουκολικὰ εἴρηται πάντα. Λέγεται δὲ Βουκόλος παρὰ τὸ τὰς βόας ἐλαύνειν, ἢ ἀπὸ τοῦ τὰς βόας κωλύειν ἀτιμαγελώσας, ἢ τῶν βοῶν κορεῖν καὶ ἐπιμελεῖσθαι, τροπῇ τοῦ ἀμεταβόλου εἰς ἀμετάβολον. Ἄδειν δέ φασιν αὐτοὺς ἄρτον ἐξηρτημένους, θηρίων ἐν ἑαυτῷ τύπους ἔχοντα, καὶ πήραν πανσπερμίας ἀνάπλεων, καὶ οἶνον ἐν αἰγείῳ ἀσκῷ, σπονδὴν νέμοντας τοῖς ὑπαντῶσι, στέφανόν τε περικεῖσθαι, καὶ κέρατα ἐλάφων προσκεῖσθαι, καὶ μετὰ χεῖρας ἔχειν λαγοβόλον· τὸν δὲ νικήσαντα λαμβάνειν τὸν τοῦ νενικημένου ἄρτον, κἀκεῖνον μὲν ἐπὶ τῆς τῶν Συρακουσίων μένειν πόλεως, τοὺς δὲ νενικημένους εἰς τὰς περιοικίδας χωρεῖν, ἀγείραντας ἑαυτοῖς τὰς τροφάς· διδόναι δὲ καὶ ἄλλα τινὰ παιδιᾶς καὶ γέλωτος ἐχόμενα, καὶ εὐφημοῦντας ἐπιλέγειν,

Δέξαι τὰν ἀγαθὰν τύχαν, δέξαι δ' ὑγίειαν,
Ἂν φέρομεν παρὰ τῆς θεοῦ, ἂν ἐκαλέσσατο τήνα.

## Ἀρτεμιδώρου τοῦ Γραμματικοῦ ἐπὶ τῇ ἀθροίσει τῶν βουκολικῶν ποιημάτων.

Βουκολικαὶ Μοῖσαι σποράδες ποκὰ, νῦν δ' ἅμα πᾶσαι
Ἐντὶ μιᾶς μάνδρας, ἐντὶ μιᾶς ἀγέλας·

## Θεοκρίτου εἰς τὴν Ἑαυτοῦ Βίβλον.

Ἄλλος ὁ Χῖος· ἐγὼ δὲ Θεόκριτος, ὃς τάδ' ἔγραφα,
Εἷς ἀπὸ τῶν πολλῶν εἰμὶ Συρηκοσίων,

Υἱὸς Πραξαγόραο, περικλειτῆς τε Φιλίνης·
Μοῦσαν δ' ὀθνείην οὔποτ' ἐφειλκυσάμην.

## Περὶ τῆς τῶν Βουκολικῶν ἐπιγραφῆς

Θεοκρίτου Εἰδύλλια Βουκολικά· Ἰστέον ὅτι Εἰδύλλιον λέγεται τὸ μικρὸν ποίημα, ἀπὸ τοῦ Εἶδος, ὅ ἐστι θεωρία· οὐκ Εἰδύλλιον παρὰ τὸ Εἴδω, τὸ εὐφραίνω· Ἄλλως. Εἰδύλλιον λέγεται, ὅτι εἶδός ἐστιν ὁποῖόν ἐστι λόγος. Ὑποκοριστικῶς λέγεται Εἰδύλλιον.

## Περὶ τῶν τῆς ποιήσεως χαρακτήρων.

Πᾶσα ποίησις τρεῖς ἔχει χαρακτῆρας, διηγηματικὸν, δραματικὸν, καὶ μικτόν. Τὸ δὲ βουκολικὸν ποίημα μίγμα ἐστὶ παντὸς εἴδους, καθάπερ συγκεκραμένον· διὸ καὶ χαριέστατον τῇ ποικιλίᾳ τῆς φράσεως, μᾶλλον δὲ τῆς κράσεως, ποτὲ μὲν συγκείμενον ἐκ διηγηματικοῦ, ποτὲ δὲ ἐκ δραματικοῦ, ποτὲ δὲ ἐκ μικτοῦ, ἤγουν διηγηματικοῦ καὶ δραματικοῦ, ὁτὲ δὲ ὡς ἂν τύχῃ. Εἰς ὅσον δ' οἷόν τέ ἐστιν, αὕτη ἡ ποίησις τὰ τῶν ἀγροίκων ἤθη ἐκμάσσεται, τερπνῶς πάνυ τοὺς τῇ ἀγροικίᾳ ἀνθρώπους τὸν βίον χαρακτηρίζουσα. Ἐκπέφευγε δὲ καὶ τὸ ἄγαν ξηρὸν καὶ ὑπέρογκον τῆς ποιήσεως.

## Τὰ ἀναγκαιότερα ἰδιώματα τῆς Δωρικῆς διαλέκτου.

Οἱ Δωριεῖς τρέπουσι τὸ η εἰς α, ἀδὺ τὸ ἡδὺ ψιθύρισμα λέγοντες, καὶ τὸ φίλημα φίλαμα, καὶ τὸ μῆλον μᾶλον.

Ἐπὶ δὲ τῶν πληθυντικῶν Γενικῶν Μουσᾶν ἀντὶ Μουσῶν λέγουσιν.

Τὸ ου εἰς ω μεταβάλλουσιν· οἷον Μούσας Μώσας, κοῦρος κῶρος, οὔρεα ὤρια.

Τὸ ου εἰς ευ μεταβάλλουσιν· οἷον, ἀληθοῦς ἀληθεῦς.

Τὰ πρῶτα πρόσωπα τῶν πληθυντικῶν ῥημάτων, οἷον τύπτομεν καὶ ποιοῦμεν, τύπτομες λέγουσι καὶ ποιοῦμες.

Τὴν εἰς ου γενικὴν εἰς ω ποιοῦσι, οἷον τοῦ λόγου τῶ λόγω.

Τὴν Πρὸς Πρόθεσιν Ποτὶ λέγουσιν· ἕνα ποτὶ ἕνα, καὶ τὸ πρόσαγε, πόταγε.

Τὸ Πρῶτος πρᾶτος, καὶ τὸ πρώτιστον πράτιστον λέγουσι· καὶ τὸ ἦλθον, ἦνθον· καὶ τὸ οἱ αἰπῶλοι ὠπόλοι· καὶ οἱ ἄλλοι, ὦλλοι, καὶ τὸ, εἶπα κῆφα λέγουσι.

Ἐπὶ μὲν τῶν βαρυτόνων τὰ τρίτα πρόσωπα τοῦ Ἐνεστῶτος τύπτουσι γράφουσι, τύπτοντι γράφοντι λέγουσι· ἐπὶ δὲ τῆς δευτέρας τῶν περισπωμένων βοῶσι καὶ γελῶσι βοῶντι καὶ γελῶντι, ὡς καὶ ἐν τοῖς ἐκ τούτων Μετοχαῖς ἐπὶ Δοτικῆς τοῖς γελῶντι καὶ γράφοντι λέγουσι.

Τοὺς Μέλλοντας περισπῶσι, γράψω γραψῶ, οἴσω οἰσῶ, λήψω λαψῶ, εἷς, εἶ.

Τὸ οἱ ἄρθρον ταὶ λέγουσι, τοὶ ἄνθρωποι· καὶ τὸ ὡς, τώς.

Τὴν Ἀνὰ Πρόθεσιν ἀποκόπτουσιν καὶ ἐν συνθέσει καὶ ἐν παραθέσει, ἀνάτεινον ἄντεινον, καὶ ἀνὰ τὴν ἀγορὰν ἂν τὴν ἀγορὰν, ἀννάπος.

Τὸ σφᾶς ψὲ λέγουσι καὶ τὸ, Τίθησι καὶ ὑφίησι, τίθητι καὶ ὑφίητι.

Τὰ τρίτα πρόσωπα τοῦ Ὑπερσυντελικοῦ διὰ τοῦ η προφέρουσιν· οἷον, ὀπώπη, ἤδη· καὶ τὸ ἦν ἧς λέγουσι πολλάκις.

Τοὺς Μέλλοντας τῶν εἰς ζω ῥημάτων εἰς ξω, οἷον καθίζω καθίξω· καὶ καθίξας· τὸ δὲ ζ αὐτὸ διαλύουσιν εἰς τὰ σδ. οἷον συρίσδειν, δωρίσδειν, ζωὴ σδωή.

Τὸ σὺ τὺ λέγουσι καὶ τὸ ἕτερος ἅτερος, καὶ τὸ εο εἰς ευ συγκερνῶσι, οἷον Θεοδόσιος Θευδόσιος, Θεογενὴς Θευγενής.

Τὸ Ἀπαρέμφατον λαβεῖν καὶ ἐλθεῖν, λαβὲν καὶ ἐλθὲν λέγουσι· καὶ τὰς αἰτιατικὰς τοὺς ἀνθρώπους τὼς ἀνθρώπως προφέρουσι· καὶ εἰς ος ἐσθ' ὅπου, τὰς ἀμπέλος. Ταῦτα μὲν ἐν συντόμῳ, ἡ δὲ μελέτη μετὰ παρατηρήσεως δώσει σοι τὸ πλῆρες.

# ΕΙΔΥΛΛΙΑ.

# ΥΠΟΘΕΣΙΣ.

## ΤΟΥ Α΄. ΕΙΔΥΛΛΙΟΥ.

Αυτη ἡ ὑπόθεσις εἰς Δάφνιν γράφεται, ὃς διὰ μὲν τούτου τοῦ Εἰδυλλίου τέθνηκε, διὰ δὲ τοῦ ἑξῆς ὡς ζῶντος αὐτοῦ μνημονεύει· ὅμως τοῦτο προτέτακται διὰ τὸ χαριέστερον καὶ τεχνικώτερον τῶν ἄλλων μᾶλλον συντετάχθαι· καὶ Πίνδαρος, Ἀρχομένου δ' ἔργου, φησὶ, πρόσωπον χρὴ θέμεναι τηλαυγές. Ἔστι δὲ ἀμοιβαῖον καὶ δραματικώτερον, μὴ ὑποκειμένου τοῦ ποιητικοῦ προσώπου. Τὰ μὲν πράγματα διάκεινται ἐν Σικελίᾳ· Ποιμὴν δέ τις εἰσάγεται πρὸς Αἰπόλον διαλεγόμενος, οὗ τὸ ὄνομα οὐκ ἔστι γνωστόν. Ἄλλως. Ἐν τούτῳ τῷ εἰδυλλίῳ διαλέγονται πρὸς ἀλλήλους Θύρσις ποιμὴν, καὶ Αἰπόλος, ἤτοι Μενάλκας, ἢ καὶ Κομάτας. Ἀγνοεῖται δὲ τὸ τοῦ Αἰπόλου ὄνομα.

Δωρίδι καὶ Ἰάδι διαλέκτῳ χρῆται ὁ Θεόκριτος, μάλιστα δὲ ἀνειμένῃ καὶ χθαμαλῇ Δωρίδι παρὰ τοῦ Ἐπιχάρμου καὶ Σώφρονος· οὐ μὴν ἀπολιμπάνεται καὶ Αἰολίδος. Ἄλλως. Ἰστέον, ὅτι ὁ Θεόκριτος Δωρίδι διαλέκτῳ κέχρηται τῇ νέᾳ· δύο γάρ εἰσι, παλαιὰ, καὶ νέα· καὶ ἡ μὲν παλαιὰ τραχεῖά τίς ἐστι· ἡ δὲ νέα, ᾗ καὶ Θεόκριτος χρῆται, μαλθακωτέρα καὶ εὐκολωτέρα.

Ἀπορία. Πῶς Βουλικὰ ὑπεγράφησαν, μὴ ὄντων πάντων Βουκολικῶν, ἀλλὰ καὶ ποιμενικῶν καὶ αἰπολικῶν; Λύσις. Ἐκ τοῦ κρείττονος μέρους ταῦτα τῶν τετραπόδων ὑπέγραψαν.

Πῶς οὐχ ὑπογράφονται ταῦτα τὰ ποιήματα Διάλογοι,

(διαλέγεται γὰρ ἔν τισι πρόσωπα·) ὡς καὶ τὰ τοῦ Λουκιανοῦ; Οὐκ ἤθελεν ὁ ποιητὴς θεῖναι ἀλλοίας καὶ ἀλλοίας ἐπιγραφὰς, ἀλλὰ μίαν καὶ ἁρμόζουσαν πᾶσι τοῖς ποιήμασιν αὐτοῦ. Εἶδος γὰρ λόγου ἐστὶ καὶ τὸ διηγηματικὸν, καὶ τὸ δραματικὸν, καὶ τὸ μικτόν· καὶ διὰ τοῦτο ὑπεγράφησαν Εἰδύλλια.

Πῶς οὐχ ὑπεγράφη ἐν τῷ Εἰδυλλίῳ τούτῳ τὸ τοῦ Αἰπόλου ὄνομα, ἀλλὰ τοῦ Ποιμένος; Διὰ τὸ μέλλειν παρεισαχθῆναι τὸν Ποιμένα κρειττόνως τῇ καλάμῃ φθεγγόμενον.

Ἰστέον, ὅτι ὁ Θεόκριτος ἐγένετο ἰσόχρονος τοῦ τε Ἀράτου, καὶ τοῦ Καλλιμάχου, καὶ τοῦ Νικάνδρου· ἐγένετο δὲ ἐπὶ τῶν χρόνων Πτολεμαίου τοῦ Φιλαδέλφου.

Περὶ τῆς Ἐπιγραφῆς τοῦ παρόντος εἰδυλλίου Θεοκρίτου, Θύρσις, ἢ Ὠδή· τουτέστιν, ὁ βουλόμενος Θύρσιν ὑπογραφέτω, ἢ Ὠδήν. Θύρσις μὲν γάρ ἐστιν ὁ ποιμὴν ὁ αὐλῶν, Ὠδὴ δὲ τὸ μέλισμα τὸ φθεγγόμενον.

# ΘΥΡΣΙΣ Η ΩΔΗ.

## ΕΙΔΥΛΛΙΟΝ Α'.

### ΚΕΙΜΕΝΟΝ.

### ΘΥΡΣΙΣ ΠΟΙΜΗΝ, ΚΑΙ ΑΙΠΟΛΟΣ.

ΘΥΡΣΙΣ.

Αδυ τι τὸ ψιθύρισμα καὶ ἁ πίτυς, αἰπόλε, τήνα,
Ἁ ποτὶ ταῖς παγαῖσι μελίσδεται· ἁδὺ δὲ καὶ τὺ
Συρίσδες· μετὰ Πᾶνα τὸ δεύτερον ἆθλον ἀποισῇ.
Αἴκα τῆνος ἕλῃ κεραὸν τράγον, αἶγα τὺ λαψῇ·
Αἴκα δ' αἶγα λάβῃ τῆνος γέρας, ἐς τὲ καταῤῥεῖ
Ἁ χίμαρος· χιμάρῳ δὲ καλὸν κρέας, ἔςτε κ' ἀμέλξῃς.

---

Ἁδύ τι τὸ ψιθύρισμα] Δωρικὸν τὸ Ἁδὺ ἀντὶ τοῦ Ἡδὺ, τὸ Η εἰς Α τρεπόντων τῶν Δωριέων· οἱ δὲ ἀρχαιότεροι ἐν τραχυτέρᾳ ἔτι ὄντες φωνῇ, ἠγνόουν ἔτι καὶ τὴν Δασεῖαν. Ψιθύρισμα δ' ἐστὶν προσλαλιὰ χθαμαλὴ πρὸς τὸ οὖς, συριγμὸν μόνον τοῖς ἄλλοις ἀκούειν παρέχουσα· κἀντεῦθεν μετενήνεκται ἡ σημασία κἀπὶ τῶν φυτῶν, ὁπότε τὰ φύλλα σὺν τοῖς κλάδοις τῇ τῶν πνευμάτων πνοῇ ἐν τῷ περισείεσθαι συγκρουόμενα, κελαδεῖ. — Πίτυς] πίτυς, πεύκη, ἐλάτη, σχεδὸν ταὐτὰ γένει· πρόσθες δ' εἰ βούλει τούτοις, καὶ κυπάρισσον, κέδρον, καὶ ἄρκευθον. — Τήνα Δωρικῶς ἀντὶ τοῦ Ἐκείνη. καὶ κείνη, τήνη, τήνα. 2. Ἁ ποτὶ] ἡ πρὸς ταῖς πηγαῖς. — Μελίσδεται] μελίζειν ἐνεργητικῶς ἐκληπτέον· Μελίσδειν, ἀναλύουσιν οἱ Δωριεῖς τὸ Ζ. εἰς τὰ ἐξ ὧν συνετέθη ΣΔ. ὡς καὶ τὸ Συρίζεις εἰς τὸ Συρίσδες, ὅτι τὰ δεύτερα τῶν προσώπων εἰς

# ΘΥΡΣΙΣ Η ΩΔΗ.

## ΕΙΔΥΛΛΟΙΝ Α'.

### ΠΑΡΑΦΡΑΣΙΣ.

### ΘΥΡΣΙΣ ΠΟΙΜΗΝ, ΚΑΙ ΑΙΠΟΛΟΣ.

### ΘΥΡΣΙΣ.

Ηδυ μὲν, ὦ Αἰπόλε, ψιθύρισμα ἡμῖν παρέχει καὶ ἡ πίτυς ἐκείνη, ἡ παρὰ ταῖς πηγαῖς μελῳδοῦσα. ἡδὺ δὲ καὶ αὐτὸς ἐπιδείκνυσαι μέλος, τῇ σύριγκι χρώμενος· Οὐκοῦν τὸ δεύτερον μετὰ τὸν Πάνα ἆθλον ἀπολήψῃ δικαίως· εἰ μὲν γὰρ ἐκεῖνος κερασφόρον λήψεται τράγον, σὺ ἕξεις αἶγα· ἣν δ' ἐκεῖνος λάβῃ αἶγα, χίμαρός σοι προσηκόντως ἀποδοθήσεται· Τῆς δὲ χιμάρου τὸ κρέας, ἐς τ' ἂν τετοκυῖαν ἀμέλξῃς, ἥδιστόν ἐστι.

---

Ες προφέρουσι. 3. Ἀποισῇ] ἀποφέρομαι, Μέλλων, ἀποίσομαι· τοῦτο οἱ Δωριεῖς περισπῶσιν ἐν γένει ἐπὶ πάντων τῶν ῥημάτων ἐπὶ τοῦ Μέλλοντος ἀποισοῦμαι, ἀποισῇ. ἀποισεῖται· ὡς κἀν τῷ ἐπομένῳ στίχῳ τὸ Λαψῇ, ἀντὶ τοῦ λήψῃ. 4. Αἴκα τῆνος] ἣν ἐκεῖνος λάβῃ. Τιμᾷ τούτοις ὁ Θύρσις τὸν Αἰπόλον, δεύτερον δὲ ἐν γέρασιν αὐτὸν τιθέμενος τοῦ Θεοῦ. 5. Καταῤῥεῖ] κάτεισι, κατενεχθήσεται, ἀπὸ τοῦ Πανὸς εἰς σὲ δεύτερον, οἷον καταϐήσεται. 6. Χίμαρος] ἀρσενικῶς μὲν, ὁ τράγος· θηλυκῶς δὲ, ἡ ἐνιαύσιος αἴξ· (ἣν ἡ συνήθεια, παρὰ τῶν Λατίνων παραλαϐοῦσα, Βιτούλαν λέγει·) τὸ δὲ νεογεννηθὲν, ἐρίφιον καὶ

### ΑΙΠΟΛΟΣ.

Ἅδιον, ὦ Ποιμὰν, τὸ τεὸν μέλος, ἢ τὸ καταχὲς
Τῆν' ἀπὸ τᾶς πέτρας καταλείβεται ὑψόθεν ὕδωρ.
Αἴκα ταὶ Μῶσαι τὰν οἴϊδα δῶρον ἄγωνται,
Ἄρνα τὺ σακίταν λαψῇ γέρας· αἰ δὲ κ' ἀρέσκῃ
Τήναις ἄρνα λαβεῖν, τὺ δὲ τὰν ὄϊν ὕστερον ἀξῇ.

### ΘΥΡΣΙΣ.

Λῇς, ποτὶ τᾶν Νυμφᾶν, λῇς, Αἰπόλε, τᾷδε καθίξας,
Ὡς τὸ κάταντες τοῦτο γεώλοφον, ᾇ τε μυρῖκαι,
Συρίσδεν; τὰς δ' αἶγας ἐγὼν ἐν τῷδε νομευσῶ.

### ΑΙΠΟΛΟΣ.

Οὐ θέμις, ὦ Ποιμὰν, τὸ μεσαμβρινὸν, οὐ θέμις ἄμμιν
Συρίσδεν· τὸν Πᾶνα δεδοίκαμες· ἦ γὰρ ἀπ' ἄγρας
Τανίκα κεκμακὼς ἀμπαύεται· ἐντὶ δὲ πικρὸς,
Καί οἱ ᾀεὶ δριμεῖα χολὰ ποτὶ ῥινὶ κάθηται.
Ἀλλὰ (τὺ γὰρ δὴ, Θύρσι, τὰ Δάφνιδος ἄλγεα εἶδες,

---

ἔριφος. 7. Τεὸν μέλος] τὸ σόν. Ἀλλὰ περὶ τῆς Δωρικῆς διαλέκτου ἴδε ἀνωτέρω ἐν τοῖς προοιμίοις, ἐν οἷς ἐσημειώσαμεν ὡς ἐν εἴδει γραμματικῆς περὶ τῶν ἰδιωμάτων αὐτῆς. — Καταχὲς] κατηχοῦν, ἠχητικὸν, εἰ μήτις ἄλλως εἴποι, καταχεόμενον. Τὸ δὲ κατάρχον Τὸ, ἀντὶ τοῦ Ὃ ἀναφορικῶς πρὸς τὸ ὕδωρ. 8. Τῆν'] τῆνο, ἐκεῖνο. 9. Μῶσαι] μοῦσαι, ὁ μὲν Θύρσις ἐτίμησε τὸν Αἰπόλον μετὰ τὸν Πᾶνα· ἀντιπαραβάλλων δὲ καὶ οὗτος πρὸς τὰς Μούσας ἐκεῖνον, ἀμείβεται τοῖς αὐτοῖς· τὸ δὲ Οἴϊς οἴϊδος καὶ Ὄϊς ὄϊος τὰ αὐτά· τὸ δὲ Ἀξῇ, ἄξομαι ἄξῃ, καὶ ἀξῇ· ὡς καὶ τὸ Λαψῇ. 10. Σακίταν] σηκίτην, παρὰ τὸ σηκὸς, ἐν ᾧ καταλείουσι τοὺς ἄρνας χωρὶς τῶν μητέρων ἐν καιρῷ τοῦ ἀπογαλακτίζεσθαι. 12. Λῇς] ἔστι ῥῆμα, λῶ, λεῖς, καὶ τροπῇ, λῇς· θέλεις. — Καθίξας] καθίσας· καθίζω, καθιξῶ. 13. Ἆτε] ὅπου, τοπικὸν Ἐπίρ-

### ΑΙΠΟΛΟΣ.

Τὸ σὸν μέλος, ὦ Ποιμὴν, πολλῷ ἥδιον, ἢ τὸ κατακελαρύζον ἐκεῖνο ὕδωρ, ὃ ἀπὸ τῆς μεταρσίου ἐκεινησὶ καταλείβεται πέτρας· Ἢν οὖν αἱ Μοῦσαι ὄϊν λάβωσι δῶρον, ἄρνα σηκίτην ἕξεις αὐτός· εἰ δὲ ἐκεῖναι τῷ ἀρνὶ μᾶλλον ἥδοιντο, σὺ δεύτερος ἀπολήψῃ τὴν ὄϊν.

### ΘΥΡΣΙΣ·

Ἀλλ᾽ ἆρα ὑπακούσεις μου, ὦ Αἰπόλε, ὅσου δεήσομαι; βουλοίμην γὰρ ἂν, ὦ 'γαθὲ, καθεσθέντα σε ἐπὶ τοῦ κατωφεροῦς ἐκεινουὶ γηλόφου, ἔνθ᾽ εἰσὶν αἱ μυρίκαι, μέλος τι ἀναβαλέσθαι τῇ σύριγκι σύντονον· Τὰς δ᾽ αἶγας ἐν τούτῳ ἐγὼ ποιμανῶ·

### ΑΙΠΟΛΟΣ.

Οὐ θέμις ἡμῖν, ὦ Ποιμὴν, οὐ θέμις, ἐν μεσουρανήματι ἤδη τοῦ ἡλίου γεγενημένου, τῇ σύριγκι χρήσασθαι, δεδιότας τὸν Πᾶνα· νῦν γὰρ ἐκεῖνος ἀπειρηκὼς τοῖς περὶ τὴν ἄγραν πλάνοις, φιληδεῖ ἀναπαύεσθαι· πικρὸς γάρ τις ἐστὶν ἄλλως, καὶ ἀεὶ δριμεῖα χολὴ τῇ ῥινὶ αὐτῷ ὑφιζάνει· ἀλλὰ (σὺ γὰρ, ὦ βέλτιστε Θύρσι, τὰ Δάφνιδος καλῶς ἐπίστασαι ἄλγη,

---

ῥῆμα ὡς καὶ κατωτέρω 22. αἱ δὲ νεώτεραι ἐκδόσεις, Αἴτε γράφουσι. 14. Συρίσδεν] συρίζειν ἐν Ἀπαρεμφάτῳ. — νομευσῶ] νομεύσω, βοσκήσω. 15. Ἄμμιν] ἡμῖν. 16. Δεδοίκαμες] δεδοίκαμεν· οὕτω γὰρ οἱ Δωριεῖς τὰ πρῶτα τῶν πληθυντικῶν προφέρουσι. 17. Τανίκα] τηνίκα, τηνικαῦτα ἀναπαύεται. — Ἐντὶ δὲ] ἐν ἄλλοις Ἐντί γε· ἐστὶ, κατὰ Δωριέας. 19. Ἄλγεα εἶδες] εἴδω, εἴδεις καὶ εἶδες, ὡς καὶ τὸ, Συρίσδες ἀνωτέρω· ἐπίστασαι, ἃ πέπονθε Δάφνις· ὁ δὲ σχολιαστὴς φησι τριχῶς ἐν χειρογράφοις τοῦτο ἔχειν, τουτό τε αὐτὸ

Καὶ τᾶς βωκολικᾶς ἐπὶ τὸ πλέον ἵκεο Μώσας,)
Δεῦρ', ὑπὸ τὰν πτελέαν ἑσδώμεσθα, τῶ τε Πριήπω
Καὶ τᾶν Κρανιάδων κατεναντίον, ᾇπερ ὁ θῶκος
Τῆνος ὁ ποιμενικὸς καὶ ταὶ δρύες. αἰ δέ κ' ἀείσῃς,
Ὡς ποκα τὸν Λιβύαθε ποτὶ Χρόμιν ᾆσας ἐρίσδων,
Αἶγά τέ τοι δωσῶ, διδυματόκον ἐς τρὶς ἀμέλξαι,
Ἃ, δύ' ἔχοισ' ἐρίφως, ποταμέλξεται ἐς δύο πέλλας,
Καὶ βαθὺ κισσύβιον, κεκλυσμένον ἁδέϊ καρῷ,
Ἀμφῶες, νεοτευχὲς, ἔτι γλυφάνοιο ποτόσδον·
Τῷ περὶ μὲν χείλη μαρύεται ὑψόθι κισσὸς,
Κισσὸς ἑλιχρύσῳ κεκονισμένος· ἁ δὲ κατ' αὐτὸν
Καρπῷ ἕλιξ εἱλεῖται ἀγαλλομένα κροκόεντι.
Ἔντοσθεν δὲ γυνὰ, τὶ θεῶν δαίδαλμα, τέτυκται,
Ἀσκητὰ πέπλῳ τε καὶ ἄμπυκι· πὰρ δὲ οἱ ἄνδρες

---

καὶ, ἄλγε' ἄειδες καὶ, Ἄλγε' ἄειδε. 20. Ἐπὶ πλέον] ἐπὶ πολὺ διήκεις, ὑπερτερεῖς τῶν ἄλλων ἐν ᾠδαῖς βουκολικαῖς. 21. Ἑσδώμεθα] ἑζώμεθα, καθεζώμεθα.—Πριήπω] τοῦ Πριάπου. θεὸς ἀρχαῖος οὗτος ἐπιβόητος ἐπ' ἀσελγείᾳ. Κρανιάδας δ' οὐκ οἶδα τίνας φησὶν, οὐδ' ὅστις ἦν ὁ Κράνιος, εἰμὴ τὰς τῶν κρηνῶν νύμφας φησὶ οἷον Κρήνη, κρηνὶς, κρηνίδες καὶ Κρανιάδες. 33. Αἰ δὲ κ' ἀείσῃς] ἀπορεῖται, πῶς αὐτὸς ὁ διὰ φόβον τοῦ Πανὸς οὐκ ἐδέξατο συρίζειν, κελεύει νῦν Θύρσιν ᾄδειν; ἢ ὅτι τὸ Ἄδειν πολλῷ διενήνοχε τοῦ συρίσδειν· τὸ μὲν γὰρ διὰ φωνῆς ἐνάρθρου πληροῦται, μέλος ἅμα καὶ διάνοιαν ἐχούσης τελείαν· τὸ δὲ συρίζειν, καὶ αὐλεῖν, καὶ κιθαρίζειν, καὶ εἴτι τοιοῦτον μέλπειν ἐστὶν δι' ὀργάνων ἠχητικῶν μηδεμίαν ἔννοιαν παριστώντων. 25. Ἐς τρὶς ἀμέλξαι] πότερον, κατ' ἔτος, ἢ καθ' ἡμέραν; τὸ δεύτερον· ἡ γὰρ δίδυμα τεκοῦσα εἰκότως ἀφθονώτερον γάλα παρέξει, καὶ δύο πληρώσει γαλακτοδόχα ἀγγεῖα, τὸ τρίτον ἀπολαμβανόντων τῶν ἐριφίων. 26. Ἔχοισα] ἔχουσα, τὸ Ου εἰς Οι τρεπόντων τῶν Δωριέων. 27. Κισσύβιον] ποτήριον ποιμενικὸν ξύλινον

καὶ τῆς βουκολικῆς ἐμπεφόρησαι Μούσης) δεῦρ' ὑπὸ τὴν πτελέαν καθεζώμεθα ταυτηνί, καταντικρὺ τοῦ Πριάπου καὶ τῶν Κρανιάδων, ἔνθ' ὁ θρόνος ὁ ποιμενικὸς καὶ αἱ δρύες· καὶ εἰ μὲν ᾄσεις ὅμοιον, ὥς ποτε ᾖσας, ἁμιλλώμενος πρὸς Χρόμιν τὸν Λίβυν, πρῶτον μὲν αἶγα δίδυμα ἀποδώσω σοι τετοκυῖαν, οἵαν τρὶς τῆς ἡμέρας ἀμέλξαι· δύο γὰρ σχοῦσα ἐρίφους, εἰκότως δύο πέλλας ἀποδώσει σοι γάλακτος· δεύτερον δὲ καὶ κισσύβιον βαθύ, κηρῷ ἡδεῖ βεβαπτισμένον, ὥστε κἀκ τῆς γλαφυρότητος ἔτι θεσπέσιόν τι ἀπόζειν· οὗ περὶ τὰ χείλη ἐκτείνεται κισσὸς, ἑλιχρύσῳ ἐπιπεπασμένος· ἡ δὲ ἕλιξ, τὸ φύσει φυλάττουσα σχῆμα, κροκοειδεῖ καρπῷ ἐπαγάλλεται· Ἔνδοθεν δ' αὖ γυνὴ κατεσκεύασται, χειρὸς τῶν τινος θεῶν ἔργον θαυμάσιον, πέπλῳ τε περιβεβλημένη, καὶ ἄμπυκι ἀναδεδεμένη· παρὰ δὲ αὐτῇ ἄνδρες δύο, κόμῃ δια-

---

ἐκ κισσοῦ τυχὸν, δύο ὦτα ἔχον· ὅπερ κατασκευάσαντες, κλύζουσι κηρῷ ἀναλελυμένῳ, ἵνα μὴ διαῤῥαγῇ, ὃ καὶ οἱ τὰ οἰναρὰ ἀγγεῖα τόρνῳ κατασκευάζοντες, ἔνδοθέν τε ποιοῦσι καὶ ἔξωθεν 28. Γλυφάνοιο] γλύφανον, τὸ ὄργανον, δι' οὗ τὰ κισσύβια γλύφουσι· ἐν δὲ τῷ γλύφειν ταῦτα ἀπόζει τι τῆς γλυφῆς· τῆς ὀσμῆς δὲ μέμνηται ταύτης, ἵνα δείξῃ ὅτι νεοτευχές ἐστι τὸ σκύφος, καὶ μήπω εἰς χρῆσιν ἐλθόν. — Ποτόσδον] προσόσδον, προσόζον. 29. Μαρύεται] παριχεῖται, ἐκτείνεται· ἑλίχρυσος δὲ τὸ πέριξ τοῦ σκύφους, οἶμαι, βούλεται δηλοῦν χρύσωμα, καίτοι καὶ φυτόν τι ἐστιν, ὑπόχρυσον ἐκφύον ἄνθος, οὕτως ὀνομαζόμενον, οὗ ἡ ἕλιξ, εἱλουμένη περὶ ἑαυτὴν (ἢ ἁπτομένη ἑτέρωθεν), διαπρέπει κροκώδει καρπῷ. 32. Δαίδαλμα] εὔμορφος, οἵαν θεοὶ μόνοι πλάττουσι. 33. Ἄμπυκι.] ἄμπυξ στέφος τι χρυσοῦν, ἢ κτεὶς, ἢ ἁπλῶς ταινία, δι' ἧς τὰ γύναια ἀναδέουσι τὰς προμετωπίδας τρίχας τῆς κεφαλῆς· καὶ ἄλλα τοιαῦτα. Εὐριπίδης δ' ἐν Ἑκάβῃ (στίχ. 460) ἀποδίδωσι

Καλὸν ἐθειράζοντες ἀμοιβαδὶς ἄλλοθεν ἄλλος
Νεικείουσ' ἐπέεσσι· τὰ δ' οὐ φρενὸς ἅπτεται αὐτᾶς,
Ἀλλ' ὀκὰ μὲν τῆνον ποτιδέρκεται ἄνδρα γελεῦσα,
Ἄλλοκα δ' αὖ ποτὶ τὸν ῥιπτεῖ νόον. οἱ δ' ὑπ' ἔρωτος
Δηθὰ κυλοιδιόωντες ἐτώσια μοχθίζοντι.
Τοῖς δὲ μέτα γριπεύς τε γέρων, πέτρα τε τέτυκται
Λεπρὰς, ἐφ' ᾇ σπεύδων μέγα δίκτυον ἐς βόλον ἕλκει
Ὁ πρέσβυς, κάμνοντι τὸ καρτερὸν ἀνδρὶ ἐοικώς·
Φαίης κεν γυίων νιν ὅσον σθένος ἐλλοπιεύειν·
Ὧδέ οἱ ᾠδήκαντι κατ' αὐχένα πάντοθεν ἶνες,
Καὶ πολιῷ περ ἐόντι· τὸ δὲ σθένος ἄξιον ἅβας.
Τυτθὸν δ' ὅσσον ἄπωθεν ἁλιτρύτοιο γέροντος
Πυρναίαις σταφυλαῖσι καλὸν βέβριθεν ἀλωά·
Τὰν ὀλίγος τις κῶρος ἐφ' αἱμασιαῖσι φυλάσσει
Ἥμενος· ἀμφὶ δέ μιν δύ' ἀλώπεκες, ἁ μὲν ἀν' ὄρχως

---

ταύτην χρυσῆν τῇ Ἀρτέμιδι. 34. Ἐθειράζοντες] κομῶντες, ἢ μᾶλλον γενειῶντες ἤδη, ὅθεν προσέθηκε τὸ, Καλὸν, ὃ σημαίνει τὸ Ἐπίχαρι καὶ ἐρωτικὸν κατὰ τὴν ἡλικίαν αὐτήν. 35. Νεικείουσιν ἐπέεσσι] λόγοις διαπληκτίζονται· πότερον δὲ, αὐτοὶ πρὸς ἀλλήλους ὑπὲρ αὐτῆς, ἢ ἀμφότεροι πρὸς ἐκείνην, προσαγαγέσθαι ταύτην πειρώμενοι; τὸ δεύτερον ἴσον ἄμεινον, ὡς ἐκ τῶν ἑπομένων. 36. Ὀκα] ὁτὲ μὲν, ἄλλοτε δέ.—Τῆνον, ἐκεῖνον προσδέρκεται γελῶσα. Πρὸς ἐκεῖνον μὲν βλέπει, τοῦτον δὲ ἐννοεῖ· οὐ γὰρ ἂν εἴποι πιθανῶς, ὅτι στρεφομένους, βλέπει, ἀμφοτέρους ἐν μέρει· τοῦτο γὰρ ἂν εἴη ψυχὴν καὶ κίνησιν τοῖς ἀψύχοις καὶ ἀκινήτοις ἀπιθάνως διδόναι· καίτοι ὁ παντοῖμος Ὅμηρος καὶ τοῦτο τοῖς θεοῖς ἀποδίδωσιν, ἔνθα δμωΐδας χαλκᾶς, ἢ χρυσᾶς ἐν τῷ χαλκοβατεῖ τῶν θεῶν δώματι ὑπηρετούσας· κἀν τῇ ἀσπίδι τοῦ Ἀχιλλέως πολλὰ ποιήσας ἀπίθανα καὶ ἀσυμβίβαστα φύσει. 38. Κυλοιδιόωντες] παρὰ τὸ Κύλα καὶ Οἰδαίνειν· Κύλα δὲ σημαίνει καὶ πᾶν ὁτιδήποτε κοῖλον, ἀλλὰ καὶ τὰ βλέφαρα, καὶ τὰ περὶ τὸν ὀφθαλμὸν κοῖλα· ταῦτ' οὖν τοῖς ἐρῶσιν ἐξοιδαίνουσιν, ὡς αὐτός φησιν· τὸ δὲ Μοχθίζοντι, μοχθίζου-

πρέποντες, ἑκατέρωθεν παριστάμενοι, ἀμοιβαδὸν περὶ αὐτῆς διαμάχονται λόγοις· ἡ δὲ μηδὲν τούτων φροντίζει· οὐ δὲ τῆς ὁμοχροίης αὐτῆς τι τούτων ἅπτεται· ἀλλ᾽ ὁτὲ μὲν πρὸς τοῦτον μειδιῶσα ὁρᾷ, ὁτὲ δὲ πρὸς ἐκεῖνον τὸν νοῦν μεταφέρει· οἱ δὲ ἐν πολλῇ διατριβῇ, τὰ τῶν ὀμμάτων κῦλα ἐξῳδηκότες ὑπ᾽ ἔρωτος, μάτην πονοῦσι· Ἐν δὲ τούτοις πέτρα τις αὖθις πεποίηται σηραγκώδης πως, καὶ γέρων ἐπ᾽ αὐτῆς ἁλιεὺς, ὃ πολλῷ πόνῳ ἐβεβλήκει εἰς τὴν θάλασσαν δίκτυον, σὺν πόνῳ ἕλκων, ἀνδρὶ κάμνοντι τὴν ἰσχὺν ἐοικώς· ὃν φαίη τις ἂν, ὅσον ἐκ τῶν μελῶν αὐτοῦ, σὺν σπουδῇ ἁλιεύειν· οὔτε γὰρ κατὰ τὸν αὐχένα τένοντες ἀνεστήκασι, καίπερ γεγηρακότι, καὶ ἡ ἰσχὺς αὐτῷ, οἵαν τῶν ἐν ἡλικίᾳ τινὰ ἄξιον ἂν εἴη ἔχειν. Παρὰ δὲ αὐτῷ μικρὸν περαιτέρω ἄμπελος φαίνεται πυρκάζουσι βρύθουσα βότρυσι· τὴν δὲ παῖς καθήμενος πρὸς τῇ αἱμασιᾷ, φυλάττει, μήτις ποθὲν βλάψειε παρεισδύσας· Ἐν δὲ τούτοις ὄντος αὐτοῦ, ἀλώπεκες δύο περιπολοῦσιν, ὧν ἡ μὲν κατὰ τοὺς ὄρχους ὑπεισδῦσα, περιτρώγει τοὺς βότρυας

---

σιν, ἀντὶ τοῦ Μοχθοῦσι. 40. Λεπρὰς] λελεπρωμένη, ἡ λευκὴ διὰ τὸ τοὺς λεπρώδεις λεύκωμα ἐπὶ τῆς ἐπιδερμίδος τοῦ σώματος ἔχειν, ἢ σηραγκώδης, καὶ ἀνώμαλος, καὶ θρίγκωμά τι οἷον φύκη ἄνωθεν ἐξηνθηκυῖα. — Εἰς βόλον] εἰς ἄγραν· ἄμεινον δ᾽ ἂν εἴη γράφειν ἐκ βόλου. 41. Τὸ καρτερικὸν] ὅση δύναμις αὐτῷ ἐστι. 42. Γυίων] ἐκ τῶν μελῶν αὐτοῦ συνάγοις ἄν, ὅπως παντὶ σθένει ἁλιεύει. 43. Ὠδήκαντι] ᾠδοίκασιν, ἐξώγκωνται. 46. Πυρναίαις] πυρωταῖς διὰ τὸ ἐρυθρὸν χρῶμα, ἃς χαίρει τις βλέπων· τοῦτο γὰρ ἂν δηλοίη τὸ, Καλὸν, προστεθέν. 47. Κῶρος] ἐκ τοῦ Κοῦρος, κόρος, νέον παιδίον. — Αἱμασιαῖσι] παρὰ τὸ Αἱμάσειν· δηλοῖ γὰρ μᾶλλον φραγὴν περιθριγκωμένην ἀκανθωτοῖς τισι θάμνοις, οἷον μάλιστα παλιούροις. 48. Ὄρχως] ὄρχους. τοὺς τῆς φυτείας τῆς ἀμπέλου στίχους δηλοῖ. Τρώξιμον δὲ τὸ πεπαινόμενον καὶ πυρκάζον, οὐ μὴν δὲ καὶ τὸ ἔτι πη ὀμφακίζον τῆς στα-

Φοιτῇ σινομένα τὰν τρώξιμον, ἁ δ' ἐπὶ πήραν
Πάντα δόλον τεύχοισα, τὸ παιδίον οὐ πρὶν ἀνήσειν
Φατὶ πρὶν ἢ ἀκράτιστον ἐπὶ ξηροῖσι καθίξῃ.
Αὐτὰρ ὅγ' ἀνθερίκεσσι καλὰν πλέκει ἀκριδοθήραν,
Σχοίνῳ ἐφαρμόσδων· μέλεται δέ οἱ οὔτέ τι πήρας,
Οὔτε φυτῶν τοσσῆνον, ὅσον περὶ πλέγματι γαθεῖ.
Παντᾷ δ' ἀμφὶ δέπας περιπέπταται ὑγρὸς ἄκανθος,
Αἰολικόν τι θάημα· τέρας κέ τυ θυμὸν ἀτύξαι·
Τῶ μὲν ἐγὼ πορθμεῖ Καλυδωνίῳ αἶγά τ' ἔδωκα
Ὦνον, καὶ τυρόεντα μέγαν λευκοῖο γαλακτος·
Οὐδ' ἔτι πα ποτὶ χεῖλος ἐμὸν θίγεν, ἀλλ' ἔτι κεῖται
Ἄχραντον. τῷ κέν τυ μάλα πρόφρων ἀρεσαίμαν,
Αἴκεν μοι τὺ φίλος τὸν ἐφίμερον ὕμνον ἀείσῃς
Κοὔ τοι τὶ φθονέω. πόταγ', ὦ 'γαθέ. τὰν γὰρ ἀοιδὰν

---

φυλῆς. 51. Ἀκράτιστον ἐπὶ ξηροῖσι καθίξῃ.] ἀκρατίζεσθαί ἐστι τὸ ἑωθινὸν πρόγευμα, ὃ καὶ ἀκράτιστον λέγεται· Ἐνταῦθα τοίνυν τὸ ταλαίπωρον παιδίον, εἰ καὶ ἠκρατίσατο, ἀλλ' ἐπιβουλευομένης αὐτῷ τῆς τροφῆς ἐκ τῆς πήρας, οὐκ ἂν ἀριστήσειεν, ἢ δειπνήσειεν, ἐπὶ ξηροῖς καθήμενον· ὅ ἐστιν ἀπὸ πήρας κενῆς τί ἂν λάβοι; Ἄλλως, εἰ ἀνθ' ἑνὸς ἄμφω συλλάβοιμεν, οἷον, ἀκράτιστος ἐπὶ ξηροῖσιν ἀντὶ τοῦ ἄγευστος ὅλως, ὅ ἐστι κενῶς ἀκρατισάμενος· εἰδὲ παράγοιμεν τοῦτο παρὰ τὸ κρατεῖν, εἶεν ἂν ἑρμηνεύειν, ἀκράτητος, ἐνδεὴς τροφῆς καὶ ἐπὶ ξηροῖς, εἰς τὰ ξηρὰ, ὡς νῦν εἰώθαμεν λέγειν. 52. Ἀκριδοθήραν] πλέγμα τι εἰς θήραν ἀκρίδων (ἄθυρμα ἴσως τοῦτο παίδων) στήμονα μὲν, οἷον πλευρὰς, σχοῖνον ἔχον· ὕφος δὲ, ἀνθέρικας, οἷον κάλαμον σίτου· δεῖ γὰρ τὰ συνέχοντα ἰσχυρότερα. 54. Γαθεῖ] γηθεῖ, χαίρει. ἐντρυφᾷ, ἀγάλλεται. 55. Ὑγρὸς] εὐλύγιστος, εὐάγωγος, ἁπαλός· ἢ τὸ Ἄκανθος παραδεκτέον ἀρσενικῶς, ἢ τὸ Ὑγρὸς Ἀττικῶς ἐν θηλυκῷ ἀντὶ τοῦ Ὑγρά. 56. Αἰωλικὸν] ὀπτικὴν ἀπάτην δηλοίη ἂν μᾶλλον τοῦτο, καθάπερ ἐν σηρικοῖς ὑφάσμασι στρεφομένοις ἄλλην ἄλλοτε ἐνορῶμεν ἰδέαν. τὸ δὲ Θάημα ἀντὶ τοῦ, Θέαμα

ἡ δὲ τῇ τοῦ παιδὸς ἐπιβουλεύουσα πήρᾳ, οὐκ ἐάσειν φησὶ τὸ παιδίον πρὶν ἂν πᾶν τὸ ἐκ τῆς πήρας ἀφέληται βρόσιμον· ὁ δὲ παῖς πλέκει ἀκριδοθήραν καλὴν ἀνθερίκεσιν, συνδέων σχοίνῳ· μικρὸν δὲ τῆς πήρας καὶ τῆς ἀμπέλου φροντίζων, τῷ παρόντι ὅλως ἀγάλλεται πλέγματι· Χωρὶς δὲ τούτων ὁρᾷ τις ἔτι ἐν τῷ κισσυβίῳ ἄκανθάν τινα εὐκαμπῆ περικεχυμένην, ἄλλοτε ἄλλην θέαν, οἵαν ἐκπλῆξαι τὴν τοῦ θεωμένου ψυχὴν, ἐν τῇ συστροφῇ, ὥσπερ τέρας, παρέχουσαν· Τοῦτο οὖν τὸ περικλεέστατον σκύφος αἰγὸς καὶ τροχοῦ ἐκ γαλατοπήκτου τυροῦ παρὰ Καλυδωνίου ὠνησάμενος πορθμέως, ἄχραντον ἔτι καὶ νῦν φυλάττω, τοῖς ἐμαυτοῦ χείλεσι μήπω προσενεγκών. Ταῦτ' ἄρ' εἴγε, ᾧ χαίρειν δοκῶμαι μάλιστ', εἴποις μοι ὕμνον, οὐκ ἀχάριστόν σοι παρ' ἐμοῦ τοῦθ' ὑπάρξει· οὐδ' ἂν φθονήσαιμί σοι· ἀλλὰ πάρεχ', ὦ 'γαθὲ, σεαυτὸν εὐπειθῆ, συναινέσας, οἷς αὐτὸς ἀξιῶ· οὐ γὰρ ἂν φυλάξειας τὴν ᾠδὴν ἐς τὸν Ἅδην· ὃν ἐκεῖ ἡμῖν κατιοῦσιν ἓν πάντων τῶν

---

τὸ γὰρ θεάομαι θαήομαι προφέρουσι Δωριεῖς. 56. Τέρας κέ τυ θυμὸν ἀτύξαι] θαῦμα, φησὶ, οἷον ἐπλῆξαί σε κατὰ ψυχήν· τὸ γὰρ Τὺ λαμβάνεται παρὰ δωριεῦσιν ἀντὶ τοῦ Σὺ. καὶ σπανίως εἰς Αἰτιατικὴν ἀντὶ τοῦ, Σέ· ὡς κατωτέρω μικρόν. στίχ. 60.—57. Τῶ μὲν] εἰς γενικὴν τοῦτο, Τοῦ μὲν, τοῦτο δὲ ἀντὶ τοῦ, Οὗ, ἵνα ᾖ κτητικῶς εἰς τὸ Ὦνον ἀποδιδόμενον. Ἡ δὲ Καλυδὼν πόλις ἐπὶ τοῦ Εὐήνου ποταμοῦ ἐν Αἰτωλίᾳ, ἧς ποτε Οἰνεὺς ἐβασίλευεν. 60. Τῷ κέντυ] ἐφ' ᾧ (ἐπὶ τῷ ἄχραντον εἶναι) καὶ μάλιστα ἀρεστά σοι δόξαιμι ἂν ποιεῖν· τὸ δὲ Τυ ἀντὶ τοῦ Σε ὡς εἴρηται· καὶ γὰρ καὶ Πλάτων καὶ Θουκυδίδης πρὸς Αἰτιατικὴν τὸ Ἀρέσκειν συνέταξαν. Εἴη δ' ἂν οὖν καὶ οὕτως ἑρμηνευθῆναι. Τῷ . . . ἀρεσαίμην· οἷον, τοιούτῳ (ἀχράντῳ) πολλῷ μᾶλλον ἔγωγ' ἂν ἀρεσαίμην. 62. Κοὔτοι τι φθονέω] οὐ φείδομαι δοῦναί σοι τούτῳ, μόνον πρόσαγε σεαυτόν. 63. Ἐκλελάθοντα] τὸν πάντων

Οὔτι πα εἰς Ἀΐδαν γε τὸν ἐκλελάθοντα φυλαξεῖς.

ΘΥΡΣΙΣ.

Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Θύρσις ὅδ' ὠ'ξ Αἴτνας, καὶ Θύρσιδος ἁδ' ἁ φωνά·
Πᾷ ποκ' ἄρ' ἦθ', ὅκα Δάφνις τάκετο πᾷ ποκα, Νύμφαι;
Ἤ κατὰ Πηνεῶ καλὰ τέμπεα, ἢ κατὰ Πίνδω;
Οὐ γὰρ δὴ ποταμῶ γε μέγαν ῥόον εἴχετ' Ἀνάπω,
Οὐδ' Αἴτνας σκοπιὰν, οὐδ' Ἄκιδος ἱερὸν ὕδωρ.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Τῆνον μὰν θῶες, τῆνον λύκοι ὠρύσαντο,
Τῆνον χὼ 'κ δρυμοῖο λέων ἀνέκλαυσε θανόντα.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Πολλαί οἱ πὰρ ποσσὶ βόες, πολλοὶ δέ τε ταῦροι,
Πολλαὶ δ' αὖ δαμάλαι καὶ πόρτιες ὠδύραντο.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ἦνθ' Ἑρμᾶς πράτιστος ἀπ' ὤρεος, εἶπε δὲ, Δάφνι,
Τίς τυ κατατρύχει; τίνος, ὦ 'γαθὲ, τόσσον ἔρασσαι;

---

ἐπιλανθάνεσθαι ποιοῦντα τοὺς κατιόντας ἐκεῖσε. 64. Ἄρχετε] ἐφύμνιον τοῦτ' ἐστιν, ᾧ ταῖς τῶν ἐννοιῶν μάλιστα μεταβάσεσιν ἑξῆς χρῆται πανταχοῦ. 65. Ὠξ Αἴτνας] ὁ ἐκ τῆς Αἴτνης· ἥτις ἐστὶν ὄρος ἐν Σικελίᾳ πυρπνόον. 66. Ἦθ'] ἦτε ὑμεῖς αἱ νύμφαι· ἐνταῦθα παρίστησι Δάφνιν τηκόμενον ἔρωτί τινος, ἢ θνητῆς ἢ Νύμφης· Πηνειὸς δ' ἐν Θεσσαλίᾳ ποταμὸς ὁ διὰ Ὀλύμπου καὶ τῆς Ὄσσης, τοῦ νῦν Κισσάβου διὰ τῶν καλῶν ἐκείνων Τεμπῶν ἐκρέων εἰς θάλασσαν ἐν τῷ Θερμαϊκῷ κόλπῳ. Πίνδος δὲ τὸ κατὰ τὸ Μάσιβον ὄρος· ὁ δ' αὖ Ἄναπος ποταμὸς ἐν Συρακούσαις ἐστὶν, ὡς καὶ ὁ Ἄκις ἐν τῇ Αἴτνῃ. 74. Ταῦροι] τέσσαρα εἴδη δίδωσι τοῦ βοός. τὸν ταῦρον, τὴν βοῦν, τὴν δαμάλιδα καὶ δαμάλην, τὴν ὡραίαν οὖσαν γάμου δὲς ῥίπειν, καὶ τὴν ἐνιαύσιον πόρτιν, ἴσην χρόνῳ τῇ χιμάρῳ· καθάπερ καὶ

ἐν τῷ βίῳ καλῶν ἀντίδοτον μόνον τὸ τῆς λήθης προσφέρει ὕδωρ.

ΘΥΡΣΙΣ.

Ἄρχετε βουκολικῆς, Μοῦσαι φίλαι, ἄρχετε ᾠδῆς.

Θύρσις ὅδ' αὐτὸς ὁ ἐξ Αἴτνης, καὶ ἡ φωνὴ αὕτη Θύρσιδός ἐστι· Πῆ ποτ' ἦτε, ὦ Νύμφαι, πῆ ποτε, ὁπόθ' ὁ Δάφνις ἐτήκετο ἔρωτι; ἢ περὶ τὰ τοῦ Πηνειοῦ ποταμοῦ καλὰ τέμπη καὶ περὶ τὸν Πίνδον; μήτε γὰρ περὶ τὸ μέγα τοῦ Ἀνάπου ῥεῖθρον κατῳκεῖτε, μήτε κατὰ τὴν σκοπιὰν τῆς Αἴτνης περιεπολεῖτε, μήτ' αὖ ἐν αὐτῷ τῷ Ἄκιδι διετρίβετε.

Ἄρχετε βουκολικῆς, Μοῦσαι φίλαι, ἄρχετε ᾠδῆς.

Ἐκεῖνο γὰρ τὸ πάθος καὶ θῶες ἐδάκρυσαν, ἐκεῖνον καὶ λύκοι ἐθρήνυσαν, ἐκεῖνον καὶ ὁ ἐν δρυμῶσι διαιτώμενος λέων ἀνέκλαυσε.

Ἄρχετε βουκολικῆς, Μοῦσαι φίλαι, ἄρχετε ᾠδῆς.

Πολλαὶ μὲν καὶ βόες, ἐκείνῳ παροῦσαι, πολλαὶ δ' αὖ δαμάλαι καὶ πόρτιες ἔτι, τὸ πάθος ἰδοῦσαι, ὠδύραντο.

Ἄρχετε βουκολικῆς, Μοῦσαι φίλαι, ἄρχετε ᾠδῆς.

Ἐλθὼν Ἑρμῆς πρῶτος ἀπὸ τοῦ ὄρους, Δάφνι, φησὶ πρὸς αὐτὸν, τί ποθ' οὕτω σε περικναίει; τίνος πότ', ὦγαθὲ, οὕτως ἰσχυρῶς ἑάλως τῷ ἔρωτι;

---

ὁ μόσχος ἔχει πρὸς τὸν ἄρνα. 77. Ἦνθε] ἦλθεν Ἑρμῆς· παρὰ γὰρ τοῖς Δωριεῦσι, ἐπειδὰν προηγουμένῳ τῷ Λ ἕπεται Θ ἢ Τ, τρέπονται εἰς Ν. οἷον, ἦλθε, ἦνθε· φίλτατος, φίντατος· βέλτιστος, βέντιστος. — Πράτιστος] πρώτιστος· καὶ ὤρεος, οὔρεος, ὄρους· ἐν μὲν ἐκείνῳ, ἐτράπη τὸ ω εἰς α· ἐν τούτῳ δὲ τὸ εἰς ου Ἰωνικῶς, ἐκ δὲ τούτου αὖθις εἰς ω δωρικῶς· καθάπερ καὶ κατωτέρω Ὡπόλοι ἦνθον ἀντὶ τοῦ, οἱ αἰπόλοι ἦλθον. 78. Τίς τυ] τίς σε,

Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ἦνθον τοὶ βῶται, τοὶ ποιμένες, ᾡπόλοι ἦνθον,
Πάντες ἀνηρώτευν, τί πάθοι κακόν. ἦνθ' ὁ Πρίηπος,
Κῆρα, Δάφνι τάλαν, τί τὺ τάκεαι; ἁ δέ τε κώρα
Πάσας ἀνὰ κράνας, πάντ' ἄλσεα ποσσὶ φορεῖται,
(Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς)
Ζατεῦσ'· ἆ δύσερώς τις ἄγαν καὶ ἀμάχανος ἐσσί.
Βώτας μὰν ἐλέγευ· νῦν δ' αἰπόλῳ ἀνδρὶ ἔοικας.
Ὡιπόλος, ὅκκ' ἐσορῇ τὰς μηκάδας, οἷα βατεῦνται,
Τάκεται ὀφθαλμὼς, ὅτι οὐ τράγος αὐτὸς ἔγεντο.

Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Καὶ τὺ δ' ἐπεί κ' ἐσορῇς τὰς παρθένος, οἷα γελεῦντι,
Τάκεαι ὀφθαλμὼς, ὅτι οὐ μετὰ ταῖσι χορεύεις.
Τὼς δ' οὐδὲν ποτελέξαθ' ὁ βωκόλος, ἀλλὰ τὸν αὐτῷ
Ἄνυε πικρὸν ἔρωτα, καὶ ἐς τέλος ἄνυε μοίρας.

Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ' ἀοιδᾶς.
Ἦνθέ γε μὰν ἀδεῖα καὶ ἁ Κύπρις γελάοισα,
Λάθρια μὴν γελάοισα, βαρὺν δ' ἀνὰ θυμὸν ἔχοισα,

---

ὡς ἀνωτέρω (στίχ. 54.) εἴρηται. 82. Κῆρα] καὶ ἔφη. — Κώρα] κούρη ἡ κόρη, ὡς τὸ οὖρος ὦρος ἀνωτέρω, στίχ. 77.—83. Πάσας ἀνὰ κρήνας] ἐν ἄλλοις πᾶσαν ἀνὰ κρήναν κεῖται.—Ποσσὶ φορεῖται ζητεῦσα] περιφέρεταί σε ζητοῦσα· οὐκ ἀληθῆ δὲ λέγει ἐνταῦθα Πρίαπος, ἀλλ' ἤτοι παραμυθούμενος Δάφνιν ἐκ συμπαθείας, ἢ εἰρωνευόμενος καὶ σκώπτων. ἄλλως γὰρ ἡ Δάφνις ἐζήτει τὴν κόρην. 85. Ἆ δύσερως καὶ ἀμήχανός ἐσσι.] ὡς δεινὸν καὶ ἀκαταμάχητον ἔρωτα ἔχεις· καί σοι μηχανὴ καταπαῦσαι αὐτὸν οὐκ ἔστι. 86. Ἐλέγευ] ἐλέγου, ἐκαυχῶ, ηὔχου· τὸ Ου εἰς Ευ τραπέντος· ὡς καὶ τὸ Ἀνηρώτευν, καὶ κατωτέρω, Βατεῦνται. 87. Μηκάδας] ἐπίθετον δὲ τοῦτο

Ἄρχετε βουκολικῆς, Μοῦσαι φίλαι, ἄρχετε ᾠδῆς.

Ἦλθον μὲν βουκόλοι, ἦλθον ποιμένες καὶ Αἰπόλοι ἄλλοθεν ἄλλος πανταχόθεν· καὶ ἐλθόντες ἀνηρώτων, τίποτ' ἂν εἴη ὅ,τι τυγχάνει πεπονθώς; ἐλθὼν δὲ καὶ Πρίαπος, Δάφνι τάλαν, ἔφη πρὸς αὐτὸν, τίποθ' οὕτω καταφθίνεις; ἡ γὰρ κόρη ἀνὰ πάσας περιπολοῦσα κρήνας καὶ δρυμῶνας, ζητεῖσε.

Ἄρχετε βουκολικῆς, Μοῦσαι φίλαι, ἄρχετε ᾠδῆς.

Ὡς χαλεπῷ, ὦ τάλας, καὶ ἀργαλέῳ κατέσχησαι ἔρωτι· καὶ βουκόλου ὄνομα φέρων, αἰπόλῳ τοῖς ἔργοις ἔοικας ἀνδρί· οὗτος γὰρ, ἐπειδὰν ὁρᾷ τὰς αἶγας ὀχευομένας τήκεται τοὺς ὀφθαλμοὺς, ὅτι μὴ καὶ αὐτὸς ἐγένετο τράγος.

Ἄρχετε βουκολικῆς, Μοῦσαι φίλαι, ἄρχετε ᾠδῆς.

Οὕτω γὰρ καὶ αὐτὸς, ὅτε ποτ' ἂν ἴδῃς τὰς παρθένους γελώσας, τήκῃ τοὺς ὀφθαλμοὺς, ὅτι μὴ μετ' ἐκείνων χορεύεις· Ταῦτα μὲν οὗτοι· ὁ δὲ Βουκόλος, μηδὲν φθεγξάμενος πρὸς αὐτοὺς, τὸν ἑαυτοῦ πικρὸν καὶ ἀμήχανον ἐπέραινεν ἔρωτα, πρὸς ὃ ἡ Μοῖρα αὐτὸν προσδιώρισεν, ἀνύτων τέλος.

Ἄρχετε βουκολικῆς, Μοῦσαι φίλαι, ἄρχετε ᾠδῆς.

Ἦλθε γε μὴν τελευταία καὶ ἡ Κύπρις ὑπογελῶσα· γελῶσα μὲν τὸ φαινόμενον, δεινὸν δὲ καὶ ἐπίβουλον τὸ ὑποκρυπτό-

---

τῶν αἰγῶν ὡς μηκωμένων· ἐπειδὴ δὲ οἱ μὲν βόες δοκοῦσι σωφρονέστεροι εἰς ἀσέλγειαν, ἀποδίδωσι καὶ τοῖς νομεῦσι τὸ πάθος ὅμοιον, τῷ μὲν βουκόλῳ τὸ σῶφρον, τῷ δὲ αἰπόλῳ τὸ λάγνον. 88 Ὀφθαλμὼς] κατὰ τοὺς ὀφθαλμούς. 90. Γελεῦντι] γελῶσι· ἐν ἄλλοις δὲ κατὰ ἓν πάθος γίνεται τοῦτο, γελῶντι. 92. Τὼς δὲ] τούτους δὲ τοὺς ἀμφὶ Πρίαπον οὐδὲ λόγου ἠξίωσε Δάφνις· κεκρατημένος γὰρ τῷ ἑαυτοῦ ἔρωτι, ἤνυε τὴν ἐπὶ τὸν Ἅδην. 96. Λάθρια] ἐπιβούλως γελῶσα, ἄλλα μὲν κεύθουσα ἐνὶ φρεσίν, ἄλλα δὲ

Κῆπε, τὺ θὴν τὸν ἔρωτα κατεύχεο, Δάφνι, λυγιξεῖν·
Ἆρ᾽ οὐκ αὐτὸς ἔρωτος ὑπ᾽ ἀργαλέω ἐλυγίχθης;
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς·
Τὰν δ᾽ ἄρα χ᾽ ᾡ Δάφνις ποταμείβετο, Κύπρι βαρεῖα,
Κύπρι νεμεσσατὰ, Κύπρι θνατοῖσιν ἀπεχθής·
Ἤδη γὰρ φράσδει πάνθ᾽ ἅλιος ἄμμι. δεδύκει
Δάφνις, κ᾽ εἰν ἀΐδα κακὸν ἔσσεται ἄλγος ἔρωτος.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
Οὐ λέγεται τὰν Κύπριν ὁ βωκόλος — ἕρπε ποτ᾽ Ἴδαν,
Ἕρπε ποτ᾽ Ἀγχίσαν· τηνεὶ δρύες, ὧδε κύπειρος,
Ὧδε καλὸν βομβεῦντι ποτὶ σμάνεσσι μέλισσαι.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
Ὡραῖος χ᾽ Ὤδωνις, ἐπεὶ καὶ μᾶλα νομεύει,
Καὶ πτῶκας βάλλει, καὶ θηρία τἆλλα διώκει.
Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.

---

βάζουσα· διὸ καὶ ὁ Δάφνις ἀποτόμως αὐτῆς ἐπσμένως καθάπτεται. 97. Κατεύχεο] ἐκαυχῶ, ὅτι σὺ καταπαλαίεις τὸν ἔρωτα· σὺ δὲ ἀντὶ τοῦ λυγίσαι αὐτὸν ἐλυγίσθης παρ᾽ αὐτοῦ, ὅ ἐστιν ἐκάμφθης. 102. Ἤδη γὰρ . . . Δάφνις,] τὸ χωρίον τοῦτο διωρθώσας τις, προσεσημειώσατο ἐν τῷ ἑαυτοῦ βιβλίῳ ὡδί· ἦν γαρ πρότερον ἔχον.

» Ἤδει γὰρ φράσδει πάντα, ἅλιον ἄμμι δεδύκειν.

ἐδεξάμην δὲ τὴν διόρθωσιν, ὡς οἰκειοτέραν καὶ πιθανωτέραν ὡς πρὸς τοὺς ἐλέγχους· μέμφεται γὰρ αὐτὴν, ἐφ᾽ οἷς περιεπλάκη σὺν τῷ Ἄρει τοῖς Ἡφαιστίοις δικτύοις ἐπὶ συνουσίᾳ· ὁ δὲ Ἥλιος ἰδὼν, ἐμήνυσε τῷ Ἡφαίστῳ· πείθει δὲ ἔτι καὶ τὸ, Ἄμμι, ἐν πληθυντικῷ ἐξενεχθὲν ἀριθμῷ· ἐν τοιαύτῃ ἐννοίᾳ, Ναὶ μισητὴ εἶ· ἤδη γὰρ αὐτὸς ὁ ἥλιος λέγει ἡμῖν. οἷά σοι πέπρακται πρὸς τὸν Ἄρην· ὁ δὲ Δάφνις τελευτᾷ. 105. Οὐ λέγεται] τοῦτο ἀναφέρεται

μενον ὑποθάλπουσα πάθος· παρελθοῦσα δὲ, τίποτ', ὦ ταλαίπωρε, ἔφη, ὃς αὐτὸς ηὔχεις ποτὲ καταπαλαίσειν τὸν ἔρωτα, αὐτὸς νῦν ὑπ' ἐκείνου οὕτω κατεπαλαίσθης;

Ἄρχετε βουκολικῆς, Μοῦσαι φίλαι, ἄρχετε ᾠδῆς.

Δάφνης δὲ αὐτὴν ἐκείνοις ἠμείψατο· Κύπρι βαρεῖα, Κύπρι μισητὴ, ἐπαχθὴς θνητοῖς τε καὶ ἀθανάτοις Κύπρι, τὰ μὲν κατὰ σὲ Ἥλιος ἡμῖν μηνύει πάντα· Δάφνις δὲ νῦν ἐκλείπει ὅλως.

Ἄρχετε βουκολικῆς, Μοῦσαι φίλαι, ἄρχετε ᾠδῆς.

Ἴθ' αὐτή γε πρὸς τὴν Ἴδην, ἔνθ' ὁ βουκόλος λέγεται.... ἕρπε πρὸς τὸν σὸν Ἀγχίσην· ἐκεῖ μὲν γὰρ εἰσὶν δρύες ὑψίκομοι, ὧδε δὲ κύπειρος χθαμαλή· καὶ μέλισσαι, τὰ σμήνη περιϊπτάμεναι, μέλος ἥδιστον ἐμβομβοῦσιν.

Ἄρχετε βουκολικῆς, Μοῦσαι φίλαι, ἄρχετε ᾠδῆς.

Ὡς καλὸς καὶ ὁ Ἄδωνις, ὁ καὶ ὄϊς νέμων, καὶ λαγωοὺς βάλλων, καὶ τἄλα τῶν θηρίων διώκων.

Ἄρχετε βουκολικῆς, Μοῦσαι φίλαι, ἄρχετε ᾠδῆς.

---

πρὸς τὸ Ἴδην κατὰ σχῆμα προθύστερον. — Βουκόλος] Ἀγχίσου, καλοῦ ὄντος λίαν, ἠράσθη ἡ Ἀφροδίτη ἐπὶ της Ἴδης νέμοντος τὰς βοῦς, καὶ ἐγέννησεν ἐξ αὐτοῦ Αἰνείαν. 106. Τηνεὶ δρύες] ὑψίκομοι, ἔνθα δύνασαι ἀποκρύπτεσθαι ἐν τῷ παίζειν τοὺς ἔρωτας· κύπειρος δὲ βοτάνη ἐστίν. 109. Ὤδωνις] ὁ Ἄδωνις· λίαν καλὸς καὶ οὗτος· ἐρασθεῖσα δὲ καὶ αὐτοῦ ἡ τῆς ἀσελγείας θεὸς, ἠκολούθει αὐτῷ πανταχοῦ ἐν θήραις· ἔνθα Ἄρτεμις, κελεύσαντος Ἄρεως, ἀφῆκε χοῖρον ἄγριον ἐπ' αὐτόν· ὑφ' οὗ δηχθεὶς, μετ' οὐπολυ ἀπέθανεν, κἀκ τοῦ αἵματος αὐτοῦ ἀνεφύη ἡ ἀνεμώνη, ἄνθος τοῦτο τοῦ ἀγροῦ.—

Αὖτις ὅπως στασῇ Διομήδεος ἆσσον ἰοῖσα,
Καὶ λέγε, τὸν βώταν νικῶ Δάφνιν, ἀλλὰ μάχευ μοι.
  Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
Ὦ λύκοι, ὦ θῶες, ὦ ἀν᾽ ὤρεα φωλάδες ἄρκτοι,
Χαίρεθ᾽· ὁ βωκόλος ὔμμιν ἐγὼ Δάφνις οὐκέτ᾽ ἀν᾽ ὕλαν,
Οὐκέτ᾽ ἀνὰ δρυμὼς, οὐκ ἄλσεα· χαῖρ᾽ Ἀρέθοισα,
Καὶ ποταμοὶ, τοὶ χεῖτε καλὸν κατὰ Θύμβριδος ὕδωρ.
  Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
Δάφνις ἐγὼν ὅδε τῆνος, ὁ τὰς βόας ὧδε νομεύων,
Δάφνις ὁ τὼς ταύρως καὶ πόρτιας ὧδε ποτίσδων.
  Ἄρχετε βωκολικᾶς, Μῶσαι φίλαι, ἄρχετ᾽ ἀοιδᾶς.
Ὦ Πὰν, Πὰν, εἴτ᾽ ἐσσὶ κατ᾽ ὤρεα μακρὰ Λυκαίω,
Εἴτε τύ γ᾽ ἀμφιπολεῖς μέγα Μαίναλον, ἔνθ᾽ ἐπὶ νᾶσον
Τὰν Σικελὰν, Ἑλίκας δὲ λίπε Ῥίον, αἰπύ τε σᾶμα
Τῆνο Λυκαονίδαο, τὸ καὶ μακάρεσσιν ἀγαστόν.
  Λήγετε βωκολικᾶς, Μῶσαι, ἴτε, λήγετ᾽ ἀοιδᾶς.

---

Μᾶλα] μῆλα, πρόβατα. 112. Αὖτις ὅπως στασῇ] ὅρα δὲ πάλιν ὅπως στήσῃ, παρὰ τῷ Διομήδει ἰοῦσα· ἡ Ἀφροδίτη ἐλθοῦσα εἰς μάχην ἐν Τροίᾳ πρὸς Διομήδην, τιτρώσκεται ὑπ᾽ αὐτοῦ εἰς τὸν καρπὸν τῆς χειρός· ταῦτα προφέρων αὐτῇ ὁ Δάφνις, ἀμύνεται ἐφ᾽ οἷς ἐκερτόμησεν αὐτὸν ἀνωτέρω· ὡς εἰ ἔλεγε, τί καυχᾷ ὅτι νενίκηκας τὸν βουκόλον Δάφνιν, ἀπόλεμον ἄνδρα; Διομήδην προκαλοῦ εἰς μάχην, εἴτι δύνασαι· ἀλλ᾽ σὺ χαιρήσεις τοῦτο ποιήσασα. 115. Ὦ φωλάδες] αἱ ἐν φωλαιοῖς καὶ ἄντροις ἐνδιαιτώμεναι. 117. Ἀρέθοισα] Ἀρέθουσα πηγή· τρεῖς δ᾽ ἦσαν ὑπὸ τοὔνομα τοῦτο, ἡ μὲν ἐν Ἰθάκῃ· ἡ δὲ ἐν Εὐβοίᾳ παρὰ τῇ Χαλκίδι· τρίτη δ᾽ αὕτη, περὶ ἧς νῦν ὁ λόγος, ἡ ἐν Ὀρτυγίᾳ τῇ νήσῳ πρὸς τῷ τῶν Συρακουσίων λιμένι, εἰς ἣν μετεμορφώθη ὑπ᾽ Ἀρτέμιδος ἡ Νύμφη Ἀρέθουσα, διωκωμένη ὑπ᾽ Ἀλφειοῦ. 118. Θύμβριδος] ποταμὸς καὶ οὗτος· ἔστι δὲ καὶ ὁ Τίβερις οὕτως ἀκούων· ἀλλ᾽ ἐνταῦθα ἕτερον ἐν Σικελίᾳ ποταμὸν ἐννοεῖ· οἱ δὲ καὶ μέρος

Σὺ δὲ παραστάσα ἤδη τῷ Διομήδει, προκαλοῦ αὐτὸν εἰς μάχην, ὅτι νενίκηκας τὸν βουκόλον Δάφνιν.

Ἄρχετε βουκολικῆς, Μοῦσαι φίλαι, ἄρχετε ᾠδῆς.

Ὦ λύκοι καὶ θῶες καὶ ἄρκτοι αἱ ἐμφωλεύουσαι σπηλαίοις, χαίρετε· οὐκέτι γὰρ ὄψεσθε Δάφνιν ἀνὰ τὴν ὕλην περιπολοῦντα, οὐκέτ' ἐν ἄλσεσι καὶ δρυμῶσιν· χαῖρε καὶ σύ γε Ἀρέθουσα καὶ ποταμοὶ πάντες, ὧν τὰ ῥεῖθρα ἐκδιδοῦσιν εἰς Θύμβριν.

Ἄρχετε βουκολικῆς, Μοῦσαι φίλαι, ἄρχετε ᾠδῆς.

Δάφνις ὅδ' ἐγὼ ἐκεῖνος ὁ τὰς βοῦς ἐνταῦθα νέμων· Δάφνις ὁ τοὺς ταύρους καὶ πόρτιας ποτίζων ὧδε.

Ἄρχεσθε, Μοῦσαι, βουκόλων νόμῳ ᾄδειν.

Ὦ Πὰν Πὰν, εἴτε τοῖς τοῦ Λυκαίου ἐπὶ μακρὸν διήκουσιν ὄρεσι τυγχάνεις ἐνδιατρίβων, εἴτε τὸ μέγα περιπολεῖς Μαίναλον, ἐλθὲ εἰς τὴν νῆσον Σικελίαν, τό,τε τῆς Ἑλίκης Ῥίον καὶ τὸ τοῦ Λυκαονίδου ὑψηλὸν σῆμα, ὃ καὶ παρὰ μακάρεσι θεοῖς θαυμάζεται, καταλιπών.

Λήγετε βουκολικῆς, Μοῦσαι φίλαι, λήγετε ᾠδῆς.

---

θαλάσσης περὶ τὴν αὐτὴν νῆσον εἶναί φασι. 123. Λυκαίου] Λύκαιον ὄρος ἐν Ἀρκαδίᾳ ἱερὸν τοῖς θεοῖς, ὥσπερ δὴ καὶ ὁ Ὄλυμπος· ὁμοίως δὲ καὶ Μαίναλον ἐπὶ τῆς αὐτῆς, ἀφιερωμένον μάλιστα τῷ Πανί· οὗ τῆς σύριγγος ἀκούειν ἔφασαν οἱ Ἀρκάδιοι. 125. Σικελὰν] τὴν Σικελικήν.— Ἑλίκης] πόλις αὕτω τῆς Ἀχαΐας ἐν Πελοποννήσῳ, ὑπό τινος ἀφανισθεῖσα σεισμοῦ τετάρτῳ ἔτει τῆς 101. Ὀλυμπιάδος· ἔνθα καὶ τὸ Ῥίον ἀκρωτήριον κατὰ τὴν εἴσοδον τοῦ Κορινθιακοῦ κόλπου. — Λυκαονίδου] υἱὸς Λυκάονος Μαίναλος (ἐξ οὗ τὸ Μαίναλον ὄρος ἀνωτέρω) ἢ ὁ Ἀρκάς. 126. Λήγετε.] ἐκ Μουσῶν ἤρξατο καὶ εἰς αὐτὰς ἤδη καταλήγει, ὥσπερ ἐπὶ τῶν δραμάτων γενομένης ἤδη τῆς

Ἔνθ', ὦ 'ναξ, καὶ τάνδε φέρ' εὐπάκτοιο μελίπνουν
Ἐκ καρῶ σύριγγα καλὰν, περὶ χεῖλος ἑλικτάν.
Ἦ γὰρ ἐγὼν ὑπ' ἔρωτος ἐς Ἄϊδος ἕλκομαι ἤδη.
Λήγετε βωκολικᾶς, Μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Νῦν ἴα μὲν φορέοιτε βάτοι, φορέοιτε δ' ἄκανθαι,
Ἁ δὲ καλὰ νάρκισσος ἐπ' ἀρκεύθοισι κομάσαι·
Πάντα δ' ἔναλλα γένοιντο, καὶ ἁ πίτυς ὄχνας ἐνείκαι,
Δάφνις ἐπεὶ θνάσκει· καὶ τὰς κύνας ὤλαφος ἕλκοι,
Κὴξ ὀρέων τοὶ σκῶπες ἀοιδόσι γαρύσαιντο.
Λήγετε βωκολικᾶς, Μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Χὠ μὲν τόσσ' εἰπὼν ἀπεπαύσατο· τὸν δ' Ἀφροδίτα
Ἤθελ' ἀνορθῶσαι· τά γε μὰν λίνα πάντα λελοίπει
Ἐκ Μοιρᾶν· χὠ Δάφνις ἔβα ῥόον, ἔκλυσε δίνα
Τὸν Μώσαις φίλον ἄνδρα, τὸν οὐ Νύμφαισιν ἀπεχθῆ.
Λήγετε βωκολικᾶς, Μῶσαι, ἴτε, λήγετ' ἀοιδᾶς.
Καὶ τὺ δίδου τὰν αἶγα, τό τε σκύφος, ὥς μιν ἀμέλξας,
Σπείσω ταῖς Μοίσαις. ὦ χαίρετε πολλάκι, Μοῖσαι,

---

Δίσεως, οἷον ἑλκομένου τοῦ Δάφνιδος τὴν ἐπὶ τὸν Ἅδην. 128. Ἔνθ' ὦναξ.] ἐλθὲ, ὦ Ἄναξ· τὴν τοῦ Πανὸς τελευταίαν ἀοιδὴν ἐπικαλεῖται. --Εὐπάκτου.] εὐπήκτου κηροῦ· σύριγξ γάρ ἐστιν μουσικὸν ὄργανον· ᾧ ξύλον καμπύλον ὑπόκειται, ὡς ἐν πλοίῳ ἡ τρόπις· ἐφ' οὗ ἑπτὰ ἐμπεφύτευνται δόνακες παράλληλοι καὶ ὑπάλληλοι, ἄλλος ἄλλου μείζων ἀεὶ κατὰ τὴν ἀνιοῦσαν καὶ κατιοῦσαν εἰς ἑπταφωνίαν· ὧν τὰ στόματα ἄνωθεν ἐν σχήματι τόξου ἐν ἰσοπέδῳ εἰσίν· ὧν ἐμφυσωμένων ἀποτελεῖται ἁρμονία μουσική· λέγεται δὲ τὸ ὄργανον ἐν τῇ νῦν συνηθείᾳ Μοσκάλιον· οὗ ἡ χρῆσις πολλὴ κατὰ τὴν Δακίαν. 129. Περὶ τὸ χεῖλος ἑλικτὰν] ὑπόκυρτον γάρ ἐστι τῷ ὀργάνῳ τὸ στόμιον ἐν σχήματι τόξου. 132. Ἴα φορέοιτε βάτοι.] ὡς ἀπεγνωκὼς ζῆν, τἀναντία πᾶσιν, ὧν πεφύκασιν, εὐφήμως εὔχεται γενέσθαι· ὡς ὁ πικρότερον εἰπών. Ἐμοῦ θανόντος, γαῖα μιχθήτω πυρί· Ἴα δὲ τὰ πρωτοφανῆ ἐν ἦρι κυανᾶ ἄνθη.

Ἐλθὲ δ', ὦ ἄνξ, λαβὼν καὶ τὴν ἐξ εὐπήκτου κηροῦ προσηρμοσμένην, τὴν καλὴν φημὶ καὶ μελίῤῥυτον σύριγγα, τὴν καμπτὴν περὶ τὸ χεῖλος· ἐμὲ γὰρ Ἔρως ἕλκει ἤδη πρὸς τὸν Ἅδην.

Λήγετε βουκολικῆς, Μοῦσαι φίλαι, λήγετε ᾠδῆς.

Νῦν δὲ αἵτε βάτοι, αἵτε ἄκανθαι ἐκφύοιτε ἴα· καὶ ἡ νάρκισος θάλλουσα ἀναβαίη ἐπὶ τῆς ἀρκεύθου· πάντα δὲ, ἀποθνήσκοντος ἤδη Δάφνιδος, ἐς τοὐναντίον, ᾗ πέφυκεν ἕκαστον, μεταβάλοι, ἡ μὲν πίτυς ὄχνας φέρουσα, ἡ δ' ἔλαφος θηλάζουσα κύνας, καὶ οἱ ἐκ τῶν Ὀρέων σκῶπες πρὸς ἀηδόνας ᾠδαῖς ἁμιλλώμενοι.

Λήγετε βουκολικῆς, Μοῦσαι φίλαι, λήγετ' ἀοιδῆς.

Οὗτος μὲν οὖν τοσαῦτ' εἰπὼν, ἀνεπαύσατο· ἡ δ' Ἀφροδίτη ἐβούλετο ἀναστῆσαι τὸν ἄνδρα· ἀλλ' ἅμα τῶν ἐκ τῶν Μοιρῶν ἐκλελοιπότων λίνων, ὁ Δάφνις ἔπλει τὸν Ἀχέροντος μέγαν ῥοῦν, καὶ ἡ τῶν ῥείθρων δίνη ἐπικλύσασα, ἀμφικάλυψεν ἄνδρ' ἀληθῶς ὡς μάλιστα μὲν φιλούμενον ὑπὸ τῶν Μουσῶν, ὡς μάλιστα δὲ καὶ ὑπὸ τῶν Νυμφῶν·

Παύσασθε, Μοῦσαι, βουκόλων νόμῳ ᾄδειν·

Σὺ δὲ νῦν δὸς τὴν αἶγα καὶ τὸ σκύφος, ὅπως ἀμέλξας, ἀπ' αὐτοῦ πρῶτον ταῖς Μούσαις σπείσω· Ὦ χαίρετε, Μου-

---

134. Ἔναλλα] ἀπεναντίας ᾗ πέφυκεν ἕκαστον.—Ὄχνας] ἄπια, ἀχράδας. 135. Ὤλαφος ἕλκοι] ἡ ἔλαφος κατὰ κρᾶσιν τοῦ Η καὶ Ε τὸ δὲ Ἕλκοι ἔλλειψιν ἔχει τοῦ, Γάλα ἢ τοὺς μαστούς. 136. Σκῶπες ἀηδόσι γαρύσαιντο.] σκῶπες, πτηνὸν ὅμοιόν φασι τῇ γλαυκὶ, μεῖον δὲ τῷ σώματι, μιμηλὸν καὶ πιθανὸν, οἷον τὴν φωνὴν τῶν ζώων μιμεῖσθαι, καὶ δοκεῖν σκώπτειν πάντα· ἐξ οὗ καὶ τὸ σκώπτειν αὐτό· οὗτοι οὖν οἱ σκῶπες ἁμιλλάσθωσαν ἐν ᾠδαῖς

Χαίρετ'· ἐγὼ δ' ὔμμιν καὶ ἐς ὕστερον ἅδιον ᾀσῶ.

### ΑΙΠΟΛΟΣ.

Πλῆρές τοι μέλιτος τὸ καλὸν στόμα, Θύρσι, γένοιτο,
Πλῆρές τοι σχαδόνων, καὶ ἀπ' Αἰγίλω ἰσχάδα τρώγοις
Ἁδεῖαν, τέττιγος ἐπεὶ τύ γα φέρτερον ᾄδεις.
Ἠνίδε τοι τὸ δέπας· θᾶσαι, φίλος, ὡς καλὸν ὄσδει·
Ὡρᾶν πεπλύσθαι νιν ἐπὶ κράναισι δοκασεῖς.
Ὧδ' ἴθι, Κισσαίθα· τὺ δ' ἄμελγέ νιν· αἱ δὲ χίμαιραι
Οὐ μὴ σκιρτάσητε, μὴ ὁ τράγος ὔμμιν ἀναστῇ.

---

πρὸς τὰς ἀηδόνας· τοῦτο γὰρ δηλοῖ τὸ Γαρύσαιντο, ὅ ἐστι Γηρύω. 145. Ἀσῶ] ᾄσω. 147. Σχαδόνων] σχαδὼν ἡ κηρήθρα μέλιτος πλήρης.—Αἴγιλον δὲ ὄρος Ἀττικῆς, ἢ γῆ μᾶλλον παράλιος ἀντικρὺ Σαλαμῖνος, περίφημος ἐπὶ κάλλει καὶ πιότητι σύκων.—Ἰσχάδες δὲ τὰ ξηρὰ σῦκα. 149. Ὄσδει.] εὔοσμον ὀδμὴν ἀφίησι τῇ ὀσφρήσει· ὥστ' εἴποις ἂν ἐν ταῖς τῶν Ὡρῶν (θεῶν ἐπιστατουσῶν ἐπὶ τῶν καλῶν καὶ ὡραίων) κρήναις αὐτὸ πεπλύσθαι. 150.

σαι, χαίρεθ' ὑμεῖς πολλάκις· χαίρετε· ἐγὼ δὲ κᾄπειτα αὖθις ἡμῖν ᾄσω μέλος.

ΑΙΠΟΛΟΣ.

Πλῆρές σοι, Θύρσι, μέλιτος τὸ καλὸν στόμα γένοιτο, πλῆρες σχαδόνων, καὶ ἡδεῖαν ἀπὸ τοῦ Αἰγίλου ἐσθίοις ἰσχάδα· ὅς δὴ καὶ τέττιγος αὐτοῦ ἥδιον ᾄδεις· Ἰδού σοι τοίνυν, ὦ φίλος, τὸ σκύφος· ὅρα δὲ, οἵαν ὀδμὴν ἐκπέμπει· ἐν ταῖς τῶν Ὡρῶν κρήναις δόξει σοι ἐκπεπλύσθαι· Σὺ δ' αὖ, ὦ Κισσαίθα, ἐλθὲ ταχέως δεῦρο· αὐτὸς δ' ἄμελγε· Ὑμεῖς δ' αὖ πάλιν αἱ ἄλλαι τῶν χιμαίρων ὁρᾶθ' ὅπως μὴ σκιρτήσητε, ἵνα μὴ ὑμῖν ὁ τράγος ἀναστῇ.

---

δοκασεῖς] δοκάζω. μέλ. δοκασῶ. 150. Ὧδ' ἴθι, Κισσαίθα] καλεῖ τὴν Αἶγα, ἣν ὑπέσχετο δώσειν ἐπὶ τῇ ᾠδῇ· τὸ δὲ τέλος βωμολόχον μὲν, καὶ ἀγροῖκον, ἀλλ' οὐκ ἄνευ ἀστειότητος· ἀναφέρεται δ' ἀνωτέρω σίχ. 88. πρὸς τὸ σκῶμμα τὸ παρὰ τοῦ Θύρσιδος.

## ΥΠΟΘΕΣΙΣ.

Υποκειται Σιμαίθα Δέλφιδος Μυνδίου τινὸς ἐρῶσα, ὃν παιδικοῖς προσταλαιπωροῦντα ἐν παλαίστρᾳ, ἡ Σιμαίθα φίλτροις τε καὶ Φαρμάκοις διά τινος θεραπαίνης Θεστύλιδος

# ΦΑΡΜΑΚΕΥΤΡΙΑ.

## ΕΙΔΥΛΛΙΟΝ Β'.

Πᾷ μοι ταὶ δάφναι; φέρε, Θέστυλι· πᾷ δὲ τὰ φίλτρα;
Στέψον τὰν κελέβαν φοινικέῳ οἰὸς ἀώτῳ,
Ὡς τὸν ἐμοὶ βαρὺν εὖντα φίλον καταθύσομαι ἄνδρα,
Ὅς μοι δωδεκαταῖος, ἀφ' ὧ τάλας οὐδέποθ' ἥκει,

1. Σιμαίθα φαρμακεύτρια ἐπιγράφεται τὸ Εἰδύλλιον τοῦτο, φαρμακίαις γάρ τισι καὶ γοητείαις χρῆται πρὸς τὸ ἀνακαλέσασθαι τὸν ἔρωτα Δέλφινι τῷ παρ' αὐτῆς ἐρωμένῳ, Θεστύλιδα τὴν δούλην παραλαβοῦσα συνεργόν. 2. Κελέβαν] ποτήριον ξύλινόν φασιν εἶναι τὴν καλέβην, ἢ χύτραν. — Οἰὸς ἀώ-

ΤΟΥ Β΄. ΕΙΔΥΛΛΙΟΥ.

ὑποδιακονουμένης ἐφ' ἑαυτὴν πειρᾶται μετάγειν, ἐπικαλουμένη τὴν Σελήνην καὶ τὴν Ἑκάτην, ὡς ἐπὶ τῷ ἔρωτι συμβαλλομένας νυκτερινὰς θεάς. Τὴν δὲ Θεστύλιδα ὁ Θεόκριτος ἀπειροκάλως ἐκ τῶν Σώφρονος μετήνεγκε Μίμων.

# ΦΑΡΜΑΚΕΥΤΡΙΑ.

## ΕΙΔΥΛΛΙΟΝ Β΄.

Πῆ μοι γεγόνασι Δάφναι; ποῦ εἰσί μοι τὰ φίλτρα; φέρε δὴ σύ, Θέστυλι, στέψον, ὡς τάχος φοινικῷ ἐρίῳ τὴν χύτραν, ὅπως τὸν ἐμαυτῆς φίλον μέν, βαρὺν δὲ ἄλλως καταγοητεύσω ἄνδρα· δωδεκάτη γὰρ αὕτη, ἀφ' ἧς ἐκεῖνον οὐ προσεῖδον ὡς

τῳ] τῷ λεπτοτάτῳ τοῦ ἐρίου τοῦ προβάτου. 3. Εὔντα] ὄντα.— Καταθύσομαι] ἀντὶ Ὑποτακτικοῦ καταθύσωμαι διὰ τὸ μέτρον· δηλοῖ δὲ τὸ Κατεργάσωμαι, καταγοητεύσω, κινήσω εἰς ἔρωτα. 4. Αφ' ὧ] ἀφ' οὗ χρόνου.

Οὐδ' ἔγνω, πότερον τεθνάκαμες, ἢ ζοοὶ εἰμὲς,
Οὐδὲ θύρας ἄῤῥαξεν, ἀνάρσιος. ἦ ῥά οἱ ἄλλᾳ
Ὤχετ' ἔχων ὅ, τ' Ἔρως ταχινὰς φρένας, ἅ, τ' Ἀφροδίτα.
Βασεῦμαι ποτὶ τὰν Τιμαγήτοιο παλαίστραν
Αὔριον, ὥς νιν ἴδω, καὶ μέμψομαι, οἷά με ποιεῖ.
Νῦν δέ νιν ἐκ θυέων καταθύσομαι. ἀλλά, Σελάνα,
Φαῖνε καλόν· τὶν γὰρ ποταείσομαι ἄσυχα, δαῖμον,
Τᾷ χθονίᾳ θ' Ἑκάτᾳ, τὰν καὶ σκύλακες τρομέοντι,
Ἐρχομέναν νεκύων ἀνὰ τ' ἠρία, καὶ μέλαν αἷμα·
Χαῖρ', Ἑκάτα δασπλῆτι, καὶ ἐς τέλος ἄμμιν ὀπάδει,
Φάρμακα ταῦθ' ἔρδοισα χερείονα μήτε τι Κίρκας,
Μήτε τι Μηδείας, μήτε ξανθᾶς Περιμήδας·
Ἴϋγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα·
Ἄλφιτά τοι πρᾶτον πυρὶ τάκεται· ἀλλ' ἐπίπασσε,

---

6. Ἄῤῥαξε] ἔκρουσε τὴν θύραν. Ἀράσσω τὸ ῥῆμα· ὁ δὲ διπλασιασμὸς τοῦ Ρ. παρὰ μόνοις ποιηταῖς.—Ἀνάρσιο.] ἀνάλγητος, ἄστοργος, ἐχθρός. 8. Βασεῦμαι] βήσομαι καὶ Δωρικῶς βασοῦμαι, καὶ βασεῦμαι. 10. Ἐκ θυέων] ἐκ θυμιαμάτων μαγικῶν· ἔστι δὲ τὸ θύος, τὰ θύεα, τῶν θυέων. 10. Σελάνα.] ὡς γὰρ ἐν νυκτὶ ταῦτα πράττουσα, τὸ τῆς Σελήνης φῶς ἐπικαλεῖται· ἔστι δὲ ἡ αὐτὴ ἐν μὲν τῷ οὐρανῷ Σελήνη, ἐπὶ γῆς δὲ Ἄρτεμις, κἀν τῷ Ἅδῃ Ἑκάτη, ἢ καὶ ἡ Περσεφόνη. 11. Τὶν] σοὶ προσᾴσομαι. 12. Τρομέοντι] τρομέουσι φοβοῦνται· φασὶ δέ, ὅτι σκύλακες προσέφερον τῇ Ἑκάτῃ δεῖπνον ἐν τριόδοις, παρὰ τοῦ Ἀριστοφάνους τεκμήριον ἔχοντες, εἰπόντος ἐν Δαιταλεῦσι· Τί δὲ κυνίδιον λεπρὸν λευκὸν ἐπρίω τῇ θεᾷ ἐς τὰς τριόδους; 14. Δασπλῆτι] εἰ μὲν παραγάγωμεν αὐτὸ ἀπὸ τοῦ Δα ἐπιτατικοῦ καὶ πελάζειν σημαίνει εὐπρόσιτος λίαν· εἰ δὲ ἀπὸ τοῦ Δυς, τοὐναντίον· φοβερὸς καταπληκτικός. 15. Ἔρδοισα] Ἔρδουσα, ποιοῦσα· Κίρκη δὲ φαρμάκοις μαγικοῖς τοὺς τοῦ Ὀδυσσέως ἑταίρους καταφαρμάξασα, μετέβαλεν εἰς χοίρους· καὶ Μήδεια αὖ τοῖς τοιούτοις ἀποκοιμήσασα τὸν πυρπνόον ταῦρον, παρέδωκεν Ἰάσονι τὸ χρυσοῦν δέρας· τὸ δὲ τῆς Περιμήδης οὐκ οἶδα. εἰ μὴ ἡ αὐτή ἐστι τῇ τοῦ Ὁμήρου (Ἰλ. Λ'. στίχ. 739.) Ἀγαμήδῃ· ἣ τόσα φάρμακα ᾔδειν,

ἐμὲ ἐλθόντα· οὐδ' εἴγ' ἐν τοῖς ζῶσιν ἐσμὲν, ἢ ἄλλως τεθνηκότες, ἐφρόντισε πώποτε περὶ ἡμῶν ὁ σχέτλιος εἰδέναι· μήτ' αὖ τὴν θύραν αὐτὴν τὴν ἐμὴν ἔκρουσεν αὖθις· ἀλλ' ὁ Ἔρως, ὡς ἔοικε, καὶ ἡ Ἀφροδίτη, τὸ τῶν φρενῶν αὐτῷ ἐναῤῥιπίσαντες κοῦφον καὶ ἀκατάστατον, ᾤχοντο, ἐφ' ἕτερον παρασύραντες ἔρωτα· Οὐκοῦν αὔριον βαδιοῦμαι ἐπὶ τὴν τοῦ Τιμαγήτου παλαίστραν ὀψομένη αὐτὸν ἐκεῖ· καὶ ἰδοῦσα, μέμψομαί γε, ἐφ' οἷς με ἀδικεῖ, αὐτῷ τὰ εἰκότα· νῦν δ' ἐκ μάκτρας αὐτῆς αὐτὸν κατεργάσομαι· Ἀλλὰ σύ γε, ὦ πότνια Σελήνη, φαῖνε ἡμῖν, λαμπρὸν πέμπουσα σέλας· σὲ γὰρ, ὦ θεὰ, ὑμνήσω ἐν ἡσυχίᾳ πρώτην, καὶ Ἑκάτην τὴν χθονίαν, ἣν καὶ αἱ κύνες αὐταὶ, ἐπειδὰν ἥκῃ ὧδε, ἔνθα θύουσι τοῖς νεκροῖς ἐπὶ τῶν ἠρίων, δεδοίκασι μάλιστα· Χαῖρε, Ἑκάτη φοβερὰ καὶ ἀπροσπέλαστε, καὶ ἐς τέλος ἔμοιγ' ἀρωγὸς γεγενημένη, ποίει τὰ φάρμακα ταῦτα ἐνεργὰ καὶ δραστήρια, κοὐδὲν τῶν τῆς Κίρκης, τῆς τε Μηδείας, καὶ τῆς ξανθῆς Περιμήδης δυνάμει λειπόμενα.

Ἴυγξ, ἄγε σὺ τὸν ἄνδρ' ἐκεῖνον πρὸς τοὐμὸν τοῦτο δῶμα.

Ἄλφιτα δὲ πρῶτον τῷ πυρὶ καταναλώσω· ἀλλ' ἐπίπασσε

---

ὅσα τρέφει εὐρεῖα χθών. 17. Ἴυγξ.] ἐφύμνιον τοῦτο συχνῶς ἐπαναλαμβανόμενον, ὡς κἀν τῷ ἡγουμένῳ Εἰδυλλίῳ τὸ, Ἄρχετε Βουκολικᾶς ἀοιδᾶς. Ἔστι δὲ ἡ Ἴυγξ πτηνόν τι μικρὸν, συνεχῶς περισείουσα τὴν πυγὴν, καὶ διὰ τοῦτο σεισοπυγὶς, καὶ σεισούρα (σείουσα τὴν οὐρὰν, ἡ νῦν κωλεσσοῦσα) ἀκούσασα· ὡς δὲ προσαγωγὸν τὸ ὀρνιθάριον εἰς ἔρωτας, ἀπέδωκαν τοῦτο τῇ Ἀφροδίτῃ· διὸ καὶ παραλαμβάνεται ἐν ταῖς τῶν ἐρώτων μαγγανείαις. 18. πρᾶτον] πρῶτον· Πυρὸς κειμένου, ἔπασσεν ἄλφιτα, πίτυρα, κηρὸν, καὶ ἄλλ' ἄττα γοητικὰ, θροοῦσα δὲ καὶ ἐπωδάς τινας πρὸς τὸ σπουδαζόμενον· ἦν δ' αὐτῇ καὶ τροχίσκος χαλκοῦς δυνάμει Ἀφροδίτης περιδονούμενος πρὸς σκοπὸν, πρὸς

Θέστυλι· δειλαία, πᾷ τὰς φρένας ἐκπεπότασαι;
Ἦρά γέ τοι μυσαρὰ καὶ τὶν ἐπίχαρμα τέτυγμαι;
Πάσσ', ἅμα καὶ λέγε ταῦτα, τὰ Δέλφιδος ὀστέα πάσσω.
Ἴϋγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Δέλφις ἔμ' ἀνίασεν· ἐγὼ δ' ἐπὶ Δέλφιδι δάφναν
Αἴθω· χ' ὡς αὐτὰ λακεῖ μέγα, καππυρίσασα,
Κἠξαπίνας ἄφθη, κοὐδὲ σποδὸν εἴδομες αὐτᾶς·
Αὕτω τοι καὶ Δέλφις ἐνὶ φλογὶ σάρκ' ἀμαθύνοι·
Ἴϋγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Ὡς τοῦτον τὸν καρὸν ἐγὼ σὺν δαίμονι τάκω,
Ὣς τάκοιθ' ὑπ' ἔρωτος ὁ Μύνδιος αὐτίκα Δέλφις·
Χ' ὡς δινεῖθ' ὅδε ῥόμβος ὁ χάλκεος, ἐξ Ἀφροδίτας
Ὣς κεῖνος δινοῖτο ποθ' ἁμετέρῃσι θύρῃσιν.
Ἴϋγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Νῦν θυσῶ τὰ πίτυρα. τὺ δ', Ἄρτεμι, καὶ τὸν ἐν ᾅδᾳ
Κινήσαις ῥ' ἀδάμαντα, καὶ εἴτι περ ἀσφαλὲς ἄλλο.
Θέστυλι, ταὶ κύνες ἄμμιν ἀνὰ πτόλιν ὠρύονται·
Ἁ θεὸς ἐν τριόδοισι· τὸ χαλκίον ὡς τάχος ἄχει.

---

ταὐτὰ καὶ οὗτος συντελῶν· 19. Δειλαία] ἐπιτιμᾷ τῇ θεραπαινίδι, ὡς γελώσῃ, ἢ μὴ προσχούσῃ τοῖς κεκελευσμένοις· Ὅθεν πᾷ σοι, φησὶν, αἱ φρένες ἐκτετοπισμέναι εἰσί. 24. Λακεῖ] διαῤῥήγνυται· τὰ γὰρ ἀερώδη τῶν ξύλων, ἐκτεινομένου τοῦ πνεύματος ἔνδοθεν τῇ θερμότητι τοῦ πυρὸς, ἔκρηξιν σὺν κρότῳ πάσχουσιν, οἷα τὰ πεύκινα μάλιστα. — Καππυρίσασα] ἐκ συγκοπῆς, καταπυρίσασα, πυρακτωθεῖσα. 26. Ἀμαθύνοι] εἰς ἄμαθον καὶ κόνιν μεταβάλοι. Καρόν... τάκω] τὸν κηρὸν τήκω. 30. Ῥόμβος] τροχίσκος μαγικός· τὸ δὲ, Ἐξ Ἀφροδίτης, ἀποδιδόσθω ἄμεινον πρὸς τὸ ἑπόμενον Δινοῖτο. 34. Ἀδάμαντα] ἐν ἄλλοις δὲ κεῖται Ῥαδάμανθα· πιθανὸν καὶ τοῦτο διὰ τὸ στερεὸν πρὸς δικαιοσύνην· ἀλλ' ἄμεινον τὸ Ἀδάμαντα· ἐχρήσατο δὲ τῷ ὀνόματι, ἵνα δείξῃ τὴν τῆς γοητείας διὰ τῆς θεοῦ δύναμιν καὶ ἐπὶ τοῦ στερεωτάτου καὶ σκληροτάτου τῶν σωμάτων ἁπάντων, οἷός ἐστιν ὁ ἀδάμας,

αὐτὴ, Θέστυλι· Ὦ δειλαία σύγε, πῇ ποτέ σοι ἀπέπτησαν αἱ φρένες; μῶν ἐγώ σοι οὕτω βδελυρὰ καὶ γέλως εἰμὶ γεγενημένη; πάσσε ὧδε· καὶ πάσσουσα, ἐπίλεγε τάδε, Τὰ Δέλφιδος ὀστέα πάσσω.

Ἴϋγξ, ἕλκε σὺ πρὸς τοὐμὸν δῶμα τὸν ἄνδρ' ἐκεῖνον.

Δέλφις ἠδίκησέ με, κἀγὼ ἐπὶ Δέλφιδι τὴν δάφνην καίω· καὶ ὥσπερ αὕτη ἐκπυρωθεῖσα, ἦχον ἀφίησι μέγαν, καὶ ἐξαπίνης ἀφθεῖσα, ἀφανής ἐστιν, οὐδέ γε σποδὸν φανερὰν ἐπιλιποῦσα· οὕτω καὶ Δέλφις ἐν φλογὶ ἐρωτικῇ ἀφανισθείη.

Ἴϋγξ, ἕλκε σὺ πρὸς τοὐμὸν δῶμα τὸν ἄνδρ' ἐκεῖνον.

Ὥσπερ ἐγὼ τὸν κηρὸν σὺν τῷ θεῷ τοῦτον κατατήκω· οὕτω Δέλφις ὁ ἐκ Μύνδου τῷ τοῦ ἔρωτος πυρὶ κατακαείη· καὶ ὥσπερ ὁ χαλκοῦς οὗτος ῥόμβος δυνάμει περιδονεῖται Ἀφροδίτης· οὕτω κἀκεῖνος ταῖς ἡμετέραις περιστρομβούσθω θύραις.

Ἴϋγξ, ἕλκε πρὸς τοὐμὸν δῶμα τὸν ἄνδρ' ἐκεῖνον.

Νῦν κατακαύσω τὰ πίτυρα· σὺ δ', ὦ Ἄρτεμι, τόντ' ἐν Ἅδῃ Ἀδάμαντα, καὶ εἴτι ἔτι καὶ τούτου στεῤῥότερόν πῃ εἴη, κἀκεῖνο μεταβάλοις· Ἀκούεις σὺ, Θέστυλι; αἱ κύνες ἡμῖν παρὰ πᾶσαν ὀρύονται τὴν πόλιν· ἡ θεὸς, ὡς ἔοικεν, περιοδεύει· ἀλλὰ σύ γε παῖε τὸ χαλκίον·

---

Ἄρτεμιν δέ φησιν αὐτὴν τὴν σελήνην, ὡς εἴρηται ἀνωτέρω στίχ. 10.—35. Ὠρύονται] οὐχ ὑλακτοῦσιν, ἀλλ' ὠρυόμενοι, κνυζηθμῷ χρῶνται· ὃ αἴσθησίν τινα φοβερὰν ἐν αὐτοῖς δηλοίη· ἔφη γὰρ ἀνωτέρω (στίχ. 12.) Τὴν καὶ σκύλακες τρομέοντι. 36 Ἡ θεὸς ἐν τριόδοισιν] ὡς ἀφιερωμένος ἦν ὁ τόπος οὗτος τῇ Ἑκάτῃ, καὶ ἀγάλματα ἦν αὐτῇ ἀνεσταμένα ἐν τριόδοις, ὅπου καὶ δεῖπνα παντοῖα πόπανα διὰ νυκτὸς παρετίθοντο.—Χαλκίον] ἔλασμά τι ἠχητικόν· κελεύει δὲ τῇ Θεστύλιδι τοῦτο κροῦσαι, ἵν' αἴσθησιν παράσχῃ τῇ θεῷ, ὅτι ἔγνω αὐτὴν ἐλθοῦσαν· ἦν δὲ καὶ ἄλλως πως ἀποτρεπτικὸν, ὡς ἔοικεν, ὁ χαλ-

Ἴϋγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Ἠνίδε σιγᾷ μὲν πόντος, σιγῶντι δ' ἀῆται·
Ἁ δ' ἐμὰ οὐ σιγᾷ στέρνων ἔντοσθεν ἀνία,
Ἀλλ' ἐπὶ τήνῳ πᾶσα καταίθομαι, ὅς με τάλαιναν
Ἀντὶ γυναικὸς ἔθηκε κακὰν καὶ ἀπάρθενον ἦμεν.
Ἴϋγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Ἐς τρὶς ἀποσπένδω, καὶ τρὶς τάδε, πότνια, φωνῶ·
Εἴτε γυνὰ τήνῳ παρακέκλιται, εἴτε καὶ ἀνὴρ,
Τόσσον ἔχοι λάθας, ὅσσον ποκὰ Θασέα φαντὶ
Ἐν Δίᾳ λασθῆμεν ἐϋπλοκάμω Ἀριάδνας.
Ἴϋγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Ἱππομανὲς φυτόν ἐστι παρ' Ἀρκάσι· τῷδ' ἐπὶ πᾶσαι
Καὶ πῶλοι μαίνονται ἀν' ὤρεα καὶ θοαὶ ἵπποι.
Ὣς καὶ Δέλφιν ἴδοιμι καὶ ἐς τόδε δῶμα περῆσαι
Μαινομένῳ ἴκελον, λιπαρᾶς ἔκτοσθεν παλαίστρας.
Ἴϋγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Τοῦτ' ἀπὸ τᾶς χλαίνας τὸ κράσπεδον ὤλεσε Δέλφις,
Ὠγὼ νῦν τίλλοισα κατ' ἀγρίῳ ἐν πυρὶ βάλλω.

---

κὸς τῶν κακῶν, καὶ χρήσιμον ἐν καθαρμοῖς. 38. Σιγῶντι δ' ἀῆται] σιγῶσιν οἱ ἄνεμοι· ἐξ ἀντικειμένου δὲ τοὐπιχείρημα τοῦτο· ἀντιπαραβάλλει γὰρ τὴν ταραχὴν τῆς οἰκείας ψυχῆς πρὸς τὴν τῆς νυκτὸς ἐν λωφήσει τῶν πνευμάτων ἡσυχίαν. 41. ἀντὶ γυναικὸς] ἐννοεῖται τὸ, σεμνῆς, καθεστηκυίας, σώφρονος· οὗ τοὐναντίον ἐστὶ τὸ Ἀπάρθενον· εἰ μή τι λέγει, ὅτι καὶ ἐξ ἀρχῆς αὐτὴν διεκόρησε, τοῦ Γυναικὸς ἐκληφθέντος ἀντὶ παρθένου. 44. Εἴτε γυνὰ τήνῳ] εἴτε γυνὴ ἐκείνῳ· ἀναφέρεται δὲ ταῦτα πρὸς τὰ ὑπὸ τῆς μητρὸς τῆς Φιλίστης κατωτέρω (στίχ. 145.) εἰρησόμενα. 46. Δίᾳ] τὴν Νάξον ἐννοεῖ νῆσον· ἔνθα ἐπανελθὼν ὁ Θησεὺς ἀπὸ τῆς Κρήτης, κατέλιπεν αὐτοῦ Ἀριά-

Ἴυγξ, ἕλκε πρὸς τοὐμὸν δῶμα τὸν ἄνδρ' ἐκεῖνον.

Ἰδοὺ σῖγ' ἔχει πόντος, κεκοίμηνται δὲ καὶ τὰ πνεύματα· ἡδ' ἐμὲ ταλαίπωρος καρδία ἔνδοθεν ἀνιωμένη πάλλει, λώφησιν πᾶσαν ἀγνοοῦσα· ὅλως γὰρ κατακεκαῦθαι δοκῶμοι, τῷ ἐκείνου ἔρωτι ἁλοῦσα· ὃς ἀντὶ γυναικὸς καθεστηκυίας, κακὴν καὶ ἄσεμνον διέθηκέ με εἶναι.

Ἴυγξ, ἕλκε πρὸς τοὐμὸν δῶμα τὸν ἄνδρ' ἐκεῖνον.

Τρὶς, ὦ πότνια, ἀποσπένδω, καὶ τρὶς εὔχομαι ταὐτὰ φωνοῦσα· εἴτε γυνὴ, εἴτ' ἀνὴρ παρακλίνεται ἐκείνῳ, τοσοῦτον ἐκείνης ἐπιλάθοιτο, ὅσον ποτέ φασι τὸν Θησέα ἐν Νάξῳ τῆς εὐπλοκάμου ἐπιλελῆσθαι Ἀριάδνης.

Ἴυγξ, ἕλκε πρὸς τοὐμὸν δῶμα τὸν ἄνδρ' ἐκεῖνον.

Φυτόντι ἱππομανές ἐστιν ἐν Ἀρκαδίᾳ, ἐφ' ᾧ πᾶσαι πῶλοιτε καὶ ἵπποι μαίνονται ἐπὶ τὰ ὄρη· οὕτως οὖν ἴδοιμι ἔγωγε καὶ Δέλφιν ἐς τοὐμὸν τοῦτο δῶμα μαινόμενον ἐλθόντα ἐκ μέσου τῆς λιπαρᾶς παλαίστρας.

Ἴυγξ, ἕλκε πρὸς τοὐμὸν δῶμα τὸν ἄνδρ' ἐκεῖνον.

Τὸ ῥάκος τοῦτο, ὃ ἀπὸ τῆς ἑαυτοῦ χλαίνης ἀπέβαλεν ἐκεῖνος, τοῦτ' ἐγὼ νῦν τίλλουσα, παραδίδωμι πυρὶ δραστικωτάτῳ·

---

δνην, ἐπιλανθόμενος ὅλως αὐτῆς, ἐναγόμενος. 48. Ἱππομανὲς φυτὸν] ὃ οἱ ἵπποι τρώγοντες μαίνονται· ἢ μαινόμενοι, φεύγουσιν ἀνὰ τὰ ὄρη; ἀπορεῖται δεύτερον, πότερον, φυτόν τι ἦν τοῦτο χλόης, ἢ ἄλλως φῦμα τὶ, ὅ φασιν ἐκφύεσθαι ἐπὶ τοῦ μετώπου· περὶ ὃ μαίνονται τῶν ἵππων αἱ μὴ τοῦτο ἔχουσαι; εἶεν δ' οὖν ὅ,τι δήποτε· ὁ δὲ νοῦς τοῦ ποιητοῦ ἐστι ποιῆσαι καὶ Δέλφιν τῇ αὐτῇ μανίᾳ ἐλθεῖν εἰς τὴν Σιμαίθην. 51. Λιπαρᾶς] ἐπὶ τῷ ἐλαίῳ ἀλείφεσθαι τοὺς εἰσερχομένους εἰς τοὺς ἀγῶνας. 54. Τίλλοισα] τίλλουσα· ποτε-

Αἲ αἲ, ἔρως ἀνιαρὲ, τί μευ μέλαν ἐκ χροὸς αἷμα,
Ἐμφὺς ὡς λιμνᾶτις, ἅπαν ἐκ βδέλλα πέπωκας;
  Ἴϋγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Σαῦράν τοι τρίψασα, ποτὸν κακὸν αὔριον οἰσῶ.
Θέστυλι, νῦν δὲ λαβοῖσα τὺ τὰ θρόνα ταῦθ' ὑπόμαξον
Τᾶς τήνω φιλιᾶς καθυπέρτερον, ἇς ἔτι καὶ νῦν
Ἐκ θυμῶ δέδεμαι· ὁ δέ μευ λόγον οὐδένα ποιεῖ·
Καὶ λέγ' ἐπιφθύσδοισα, τὰ Δέλφιδος ὀστέα πάσσω.
  Ἴϋγξ, ἕλκε τὺ τῆνον ἐμὸν ποτὶ δῶμα τὸν ἄνδρα.
Νῦν δὴ μούνη ἐοῖσα πόθεν τὸν ἔρωτα δακρυσῶ;
Ἐκ τίνος ἀρξεῦμαι; τίς μοι κακὸν ἄγαγε τοῦτο;
Ἦνθ' ἁ τῶ 'Υβούλοιο καναφόρος ἄμμιν Ἀναξὼ
Ἄλσος ἐς Ἀρτέμιδος· τᾷ δὴ τόκα πολλὰ μὲν ἄλλα
Θηρία πομπεύεσκε περισταδὸν, ἐν δὲ λέαινα.
  Φράζεό μευ τὸν ἔρωθ', ὅθεν ἵκετο, πότνα Σελάνα.
Καί μ' ἁ Θευχαρίλα, Θρᾷσσα τροφὸς ἁ μακαρῖτις,

---

ρον δὲ, αὐτὴ τίλλουσα, ἀπέτεμε τὸ μέρος τῆς χλαίνης, καὶ νῦν βούλεται καίειν, ἢ τοῦ Δέλφιδος ἀποβαλόντος, αὐτὴ τίλλουσα νῦν κατακαίει; δοκεῖ δὲ τὸ πρῶτον πιθανώτερον, ἢ καὶ μᾶλλον αἱ γυναῖκες σπουδάζουσι λαβεῖν τι τῶν ἐραστῶν πρὸς τὰς φαρμακίας· ὡς καὶ παρ' Εὐριπίδῃ ἐν Ἱππολύτῳ στίχ. 515. ἐμῇ ἐκδόσει.

» Δεῖ δ' ἐξ ἐκείνου δήτι τοῦ ποθουμένου
» Σημεῖον, ἢ λόγον (γρ. πλόκον) τίν', ἢ πέπλων ἄπο
» Λαβεῖν, ξυνάψαι τ' ἐκ δυοῖν μίαν χάριν.

58. Σαῦραν] χρήσιμον τὴν σαῦραν, καεῖσαν τε καὶ τριφθεῖσαν ἔοικεν εἶναι εἰς θέλγητρα πινομένην. 59. Θρόνα] ἄνθη ποικίλα ἐπιτήδεια πρὸς τὸν σκοπὸν αὐτῆς νεμιζόμενα. 62. Ἐπιφθύσδοισα] καταπτύουσα· ἀποπτύουσα ἐν τῷ ἐπᾴδειν ταῦτα, ἵνα μὴ τυχὸν ἡ γοητεία πρὸς αὐτὴν ἐπιστρέψῃ. 64.

Αἲ αἲ, Ἔρως σχέτλιε, ἐκπέπωκάς μου τὸ αἷμ' ἀθρόνον.

Ἴυγξ, ἕλκε πρὸς τοὐμὸν δῶμα τὸν ἄνδρ' ἐκεῖνον.

Τὸ δ' ἐκ τῆς κόνιος τῆς σαύρας δραστήριον ποτὸν ἐς αὔριον αὐτῷ ἀναβαλοῦμαι· Νῦν δὲ σὺ, Θέστυλι, τὰ φάρμακα λαβοῦσα ταῦτα, χρίσον ἄνωθεν τὴν ἐκείνου φλιὰν, ἧς ἐγὼ μὲν ἔχομαι ὅλως· ὁ δὲ λόγον οὐδένα ἐμοῦ ποιεῖται· ἐν δὲ τῷ ἀπομάττειν, μέμνησο ἐπιλέγειν ἀποπτύουσα ταῦτα, Τὰ τοῦ Δέλφιδος ὀστέα πάσσω.

Ἴυγξ, ἕλκε πρὸς τοὐμὸν δῶμα τὸν ἄνδρ' ἐκεῖνον.

Ἡ μὲν ἀπῆλθεν. ἐγὼ δὲ μόνη λειπουμένη, πόθεν ἄρξωμαι τὸν ἔρωτα θρηνῆσαι; τίς ποτέ μοι τὴν τοῦ κακοῦ παρέσχεν ἀφορμήν; Ἀναξὼ ἡ τοῦ Εὐβούλου, ἦλθε κανοφόρος ἡμῖν εἰς τὸ τῆς Ἀρτέμιδος ἄλσος, ὑπὸ πολλῶν προπεμπομένη θηρίων πέριξ, ἄλλων τε παντοίων, καὶ ὑπὸ λεαίνης.

Λέγε μοι σύ γε, πότνια Σελήνη, τὸν ἔρωτα, ὁπόθεν ἧκε.

Τότε δὴ Θρᾶσσα ἡ τοῦ Θεοχαρίλου μακαρῖτις τροφὸς, προ-

---

Ἐοῖσα] ἐοῦσα μόνη· ἡ γὰρ Θέστυλις ἀνεχώρησε· καὶ αὐτὴ καθ' ἑαυτὴν, ἢ πρὸς τὴν Σελήνην τὴν ἀρχὴν διηγεῖται τοῦ ἔρωτος. 66. Ἦνθ' ἅ τω 'Ὑβούλοιο] ἦλθεν ἡ τοῦ Εὐβούλου θυγάτηρ Ἀναξώ· ἔθος δὲ ἦν ταῖς ἐς ὥραν ἐλθούσαις γάμου, πομπεύειν ἐς τὸ τῆς Ἀρτέμιδος δάσος, ἐφ' ᾧ τὴν ἑαυτῶν αὐτῇ ἀφισιώσασθαι παρθενίαν, ἵνα μὴ ἡ θεὸς αὐταῖς ἀπέχθηται, ὅτι λύουσι τὴν παρθενίαν· Ἐπὶ τοῦτο οὖν πομπευσάσης τῆς Ἀναξοῦς, περιεστοιχισμένης ὑπὸ πολλῶν θηρίων καὶ λεαίνης (ἴσως ἐν γραφαῖς καὶ εἰκόσιν) ἀπῄει καὶ ἡ καλὴ Σιμαίθα θεασαμένη τὸ πρᾶγμα. 69. Φράζεο μευ] φράζου τὸν ἔρωτά μου· ἐφύμνιον καὶ τοῦτο.—Πότνα] πότνια Σελήνη. 70. Μακαρῖτις] παρὰ μὲν τοῖς ἀρχαίοις εὐδαίμων· παρὰ δὲ νεωτέροις, καὶ ὁ δικαίως καὶ μετά τινος δόξης ἀποθανών· καθ' ὃ ἔοικεν ἐκλελῆφθαι κἀνταῦθα. συχνότε-

Ἀγχίθυρος ναίοισα, κατεύξατο, καὶ λιτάνευσε
Τὰν πομπὰν θάσασθαι· ἐγὼ δὲ οἱ ἁ μεγάλοιτος
Ὡμάρτευν, βύσσοιο καλὸν σύροισα χιτῶνα,
Κἀμφιστειλαμένα τὰν ξυστίδα τᾶς Κλεαρίστας.
Φράζεό μευ τὸν ἔρωθ', ὅθεν ἵκετο, πότνα Σελάνα.
Ἤδη δ' εὖσα μέσαν κατ' ἀμαξιτὸν, ᾇ τὰ Λύκωνος,
Εἶδον Δέλφιν ὁμοῦ τε καὶ Εὐδάμιππον ἰόντας.
Τοῖς δ' ἦν ξανθοτέρα μὲν ἑλιχρύσοιο γενειὰς,
Στήθεα δὲ στίλβοντα πολὺ πλέον, ἢ τὺ, Σελάνα,
Ὡς ἀπὸ γυμνασίοιο καλὸν πόνον ἄρτι λιποῦσι.
Φράζεό μευ τὸν ἔρωθ', ὅθεν ἵκετο, πότνα Σελάνα.
Χ' ὡς ἴδον, ὡς ἐμάνην, ὥς μευ περὶ θυμὸς ἰάφθη
Δειλαίας· τὸ δὲ κάλλος ἐτάκετο, κοὐδέ τι πομπᾶς
Τήνας ἐφρασάμαν, οὐδ' ὡς πάλιν οἴκαδ' ἀπῆνθον,
Ἔγνων· ἀλλά μέ τις καπυρὰ νόσος ἐξαλάπαξε·
Κείμαν δ' ἐν κλιντῆρι δέκ' ἄματα καὶ δέκα νύκτας.
Φράζεό μευ τὸν ἔρωθ', ὅθεν ἵκετο, πότνα Σελάνα.
Καί μευ χρὼς μὲν ὁμοῖος ἐγίνετο πολλάκι θάψῳ·
Ἔῤῥευν δ' ἐκ κεφαλᾶς πᾶσαι τρίχες· αὐτὰ δὲ λοιπὰ
Ὀστέ' ἔτ' ἧς καὶ δέρμα· καὶ ἐς τίνος οὐκ ἐπέρασα;

---

ρον δὲ παρὰ τοῖς ἐκκλησιαστικοῖς. 71. Ἀγχίθυρος ναίοισα] ἐκ γειτόνων κατοικοῦσα, κατεύξατο ἐν ὀνόματι τῆς θεοῦ ἐκάλει αὐτήν. 72. ἡ μεγάλου οἴτου] ὅ ἐστιν, οἴκτου ἀξία οὖσα. Ὡμάρτευον, ὡμάρτουν, ἠκολούθουν. 78. Ἑλιχρύσοιο] ἴδε Εἰδύλ. Α'. στίχ. 30.—82. Περιϊάφθη] πολλὰ ἐβλάφθη, ἐφθάρη. 84. Ἐφρασάμην] Φράζω μέν ἐστι ἴσον τῷ Λέγω· Φράζομαι δὲ λέγω εἰς ἐμαυτὸν, ὅ ἐστι συλλογίζομαι, ἢ φροντίζω, ὡς καὶ τὸ Ἐντρέπομαι καὶ Λέγομαι πολλάκις καὶ Ἐπιστρέφομαι, καὶ ἄλλα εἰς τὸ φροντιστικὸν με-

σελθοῦσα ἐκ γειτόνων, ἐδεῖτό μου προσλιπαροῦσα εἰς θέαν τῆς πομπῆς αὐτῇ συνεξελθεῖν· ἐγὼ δ' ἡ πολυπαθὴς ἐπείσθην συνακολουθεῖν, καλὸν ἐκ βύσσου ἐπισύρουσα χιτῶνα, καὶ τὴν τῆς Κλεαρίστης ξυστίδα ἐπιβεβλημένη.

Λέγε μοι σύ γε, πότνια Σελήνη, τὸν ἔρωτα, ὁπόθεν ἧκε. Κατὰ δὲ τὴν τοῦ Λύκωνος οἰκίαν γενομένη ἐν μέσῃ τῇ ἀμαξωτῷ ὁρῶ Δέλφιν καὶ Εὐδάμιππον ὁμοῦ πορευομένους· ὧν τὸ γένειον ἦν ξανθότερον καὶ αὐτοῦ τοῦ ἑλιχρύσου· ἀπὸ δὲ τοῦ στήθους αὐτῶν ἀπέστιλβέ τι πλέον, ἢ τὸ σόν ἐστι σέλας, ὦ πότνια Σελήνη, οἷα εἰκὸς ἦν τὸ τῶν ἄρτι ἐκλελοιπότων τοὺς ἐν γυμνασίῳ πόνους.

Λέγε μοι σύ γε, πότνια Σελήνη, τὸν ἔρωθ' ὅθεν ἧκε. Τούτους δ' ἰδοῦσα, τοιαύτῃ κατέσχημαι νόσῳ, ὥστε διέφθαρταί μοι ἡ ψυχὴ ὡς μαινομένη· κἀκ τούτου, Οἴμοι! τὸ κάλλος εὐθὺς ἐτάκη, καὶ τῆς πομπῆς ἐκείνης οὐκέτ' οὐδένα λόγον ἐποιούμην, ἀλλ' οὐδ' ὅπως πότ' οἴκαδ' ἐπανῆκον, οἶδα. Οὕτως οὖν ὡς ὑπὸ λυμαντικῆς παραλυθεῖσα νόσου, καὶ αὖος ἐς τοὔσχατον γεγενημένη, δεκάτῳ ἐνοσιλευόμην ἐν κλίνῃ νυχθημέρῳ.

Λέγε μοι σύγ', ὦ πότνια Σελήνη, τὸν ἔρωθ' ὁπόθεν ἧκε. Καί μοι τὸ εἶδος ἐγένετο ὅμοιον θάψῳ, ὥστε καὶ αἱ τρίχες τῆς κεφαλῆς ἐξερρύησαν ἄνωθεν, μόνα δὲ τὰ ὀστᾶ καὶ τὸ δέρμα ὑπόλοιπα καταλιποῦσαι· Ἐντεῦθεν δὲ τίνος οἰκίαν

---

ταβάλλουσιν ἐν μέσῃ διαθέσει, καὶ πρὸς γενικὴν φέρονται. 86. Καπυρὰ] φλογώδης, ἡ τὰς σάρκας καταξηραίνουσα. 88. Θάψῳ] ξύλον τὸ θάψον, ᾧ ξανθίζουσι τὰ ἔρια· δυνατὸν δ', ὡς φασιν, εὑρεθῆναι εἰς Θάψον πρῶτον.

Ἢ π ίκς ἔλιπον γραίας δόμον, ἅτις ἐπᾷδεν;
Ἀλλ' ἇς οὐδὲν ἐλαφρόν· ὁ δὲ χρόνος ἄνυτο φεύγων.
Φράζεό μευ τὸν ἔρωθ', ὅθεν ἵκετο, πότνα Σελάνα.
Χ' οὕτω τᾷ δώλᾳ τὸν ἀλαθέα μῦθον ἔλεξα,
Εἶδ ἄγε, Θέστυλί μοι, χαλεπᾶς νόσω εὑρέ τι μᾶχος.
Πᾶσαν ἔχει με τάλαιναν ὁ Μύνδιος. ἀλλὰ μολοῖσα
Τήρησον ποτὶ τὰν Τιμαγήτοιο παλαίστραν·
Τηνεὶ γὰρ φοιτῇ, τηνεὶ δὲ οἱ ἁδὺ καθῆσθαι.
Φράζεό μευ τὸν ἔρωθ', ὅθεν ἵκετο, πότνα Σελάνα.
Κῆπεί κά νιν ἐόντα μάθῃς μόνον, ἄσυχα νεῦσον,
Κῆφ', ὅτι Σιμαίθα τὺ καλεῖ, καὶ ὑφάγεο τᾷδε.
Ὣς ἐφάμαν· ἁ δ' ἦνθε, καὶ ἄγαγε τὸν λιπαρόχρων
Εἰς ἐμὰ δώματα Δέλφιν· ἐγὼ δέ μιν ὡς ἐνόησα
Ἄρτι θύρας ὑπὲρ οὐδὸν ἀμειβόμενον ποδὶ κούφῳ,
(Φράζεό μευ τὸν ἔρωθ', ὅθεν ἵκετο, πότνα Σελάνα.)
Πᾶσα μὲν ἐψύχθην χιόνος πλέον, ἐκ δὲ μετώπω
Ἱδρώς μευ κοχύεσκεν ἴσον νοτίαισιν ἐέρσαις,
Οὐδέ τι φωνᾶσαι δυνάμαν, οὐδ' ὅσσον ἐν ὕπνῳ
Κνυζῶνται φωνεῦντα φίλαν ποτὶ ματέρα τέκνα·
Ἀλλ' ἐπάγην δαγῦδι καλὸν χρόα πάντοθεν ἶσα.
Φράζεό μευ τὸν ἔρωθ', ὅθεν ἵκετο, πότνα Σελάνα.

---

89. Ἔρρευν] ἔρρουν. 90. Ἧς] ἦν, ἧς, ἣ καὶ ἧς. 94. Τᾷ δώλᾳ] τῇ δούλῃ· Ἀλαθέα, ἀληθῆ. 98. Τηνεὶ φοιτῇ] ἐκεῖ φοιτᾷ. 100. Κῆπεί κα] καὶ ἐπεὶ ἄν, ὅ ἐστι, καὶ ἐπειδάν· ὡς καὶ τὸ ἑπόμενον Κῆφ, καὶ εἶπε. τὸ δὲ Τὺ ἀντὶ τοῦ Σε.—Ὑφάγεο] ὑφηγοῦ, τᾷδε, τῇδε, δεῦρο. 107. Κοχύεσκεν] ὃ καὶ Κοχύδεσκεν γράφουσιν· ἔρρει ὁ ἱδρώς, ὡς σταλαγμοὶ ὕδατος. 109.

ἀφῆκα, ἢ ποίαν ἀπέλιπον γραίαν, εἰς ἣν οὐκ ἦλθον εὑρησομένη ἐκ γοητείας καὶ ἐπωδῆς τινος τοῦ πάθους θεραπείαν; ἀλλ᾽ ἐς μάτην· ἦν γὰρ καὶ ἐντεῦθεν ἀνακούφησις οὐδεμία· ὁ δὲ χρόνος μεταξὺ ἔῤῥει συχνός.

Λέγε μοι σύ γε, πότνια Σελήνη, τὸν ἔρωθ᾽ ὅθεν ἧκε.

Ἐντεῦθεν οὖν, ἀνάγκης γενομένης ἐκφῆναι τῇ δούλῃ πάντα τἀληθῆ, ἔφην πρὸς αὐτὴν, δεῦρο, Θέστυλι, ἔξευρε, ἥντιν᾽ οἶσθα μηχανὴν αὐτὴ, οἵαν ἀπαλλάξαιμε τῆς νόσου. τῷ γὰρ τοῦ Μυνδίου ὅλως ἐκτέτηκα ἔρωτι· ἀλλ᾽ ἰοῦσα παρὰ τὴν τοῦ Τιμαγήτου παλαίστραν, φύλαξον, εἴπῃ ἴδοις ἐκεῖνον· ἐκεῖ γὰρ θαμίζει, αὐτοῦ φιλήδοι ἀναστρέφεσθαι.

Λέγε μοι σύ γε, πότνια Σελήνη, τὸν ἔρωτα, ὅθεν ἧκε.

Ἐπειδὰν δ᾽ ἴδῃς αὐτόν πῃ μόνον, ἐπινεύσασα αὐτῷ ἠρέμα, εἰπὲ, Δέλφι, δεῦρο, Σιμαίθα σε καλεῖ· καὶ ταῦτ᾽ εἰποῦσα, ὑφηγοῦ αὐτῷ ἐπὶ τάδε· Ταῦτα μὲν ἐγώ· ἡ δ᾽ ἐβάδιζε πρὸς τὰ ἐντεταλμένα· καὶ μετὰ μικρὸν ἤγαγέ μοι τὸν λιπαρόχροον Δέλφιν· ἐγὼ δ᾽ ὡς ἐνόησα αὐτὸν κούφῳ βήματι τὸν τῆς οἰκίας ὑπερβάντα οὐδὸν, ἀπεψύγην καὶ χιόνος αὐτῆς πλέον, τοῦ ἱδρῶτος, ὡς θρόμβοι δρόσου, καταῤῥυέντος τοῦ προσώπου· ὥστ᾽ οὐκ ἦν μοι οὐδὲ φωνὴν προέσθαι· οὐδ᾽ ὅσον τὰ παιδία, ἐν ὕπνοις κνυζόμενα, πρὸς τὴν φίλην φωνοῦσι μητέρα· ἀλλ᾽ ἴσα καὶ δαγὺς τὸ εἶδος ἀπελιθώθην.

Λέγε μοι σύ γε, πότνια Σελήνη, τὸν ἔρωθ᾽, ὁπόθεν ἧκεν.

---

Κνυζῶνται ἐν ὕπνοις ὑποτονθορίζοντα, μινυρίζουσιν, μόλις φωνοῦντα. 110. Δαγύδι.] Δαγύς· εἰδώλιον, εἰκὼν, ἐκ κηροῦ, ἄθυρμα παιδίοις, ὃ ἡ συνήθεια

Καί μ' ἐσιδὼν ὥστοργος, ἐπὶ χθονὸς ὄμματα πήξας,
Ἕζετ' ἐπὶ κλιντῆρι, καὶ ἑζόμενος φάτο μῦθον·
Ἦρά με, Σιμαίθα, τόσον ἔφθασας, ὅσσον ἐγώ θην
Πράν ποκα τὸν χαρίεντα τρέχων ἔφθαξα Φιλῖνον,
Ἐς τὸ τεὸν καλέσασα τόδε στέγος, ἤ με παρῆμεν.
Φράζεό μευ τὸν ἔρωθ', ὅθεν ἵκετο, πότνα Σελάνα.
Ἦνθον γάρ κἠγὼν, ναὶ τὸν γλυκὺν, ἦνθον ἔρωτα,
Ἢ τρίτος, ἠὲ τέταρτος ἐὼν φίλος, αὐτίκα νυκτὸς,
Μᾶλα μὲν ἐν κόλποισι Διωνύσοιο φυλάσσων,
Κρατὶ δ' ἔχων λεύκαν, Ἡρακλέος ἱερὸν ἔρνος,
Πάντοσε πορφυρέῃσι περιζώστρῃσιν ἑλικτάν.
Φράζεό μευ τὸν ἔρωθ', ὅθεν ἵκετο, πότνα Σελάνα.
Καί μ' εἰ μέν κ' ἐδέχεσθε, τάδ' ἦς φίλα· καὶ γὰρ ἐλαφρὸς
Καὶ καλὸς πάντεσσι μετ' ἠϊθέοισι καλεῦμαι.
Εὗδον δ', εἴ κε μόνον τὸ καλὸν στόμα τεῦ ἐφίλασα·
Εἰ δ' ἄλλᾳ μ' ὠθεῖτε, καὶ ἁ θύρα εἴχετο μοχλῷ,
Πάντως καὶ πελέκεις καὶ λαμπάδες ἦνθον ἐφ' ὑμέας.

---

Κεύκλαν ὠνόμασσεν. 112. Ὥστοργος] ὁ ἄστοργος, κρᾶσις τὸ πάθος. 112. 114. Θὴν] δὴ, ὡς βεβαιωτικόν. 115. Τρέχων] ἐν τῷ σαδίῳ· ὁ δὲ νοῦς· ἔμελλον μὲν ἥξειν πρόςσε, νυκτὸς γενομένης, ἀλλὰ σὺ ἔφθης καλέσας με τοσοῦτον χρόνον, ὅσον ἔφθην ἐγὼ τὸν Φαλῖνον ἐν τῷ σταδίῳ δρόμῳ. Σκοπὸς δ' αὐτῷ ἐν τῷ παραδείγματι ἦν ἐπιδείξασθαι καὶ τὴν ἐν τῷ σταδιεύειν ἑαυτοῦ ἀρετήν. 119. Ἢ τρίτος, ἢ τέταρτος] πότερον, μετὰ τρίτον καὶ τέταρτον μόνος καὶ ὕστερος, ἢ πρῶτος αὐτὸς σὺν ἄλλοις δυοῖν ἢ τρισίν; τοῦτο ἔοικεν· οὕτω γὰρ οἱ Ἀττικοὶ χρῶνται τῇ φράσει. Ἔπλει δὲ Περικλῆς πέμπτος αὐτὸς στρατηγὸς, ὅ ἐστιν πρῶτος ἐν τέσσαρσιν ἄλλοις. 120. Διωνύσοιο] Διονύσου, μεγεθύνει δὲ τὴν προπαραλήγουσαν διὰ τὸ μέτρον· ἔσχε δὲ μῆλα ἐν κόλποις ἐρωτικά· ἃ εἰς ἔρωτα ἐκίνησεν Ἀταλάντην, ὡς ὁ σχο-

Ὡς δέ με εἰσιδὼν ὁ ἄστοργος ἐκεῖνος ἔχουσαν οὕτως, ἐρείσας τὰ ὄμματ᾽ ἐπὶ γῆς, ἐκαθέσθη ἐπὶ τοῦ σκίμπωνος, καὶ ἤρξατο πρός με τοιούτου λόγου· Ἦπου δὴ τοσοῦτον, ὦ Σιμαίθα, ἔφθης πρὸς τὸ σαυτῆς καλέσασά με δῶμα, πρὶν ἢ ἐμὲ αὐτόκλητον παραγενέσθαι, ὅσον ἐγὼ προὔδραμον Φαλῖνον τὸν καλὸν πρῴην, τρέχων ἐν τῷ σταδίῳ.

Λέγε μοι σύ γε, πότνια Σελήνη, τὸν ἔρωτα, ὅθεν ἧκε.

Ἦλθον γὰρ κἀγὼ, νὴ τὸν γλυκὺν ἔρωτα, ἦλθον ἂν τῆς ἐπιούσης νυκτὸς, τρίτος, ἢ τέταρτος φίλος ὢν, μῆλα μὲν ἐκ τῶν τοῦ Διονύσου τοῖς κόλποις ἐγκαλύπτων, ἐν δὲ τῇ κεφαλῇ στέφανον λεύκης, τοῦτον δὴ τὸν τοῦ Ἡρακλέως ἱερὸν πτόρθον πορφυραῖς ταινίαις πανταχόθεν περιεζωσμένον, ἀναδεδημένος.

Λέγε μοι σύ γε, πότνια Σελήνη, τὸν ἔρωθ᾽, ὁπόθεν ἔφυ.

Καὶ εἰ μὲν ἐδέχεσθε οὕτω, πάνθ᾽ ὑμῖν εὖ ἂν εἶχε· πλεῖστος γὰρ κἀμοῦ ἐν τοῖς νέοις ἐπί τε τάχει καὶ κάλλει λόγος ῥεῖ παρὰ πᾶσι· καὶ ἠγάπησ᾽ ἂν, εἰ καὶ μόνον τὸ σὸν καλὸν παρέσχες μοι καταφιλῆσαι στόμα· εἰδ᾽ ἐξωθεῖσθε, καὶ τὰς θύρας μοι ἐπιζυγοῦντες κατὰ τοῦ προσώπου, ἠσφαλίζεσθε τῷ μοχλῷ, τότ᾽ ἂν ἧκον πελέκεις τε καὶ πῦρ ἐφ᾽ ὑμᾶς ἐπιφέρων.

---

λιαστής, » Τὰ οἱ ποτὲ Κύπρις ἑλοῖσα μῆλα Διωνύσου δῶκεν ὑπὸ κροτάφων. » 121. Ἱερὸν ἔρνος] ἐκ τοῦ Ἅδου φησὶν ὁ μῦθος ἀνακομίσαι τὴν λεύκην τὸν Ἡρακλέα, καὶ ἐντεῦθεν γενέσθαι αὐτῷ ἱερόν· ἣν ὁ Δέλφις, ὡς ἀθλητὴς καὶ Ἡρακλειδικὸς, ἔφερεν. 126. Τεῦ] οὕτως ἐξ ἑτέρας ἔγραψα ἀναγνώσεως ἀντὶ τοῦ Τεῦς· ἔστι δὲ Σὺ, σοῦ σεῦ, καὶ τεῦ. 127. Πελέκεις]

Φράζεό μευ τὸν ἔρωθ', ὅθεν ἵκετο, πότνα Σελάνα.
Νῦν δὲ χάριν μὲν ἔραν τᾷ Κύπριδι πρᾶτον ὀφείλειν·
Καὶ, μετὰ τὰν Κύπριν, τύ με δευτέρα ἐκ πυρὸς εἵλευ,
Ὦ γύναι, ἐσκαλέσασα τεὸν ποτὶ τοῦτο μέλαθρον,
Αὔτως ἡμίφλεκτον· ἔρως δ' ἄρα καὶ Λιπαραίου
Πολλάκις Ἁφαίστοιο σέλας φλογερώτερον αἴθει.
Φράζεό μευ τὸν ἔρωθ', ὅθεν ἵκετο, πότνα Σελάνα.
Σὺν δὲ κακαῖς μανίαις καὶ παρθένον ἐκ θαλάμοιο,
Καὶ νύμφαν ἐφόβησ', ἔτι δέμνια θερμὰ λιποῖσαν
Ἀνέρος. ὣς ὁ μὲν εἶπεν· ἐγὼ δέ οἱ ἁ ταχυπειθὴς
Χειρὸς ἐφαψαμένα μαλακῶν, ἔκλιν' ἐπὶ λέκτρων·
Καὶ ταχὺ χρὼς ἐπὶ χρωτὶ πεπαίνετο, καὶ τὰ πρόσωπα
Θερμότερ' ἦς, ἢ πρόσθε· καὶ ἐψιθυρίσδομες ἁδύ.
Χ' ὥς κά τοι μὴ μακρὰ φίλα θρυλέοιμι Σελάνα,
Ἐπράχθη τὰ μέγιστα, καὶ ἐς πόθον ἤνθομες ἄμφω.
Κοὔτέ τι τῆνος ἐμὶν ἐπεμέμψατο μέσφα τοι ἐχθὲς,
Οὔτ' ἐγὼ αὖ τήνῳ· ἀλλ' ἦνθέ μοι ἅ τε Φιλίστας
Μάτηρ τᾶς γε ἐμᾶς αὐλητρίδος ἅ τε Μελιξοῦς,

---

χαριέντως ἀπειλεῖ, ἵνα δείξῃ μείζω τὸν ἔρωτα. 130. Πρᾶττον] πρῶτον. 121. Ἐκ πυρὸς εἵλευ] ἐκ τοῦ πυρὸς τοῦ ἔρωτός με ἀνέλαβες οὕτως ἡμίφλεκτον ἄλλως ὄντα· ἡ δὲ νῆσος Λιπάρα ἐξ ἧς κρατῆρες ἐκρήγνυνται πυρὸς, μία ἐστι τῶν περὶ τὴν Σικελίαν, ὧν Αἴολος ἐβασίλευεν. 137. Νύμφην] ὅ ἐστιν ὁ ἔρως πολλάκις ἐκμαίνει καὶ παρθένον καταλιπεῖν τὸν παρθενῶνα, καὶ γαμητὴν τὴν τοῦ ἑαυτῆς ἀνδρὸς κλίνην. 142. Χ' ὡς κάτοι] καὶ ὡς ἂν σοι μὴ μακρὰ θρυλέοιμι, φίλη Σελήνη. 143. Ἤνθομες] ἤλθομεν. 144. Μέσφατοι ἐχθὲς] μέχρις ἐχθές· τὸ δὲ Ἐχθὲς ἀορίστως ἀντὶ τοῦ Πρώην· εἴρηται γὰρ αὐτῷ ἀνωτέρω (στίχ. 4. καὶ κατωτέρω. 157.) ὅτι δωδεκαταῖος

Λέγε μοι σύ γε, πότνια Σελήνη, τὸν ἔρωτα, ὁπόθεν ἔφυ. Νῦν δ' οἶδα χάριν πρῶτον μὲν τῇ Κύπριδι ὀφείλων· ἔπειτα σοί γε ὦ γύναι, ἐπὶ τὴν σαυτῆς ταυτηνὶ μεταπεμψαμένῃ με οἰκίαν, ὡς ἡμίφλεκτόν με ἀπὸ τοῦ πυρὸς ἀναρπασάσῃ· ὁ γὰρ Ἔρως πολλάκις καὶ αὐτοῦ τοῦ Ἡφαιστίου τοῦ ἐκ τῆς Λιπάρας καυστικώτερόν τι φλέγει.

Λέγε μοι σύ γε, πότνια Σελήνη, τὸν ἔρωτα, ὁπόθεν ἔφυ. Οὗτος γὰρ καὶ παρθένον μαινομένην ἀποσοβεῖ ἐκ τοῦ θαλάμου, καὶ νύμφην, τὴν τοῦ ἀνδρὸς κοίτην ἔτι θερμὴν καταλιποῦσαν· Ὁ μὲν ταῦτ' εἶπεν, ἐγὼ δ' ἡ ταχυπειθὴς, ἁψαμένη εὐθὺς τῆς χειρὸς αὐτοῦ, κατέκλινα ἐπὶ τῆς ἐμῆς κλίνης, ὡς μάλιστα οὔσης μαλακῆς· καὶ ἐντεῦθεν χρὼς παρὰ χρωτὶ τριβόμενος, ἀνεῖτο ἐς τὸ ἱλαρώτερον, καὶ τὰ πρόσωπα θερμότερα, ἢ πρόσθεν ἦν· ψιθυρισμός τε πρὸς ἀλλήλους ἡδὺς, καὶ τελευταῖον, φίλη Σελήνη, ἵνα μὴ μακρὰ λέγουσα διατρίβω, ἐπράχθη τὰ μέγιστα· κἀντεῦθεν θερμότερον συνήγομεν πρὸς ἀλλήλους τὸν πόθον, ὥστε μέχρις ἐχθὲς καὶ πρῴην οὐδὲν ἡμῖν, οὔτ' ἐμοὶ πρὸς ἐκεῖνον, οὔτ' αὖ ἐκείνῳ πρὸς ἐμὲ, ὑπῆρξεν, οἷον καὶ μέμψασθαι· Τήμερον δ' οὖν, ἡνίχ' αἱ τοῦ ἡλίου ἵπποι ἀνέτρεχον τὸν οὐρανὸν, Ἠὼ τὴν ῥοδόπηχυν ἀπὸ τοῦ Ὠκεανοῦ ὡς ἡμᾶς ἀναφέρουσαι, ἐλθοῦσα ὡς ἐμὲ ἡ μήτηρ τῆς Μελιξοῦς καὶ Φιλίστρας τῆς ἐμῆς αὐλητρίδος, ἄλλα τε

---

παρ' αὐτῷ οὐκ ἐφάνη. 145. Φιλίστας] Φιλίστη καὶ Μελιξὼ ἀδελφαὶ τῆς αὐτῆς μητρός· ἡ οὖν τῶν ὀνομάτων συνθήκη εἴη ἂν οὕτως ἔχουσα. Ἡ μήτηρ τῆς τε Φιλίστας τῆς ἐμῆς αὐλητρίδος, τῆς τε Μελιξοῦς ἦλθέ μοι. Τὸ δὲ αὐλητρίδος ἕτεροι γράφουσιν αὐλιστρίδος, γείτονος, παρὰ τὶ αὐλὴ, αὔλιαν

Σάμερον, ἀνίκα πέρ τε ποτ' οὐρανὸν ἔτρεχον ἵπποι,
Αῶ τὰν ῥοδόπαχυν ἀπ' Ὠκεανοῖο φέροισαι·
Κῆπέ μοι ἄλλα τε πολλὰ καὶ ὡς ἄρα Δέλφις ἔραται·
Κῆτέ μιν αὖτε γυναικὸς ἔχει πόθος; εἴτε καὶ ἀνδρὸς;
Οὐκ ἔφατ' ἀτρεκὲς ἴδμεν· ἀτὰρ τόσον, αἰὲν ἔρωτος
Ἀκράτω ἐπεχεῖτο, καὶ ἐς τέλος ᾤχετο φεύγων·
Καὶ φάτο οἱ στεφάνοισι τὰ δώματα τῆνα πυκάσδεν.
Ταῦτά μοι ἁ ξεῖνα μυθήσατο· ἔστι δ' ἀληθής·
Ἦ γάρ μοι καὶ τρὶς καὶ τετράκις ἄλλοτ' ἐφοίτη,
Καὶ παρ' ἐμὶν ἐτίθει τὰν Δωρίδα πολλάκις ὄλπαν·
Νῦν δέ τε δωδεκαταῖος, ἀφ' ὧτέ νιν οὐδέποκ' εἶδον.
Ἦρ' οὐκ ἄλλό τι τερπνὸν ἔχει, ἁμῶν δὲ λέλασται;
Νῦν μὲν τοῖς φίλτροις καταθύσομαι· αἰ δ' ἔτι κἠμὲ
Λυπῇ, τὰν Ἀΐδαο πύλαν (ναὶ Μοίρας) ἀραξεῖ.
Τοῖά οἱ ἐν κίστᾳ κακὰ φάρμακα φαμὶ φυλάσσειν,
Ἀσσυρίω, δέσποινα, παρὰ ξείνοιο μαθοῖσα.

---

αὐλιστρίς· οὔμοι δοκεῖ πιθανόν. 151. Οὐκ ἔφατ' ἀτρεκὲς ἴδμεν] πότερον, εἶπεν, ὅτι ἐκείνους οὐκ οἶδεν ἀτρεκῶς, ἢ συνεκάλυψε τὸ σαφὲς τῇ ἀοριστίᾳ, ἵνα μὴ ἡ Σιμαίθα εἰδῇ τὸν ἐκείνου ἔρωτα ἀκριβῶς; τὸ δεύτερον ἔοικε πιθανώτερον ὡς ἐκ τῶν ἑπομένων. 152. Ἐπεχεῖτο.] ἐκέλευεν ἐγχεῖν αὐτῷ τοῦ ἀκράτου, ἵνα πίῃ τῷ ἐρωμένῳ· σύνηθες τοῦτο τοῖς ἐρασταῖς πλείους ἐπιχεῖσθαι ὑπὲρ τῶν ἐρωμένων κυάθους· οὕτω καὶ Εἰδ. ιδ'. 18. τὸ δὲ Φεύγων ἐκληφθήτω ἀντὶ τοῦ σὺν σπουδῇ. 153. Οἱ] αὐτῷ τῷ ἐρωμένῳ. 155. Ὄλπαν] λήκυθος μέν ἐστι, ἐλαιοδοχεῖον, ἀλλ' ἡ προσθήκη τοῦ Δωρίδα διάφορον αὐτὴν ἐθέλει παρὰ τὴν συνήθη. 158. Ἦρα.] ἆρα οὐκ ἔχει ἄλλον ἔρωτα, ὁπότε ἐπιλέλησται ἐμοῦ; ὅ ἐστιν ἐπιλελησμένος ἐμοῦ, ἔχει ἕτερον ἔρωτα·

πολλὰ ἔφη μοι, καὶ ὅτι Δέλφις οὐκ οἶδ' ὅτου ἔρωτι ἑάλω· πότερον γὰρ ἄῤῥενος, ἢ θήλυος οὐκ ἔφη, ὥστε κἀμὲ ἐναργέστερον εἰδέναι· πλὴν ὅτι ἄκρατος ἔρωτος αὐτῷ συχνὸς περιεχεῖτο· καὶ ὅτι τὰ δώματα ἐκεῖνα ἐκοσμεῖτο αὐτῷ στεφάνοις· εἶθ' οὕτως ἀναστὰς εὐθὺς, ᾤχετ' ἀπιών· Ταῦτα μὲν ἐκείνη ἔφη πάντ' ἀληθῆ· πρώην γὰρ τρὶς καὶ τετράκις εἰς ἐμὲ ἐφοίτα, καὶ ἡ τὴν ἑαυτοῦ Δωρικὴν λήκυθον παρ' ἡμῖν ἀεὶ ἐτίθει· νῦν δὲ δωδεκάτη αὕτη, ἀφ' ἧς οὐδέπω ἐκεῖνον εἶδον· Πῶς ἂν οὖν ἐπελάθετο ἡμῶν ἐκεῖνος, εἰμὴ ἄλλῳ τῷ τῶν παρ' αὐτῷ τερπνοτέρων χαίροι; Οὐκοῦν νῦν μὲν μόνοις αὐτὸν καταγοητεύσω φίλτροις· τούτων δ' ἀπράκτων γενομένων, εἰ διαρκέσειεν ἔτι τοῖς αὐτοῖς με λυπῶν ἐκεῖνος, αὐτίκα νὴ τὰς Μοίρας τὰς τοῦ Ἅδου ἀράξει πύλας· Τοιαῦτα γὰρ, ὦ δέσποινα, ἐν τῷ κιβωτίῳ μοι φυλάττεται φάρμακα, ἃ παρ' ἀνδρὸς Ἀσσυρίου μαθοῦσα ἔχω· Νῦν δ' αὐτὴ μὲν στρέψασα,

---

ἡ δὲ προσθήκη τοῦ Δε ἐν τῷ δευτέρῳ κόμματι ὑποσαλεύει τὴν ἔννοιαν· ἔδει γὰρ ἐπιφέρειν εἰς μετοχὴν Ἡμῶν ἐπιλελησμένος, εἰμὴ τὸ μέτρον ἠνάγκαζε. 159. Αἰ δὲ ἔτι κἠμὲ λυπῇ] εἰδὲ καὶ τοῦ λοιποῦ λυπεῖ με ὁμοίως, ταχέως κρούσει ἀντὶ τῆς ἐμῆς τὴν τοῦ ἅδου θύραν. 161. Τοῖα φάρμακα] δῆλον ὅτι γοητικὰ, θανατηφόρα· καὶ ἐναντία, οἷς ἡ Μήδεια ὑπέσχετο τῷ Αἰγεῖ. σίχ. 715.

» Εὕρημα δ' οὐκ οἶσθ', οἷον εὕρηκας τόδε.
» Παύσω δὲ σ' ὄντ' ἄπαιδα, καὶ παίδων γονὰς
» Σπεῖραί σε θήσω· τοιάδ' οἶδα φάρμακα.

Ἀλλὰ τὺ μὲν χαίροισα ποτ' Ὠκεανὸν τρέπε πώλους,
Πότνι'· ἐγὼ δ' οἰσῶ τὸν ἐμὸν πόνον, ὥσπερ ὑπέσταν·
Χαῖρε, Σελαναία λιπαρόχροε· χαίρετε δ' ἄλλοι
Ἀστέρες εὐκήλοιοι κατ' ἄντυγα νυκτὸς ὀπαδοί.

---

166. Εὐκήλοιο νυκτὸς] τῆς ἡσύχου· τὸ δὲ Κατ' ἄντυγα πότερον εἰς τὸ τῆς Σελήνης ἅρμα ἀποδοτέον, ἢ ἐννοητέον καὶ ἕτερον τῆς Νυκτός; καὶ γὰρ καὶ ταύτην οἱ μῦθοι ἐφ' ἅρματος ἰοῦσαν πομπεύουσιν· τὸ δεύτερον ἔμοιγ' ἄμεινον. Ἄντυγες δέ εἰσιν τὰ ἑκατέρωθεν σιδηρὰ τόξα τοῦ ἅρματος, ὧν ἐ-

κέντει χαίρουσα ἐπ᾽ ὠκεανὸν τοὺς πώλους· ἐγὼ δ᾽ ὑπομενῶ, ὅσπερ ὑπέστην πάθος· Χαῖρε λιπαρόχροε Σελήνη· χαίρετε καὶ οἱ ἄλλοι ἀστέρες οἱ περὶ τὴν τῆς ἡσύχου Νυκτὸς ἄμαξαν αὐτῇ παρομαρτοῦντες.

---

πὶ τὸ ἔμπροσθεν ἄκρον σφαίρωμα ἦν, ἀφ᾽ ὧν ἠρτῶντο αἱ τῶν ἵππων ἡνίαι, ὁπόθ᾽ ἡσυχάζοιεν· περὶ ὧν καὶ Ὁμήρῳ εἴρηται Ἰλ. Ε΄. 728.

» Δοιαὶ δὲ περίδρομοι ἄντυγές εἰσι. »

## ΥΠΟΘΕΣΙΣ.

Επιγραφεται τὸ μὲν Εἰδύλλιον τοῦτο Αἰπόλος ἀπὸ τοῦ ἐρῶντος, ἢ Ἀμαρυλλὶς, ἀπὸ τῆς κόρης τῆς ἐρωμένης, ἢ Κωμαστὴς, ἀπ' αὐτοῦ τοῦ πράγματος· ἐπικωμάζει γάρ τις τῇ Ἀμαρυλλίδι, τοῦ ὀνόματος μὴ δηλουμένου. Εἰκάσειε δ' ἄν τις τὸν ἐπικωμάζοντα Βάττον εἶναι· τοῦτον γὰρ Αἰπόλον ὄντα δι' ἑτέρου ποιεῖ ὁ Θεόκριτος προσδιαλεγόμενον Κορύδωνι, καὶ τὸν ἔρωτα, ὃν εἶχε πρὸς τὴν Ἀμαρυλλίδα, ἐμφαίνοντα. Τὰ δὲ πράγματα εἴη ἂν ἐπὶ Ἰταλίας περὶ Κρότωνα, ὅθεν καὶ τὴν Ἀμαρυλλίδα ὑποτίθεται. Τὸ δὲ τοῦ ποιητοῦ

# ΑΙΠΟΛΟΣ η ΑΜΑΡΥΛΛΙΣ Η ΚΩΜΑΣΤΗΣ.

## ΕΙΔΥΛΛΙΟΝ Γ'.

Κωμασδω ποτὶ τὰν Ἀμαρυλλίδα· ταὶ δέ μοι αἶγες
Βόσκονται κατ' ὄρος, καὶ ὁ Τίτυρος αὐτὰς ἐλαύνει.

---

1. Κωμάσδω.] ἄγροικος ἀγροίκου κόρης ἐρῶν, κωμάζει πρὸς αὐτήν· ἔστι

πρόσωπον οὐκ ἂν εἴη, ὡς ὁ Μούνατος φησὶν, ἐκ τοῦ λέγειν τὸν ἐπικωμάζοντα

Ἦ ῥά γέ τοι σιμὸς καταφαίνομαι.

Πλανᾶται δὲ καὶ περὶ τοὺς χρόνους. Φέρει δὲ ὁ ἐπικωμάζων μῆλα καὶ στεφάνους τῇ Ἀμαρυλλίδι χάριν τοῦ προσδεχθῆναι· ἡ δὲ οὐδὲ λόγου αὐτὸν ἀξιοῖ· διὸ καὶ δυσθυμίᾳ τὸν βίον καταλῦσαι προήρηται. Τὸ δὲ εἶδος ἐπικωμαστικόν. Τὸν Τίτυρον οἱ μὲν κύριον, οἱ δὲ Σάτυρον εἶναί φασι. Τινὲς δὲ διὰ τοῦ σιμοῦ τὸν Θεόκριτον οἴονται κωμάζειν, Σιμιχίδην καλοῦντες. Ἡ ἱστορία παρὰ Ἀπολλωνίῳ.

# ΑΙΠΟΛΟΣ Η ΑΜΑΡΥΛΛΙΣ Η ΚΩΜΑΣΤΗΣ.

## ΕΙΔΥΛΛΙΟΝ Γ'.

Εγω μὲν αὐτίκα κωμάσω πρὸς τὴν ἐμὴν Ἀμαρυλλίδα· αἱ δὲ αἶγές μοι νεμέσθωσαν ἐς τὸ ὄρος· Τίτυρος δ' αὐτὰς

δὲ τὸ Κωμάζειν εἰς τὴν ἑαυτοῦ ἐρωμένην νυκτὸς διὰ ςεφάνων καὶ αὐλῶν ἀπελ-

Τίτυρ', ἐμὶν τὸ καλὸν πεφιλαμένε, βόσκε τὰς αἶγας,
Καὶ ποτὶ τὰν κράναν ἄγε, Τίτυρε· καὶ τὸν ἐνόρχαν
Τὸν Λιβυκὸν κνάκωνα φυλάσσεο, μή τυ κορύξῃ.
Ὦ χαρίεσσ' Ἀμαρυλλὶ, τί μ' οὐκέτι τοῦτο κατ' ἄντρον
Παρκύπτοισσα καλεῖς τὸν ἐρωτύλον; ἦ ῥά με μισεῖς;
Ἦ ῥά γέ τοι σιμὸς καταφαίνομαι ἐγγύθεν ἦμεν,
Νύμφα, καὶ προγένειος; ἀπάγξασθαί με ποιησεῖς.
Ἠνίδε τοι δέκα μᾶλα φέρω· τηνῶθε καθεῖλον,
Ὦ μ' ἐκέλευ καθελεῖν τύ· καὶ αὔριον ἄλλα τοι οἰσῶ.
Θᾶσαι μὰν θυμαλγὲς ἐμὸν ἄχος· αἴθε γενοίμαν
Ἁ βομβεῦσα μέλισσα, καὶ ἐς τεὸν ἄντρον ἱκοίμαν,
Τὸν κισσὸν διαδὺς καὶ τὰν πτέριν, ᾇ τὺ πυκάσδῃ.
Νῦν ἔγνων τὸν Ἔρωτα· βαρὺς θεὸς, ἦ ῥα λεαίνας
Μασδὸν ἐθήλαξε, δρυμῷ τέ μιν ἔτραφε μάτηρ·
Ὅς με κατασμύχων καὶ ἐς ὀστέον ἄχρις ἰάπτει.
Ὦ τὸ καλὸν ποθορεῦσα, τὸ πᾶν λίθος· ὦ κυανόφρυ

---

θεῖν. 3. Τὸ καλὸν] οὕτως ἔγραψα ἐξ ἄλλων ἀντὶ τοῦ, Τὸν καλόν· ἔστι δὲ ἀντὶ τοῦ Καλῶς, φιλίαν καθαρὰν καὶ εἰλικρινῆ, οὐ κατησχημένην. 4. Τὸν ἐνόρχην] κατ' ἐπίτασιν τῶν Ὄρχεων λέγοιτ' ἂν μάλιστα· εἰ δὲ γράψαιμεν Ἐνόρχαν δασύνοντες, ἔστι μονόρχης. 5. Κνάκωνα] κνήκωνα, ξανθότριχα. —Μὴ τὺ κορύξῃ· τὸ μὲν Τυ, σὲ, εἰς Αἰτιατικήν· τὸ δὲ Κορύξῃ, παρὰ τὸ Κόρυς, κορυφὴ, κορύσσειν· ὅ ἐστι κερατίζειν· εἰώθασι γὰρ εἴτε τράγοι εἴτε κριοὶ κυρίσσεσθαι, τὰς κεφαλὰς ἐπ' ἀλλήλους ἀράσσοντες. 9. Νύμφα] ἀποσεμνύνει τὴν ἐρωμένην, οὕτως αὐτὴν καλοῦσα. 10. Τηνῶθε] ἐκεῖθεν.—Ὦ] οὗ, ὅπου. 12. Θᾶσαι] θέασαι· θάομαι δὲ τὸ θέμα· συμπίπτει ἀλλ' οὖν τῷ Θεάομαι. 14. Πτέριν] τὴν νῦν πτέρην, ἢ κατὰ παραφθορὰν, φτέρην λεγομένην.—Ἆ τυ πυκάσδῃ] πυκνεῖς σεαυτὴν τοῖς ἐκ ταύτης στεφάνοις· χρῶνται δὲ τῇ βοτάνῃ καὶ πρὸς στρωμὴν οἱ ἐν ἀγροῖς διαιτώμενοι. 17 Σμύχων] σμύχω μὲν

ἐλάσει· Τίτυρε, ἐμοὶ καλῶς περιλημένε, βόσκε τὰς αἶγας, καὶ ἄγε πρὸς τὴν κρήνην, ἐπειδὰν καιρὸς ᾖ, φυλαττόμενος μόνον τὸν ἐνόρχην τῶν τράγων, τὸν ὑπόξανθον καὶ Λιβυκὸν, ἵνα μὴ κυρίξῃ σέ πῃ· Σὺ δ', ὦ χαρίεσσα Ἀμαρυλλὶ, τί ποτ' οὐ παρακύπτουσα τοῦ ἄντρου τούτου, καλεῖς τὸν σαυτῆς ἐραστήν; μῶν μισεῖς αὐτόν; ἢ ὅτι προσπελάζων, σιμός σοι, ὦ φίλη Νύμφη, καὶ δασὺ τὸ γένειον ἐπὶ πολὺ φαίνομαι καθειμένος; ἀλλ' ἴσθι αἴτιος τοῦ ἀπάγξασθαί μοι ἐσομένη· ἰδοὺ δέ σοι μῆλα δέκα ταυτὶ παρέχω, ὅθεν ἔφθης κελεύσασά με, ἀποδρεψάμενός σοι ταῦτα· αὔριον δὲ κομιῶ σοι καὶ ἄλλα· θέασαι δὲ μόνον τὸ θυμοδακὲς τουτὶ, ὃ κατέχει με πάθος· εἴθε γενοίμην μέλισσα, ἵνα βομβοῦσα διά τε κισσοῦ καὶ πτέριδος, ᾗγ' αὐτὴ φιληδεῖς στεφανοῦσθαι, ἐς τὸ σὸν παραδυοίμην ἄντρον· νῦν γὰρ ἔγνων τὸν ἔρωτα, ὡς βαρὺς ὁ θεός· λεαίνης πάντως τυγχάνει μαστὸν ἑλκύσας, καὶ ἐν δρυμῶσιν ἀγρίοις αὐτὸν ἡ μήτηρ ἐξέθρεψεν· ὃς περισμύχων με νῦν, ἐκμυζᾷ μου μέχρι τῶν ὀστέων τὸ αἷμα· Ὦ χαρίεσσά μοι Ἀμαρυλλὶ, ἡ καλὸν μὲν καὶ τρυφερὸν ὁρῶσα, σκληρὰ δ' ἄλλως καὶ ἄτεγκτος ὅλως οὖσα· ὦ μελάνοφρυ Νύμφη, δεῦρο πρόσπτυ-

---

διὰ μὲν τοῦ κατακαίειν ἠρέμα καὶ καταμαραίνειν δηλοῖ, ὡς πάθος τι ἐσωτερικὸν οἷος ὁ φθόνος, ὁ ἔρως, τὰ τοιαῦτα· διὰ δὲ τοῦ Η σμήχειν, ἀπομάττειν ἐστὶ καὶ καθαίρειν· ὡς καὶ παρ' Ὁμήρῳ. Ὀδ. Ζ'. 226

» Ἐκ κεφαλῆς δ' ἔσμηχεν ἁλὸς χνόον ἀτρυγέτοιο.

18. Ὦ τὸ καλὸν ποθορεῦσα] προσορῶσα· ἡ καλῶς ὁρῶσα, ἢ ἡ καλοὺς ἔχουσα ὀφθαλμούς· ἢ μᾶλλον κάλλος παρεχομένη ἐν τῷ ὁρᾶν, κἀντεῦθεν πολὺ τὸ πιθανὸν καὶ ἐπαγωγὸν ἐνδεικνῦσα.—τὸ πᾶν λίθος] ὡς πολυ σκληρὰ καὶ ἄτεγκτος

Νύμφα· πρόσπτυξαί με τὸν αἰπόλον, ὥς τυ φιλάσω.
Ἔστι καὶ ἐν κενεοῖσι φιλάμασιν ἀδέα τέρψις.
Τὸν στέφανον τῖλαί με κατ' αὐτίκα λεπτὰ ποιησεῖς,
Τόν τοι ἐγὼν, Ἀμαρυλλὶ φίλα, κισσοῖο φυλάσσω,
Ἐμπλέξας καλύκεσσι καὶ εὐόδμοισι σελίνοις.
Ὤ μοι ἐγὼ, τί πάθω; τί ὁ δύσσοος; οὐχ ὑπακούεις;
Τὰν βαίταν ἀποδὺς ἐς κύματα τῆνα ἁλεῦμαι,
Ὧπερ τὼς θύννως σκοπιάζεται Ὄλπις ὁ γριπεύς.
Κῆκα μὴ 'ποθάνω, τό γε μὰν τεὸν ἀδὺ τέτυκται.
Ἔγνων πρὰν ὄκα, μευ, μεμναμένω εἰ φιλέεις με,
Οὐδὲ τὸ τηλέφιλον ποτιμαξάμενον πλατάγησεν,
Ἀλλ' αὔτως ἁπαλῷ ποτὶ πάχεϊ ἐξεμαράνθη.
Εἶπε καὶ Ἀγροιὼ τἀλαθέα κοσκινόμαντις,
Ἁ πρὰν ποιολογεῦσα παραιβάτις, οὕνεκ' ἐγὼ μὲν

---

εἶ. 19. Νύμφα] ἀποσεμνοῖ αὐτὴν ταῖς τιμαῖς πρὸς τὸ πείθειν. 21. Τῖλαι] ἡ συνθήκη οὕτως ἔχει. Αὐτίκα ποιήσεις με κατατῖλαι τὸν στέφανον εἰς τὰ ἐξ ὧν συνετέθη. 23. Καλύκεσσι] κάλυξ, κάλυκος· πληθυντικῶς κάλυκες, κἀντεῦθεν ἡ Δοτικὴ Καλύκεσσι προσθήκῃ τοῦ σι· σημαίνει δ' ἐνταῦθα τὰς ἄκρας τοῦ κισσοῦ φόβας. 24. Δύσσοος] ὁ δυσκόλως σωζόμενος. 25. Βαίτα] δῆλον ὅτι χωρικὴ χλαῖνα, σίσυρα, διφθέρα.—Ἁλεῦμαι] ἅλλομαι, ἁλοῦμαι καὶ ἁλεῦμαι, ἐκπηδήσω. 26. Σκοπιάζεται] τὸ ἀπὸ σκοπιᾶς πρὸς τὴν θάλασσαν προσεκτικὸν αὐτοῦ βλέμμα δηλοῖ. 27. Κῆκα] καὶ ἂν μὴ ἀποθάνω· ἀλλ' ὅπερ σὺ θέλεις γενήσεται (ἴδε κἀν τῷ τέλει στίχ. 54.) ἀποσβεσθήσεται γὰρ ἐκεῖθεν ὁ ἔρως ἐν τοῖς ὕδασιν· οἱ γὰρ δυσέρωτες ἔῤῥιπτον ἑαυτοὺς εἰς τὴν θάλλασσαν, καὶ ἢ ἀπώλλοντο ἐν τοῖς ὕδασιν, ἢ περισωθέντες ἀπηλλάττοντο καὶ τοῦ ἔρωτος· ὃ πεποιηκέναι φασὶ καὶ τὴν Λεσβίαν Σαπφὼ, ἀπὸ τῆς Λευκάδος καθαλομένην πέτρας. 28. Μεῦ μεμναμένω] ἐμέῦ ἀποπειρωμένου. 29. Τηλέφιλον] παρὰ τὸ Τῆλε καὶ φίλον· τὸ μα-

ξαι τὸν Αἰπόλον, ἐφιέμενόν σε καταφιλῆσαι· ἔστι γάρ πῃ καὶ ἐν τοῖς κενοῖς τῶν φιλημάτων ἡδεῖαν τέρψιν εὑρεῖν· εἰ δὲ μὴ, ποιήσεις με πάντως, ὦ φιλτάτη μοι Ἀμαρυλλὶ, ὃν τυγχάνω σοι πλέξας στέφανον ἐκ καλύκων κισσοῦ καὶ εὐόσμων σελίνων, εἰς λεπτὰ διαλῦσαι· Οἴμοι, τὶ πάθω; τὶ ποιήσω τάλας ὁ βίον ἀβίωτον οὕτω ζῶν; οὐχ ὑπακούσεις αὐτῇ; οὐκοῦν ἀποδὺς τὴν χλανίδα ταυτηνὶ, ἐφαλοῦμαι ἐπὶ τὸ κῦμ' ἐκεῖνο, ὅθεν ὁ ἁλιεὺς Ὄλπις κατασκοπεῖ τοὺς θύννους· καὶ ἢν μὴ ἀποθάνω οὕτως, ἀλλ' ὅγε σοι πρὸς ἡδονήν ἐστι, τοῦτ' ἔσται· ἔγνων γὰρ καὶ πρὶν, ὁπότ' ἀποπειρώμενος, εἴμε φιλοῖς, ἀπεμαξάμην τὸ τηλέφιλον πρὸς τὸν πῆχυν· τὸ δὲ οὐκ ἐῤῥάγη, ἀλλ' οὕτως εἰκῇ ἐν ἁπαλῷ τῷ βραχίονι ἄψοφον διελύθη· Εἶπε δ' ἔτι τἀληθῆ καὶ ἡ κοσκινόμαντις Ἀγροιὼ, ἡ πρὶν ἐπικαλαμωμένη κατόπιν τῶν θεριστῶν, ὅτι

---

κρόθεν ποιοῦν φιλεῖσθαι· ἔστι δὲ τοῦτο κατά τινας μὲν τὸ φύλλον τῆς μήκωνος· κατ' ἄλλους δὲ ἑτέρα βοτάνη, ἐπ' ἐρώτων ἐπακουομένη· ὃ ἐπὶ τοῦ πήχεως τιθέμενον τῆς χειρὸς, καὶ πληττόμενον, ἢ ἄλλος πιεζόμενον καὶ θλιβόμενον, εἰ μὲν παρεῖχε ψόφον, ἐδήλου, ὅτι ἀντερᾶται ὁ τοῦτο πράττων ὑπὸ τοῦ ἐρωμένου· εἰδὲ μὴ, μισεῖται· Τοῦτο οὖν καὶ ὁ αἰπῶλος ἀπομαξάμενος πρὸς τὸν πῆχυν τῆς ἑαυτοῦ χειρὸς, οὐκ εὐτύχησε· διελύθη γὰρ τὸ πείραμα, μηδένα ἦχον ἀφέν. Τοῦτο δ' οὖν ταὐτὸν ἂν εἴη, ὃ καὶ οἱ παῖδες παίζοντες ἔτι καὶ νῦν ποιοῦσιν· ἀποκυρτοῦντες γὰρ τοὺς δακτύλους, καὶ μάλιστα τούτων τὸν λιχανὸν τῆς εὐωνύμου χειρὸς ὑπὸ τὸν μέγαν ἐπισυνάγοντες κυκλικῶς, καὶ τὸ τῆς μήκωνος φύλλον ἐπὶ τοῦ στομίου ἐπιτιθέντες, προσκράσσουσιν ἐπ' αὐτοῦ τῇ δεξιᾷ παλάμῃ· καὶ οὕτως ἡ τοῦ ἀέρος ἔκθλιψις, διαῤῥηγνύουσα τὸ φύλον, ψόφον ποιεῖ. 32. Ποιολογεῦσα] παρὰ τὸ Ποία, πόα, βοτάνη· σταχυολογοῦσα, ἡ τοὺς ἀπολελειμμένους παρὰ τῶν θεριςῶν στάχυας συλλέγουσα ὄπισθεν.—Παραιβάτις.] ἡ τοῖς θερισταῖς ὄπισθεν ἐπα-

Τὶν ὅλος ἄγκειμαι· τὺ δὲ μευ λόγον οὐδένα ποιῇ.
Ἦ μάν τοι λευκὰν διδυματόκον αἶγα φυλάσσω,
Τάν με καὶ ἁ Μέρμνωνος Ἐριθακὶς ἁ μελανόχρως
Αἰτεῖ· καὶ δωσῶ οἱ, ἐπεὶ τύ μοι ἐνδιαθρύπτῃ.
Ἅλλεται ὀφθαλμός μευ ὁ δεξιός· ἆρά γ' ἰδησῶ
Αὐτάν; ᾀσεῦμαι ποτὶ τὰν πίτυν ὧδ' ἀποκλινθείς·
Καὶ κέ μ' ἴσως ποτίδοι, ἐπεὶ οὐκ ἀδαμαντίνα ἐντί.
Ἱππομένης, ὅκα δὴ τὰν παρθένον ἤθελε γᾶμαι,
Μᾶλ' ἐνὶ χερσὶν ἑλὼν δρόμον ἄνυεν· ἁ δ' Ἀταλάντα
Ὡς ἴδεν, ὡς ἐμάνη, ὡς ἐς βαθὺν ἅλλετ' ἔρωτα.
Τὰν ἀγέλαν χὡ μάντις ἀπ' Ὄθρυος ἆγε Μελάμπους
Ἐς Πύλον· ἁ δὲ Βίαντος ἐν ἀγκοίνῃσιν ἐκλίνθη,
Μάτηρ ἁ χαρίεσσα περίφρονος Ἀλφεσιβοίας.
Τὰν δὲ καλὰν Κυθέρειαν ἐν ὤρεσι μᾶλα νομεύων
Οὐχ οὕτως Ὥδωνις ἐπὶ πλέον ἄγαγε λύσσας,

---

κολουθοῦσα. 33. Ἄγκειμαι] ἀνάκειμαι, ἀφιέρωμαι· ἐν ἄλλοις δὲ Ἔγκειμαι κεῖται. 37. Ἰδησῶ] ἴδε πρωτότυπον, ἰδήσω, καὶ ἰδησῶ. 40. Ἱππομένης.] υἱὸς τοῦ Μεγαρέως καὶ τῆς Μερόπης ἐξ Ὀγχηστοῦ, ἐρασθεὶς Ἀταλάντης τῆς τοῦ Σχοινέως θυγατρὸς, καὶ νικήσας αὐτὴν δρόμῳ, ἔλαβεν εἰς γυναῖκα· λαβὼν γὰρ μῆλα χρυσᾶ παρὰ τῆς Ἀφροδίτης, ἐνέσπειρεν αὐτὰ ἐπὶ τοῦ σταδίου· τῆς δὲ συλλεγούσης αὐτὰ ἐν τῷ σταδιεύειν, παρήλασεν ἐκεῖνος πρῶτος ἐπὶ τὸν καμπτῆρα. 43. Μελάμπους.] Νηλεὺς ὁ Τυροῦς, θυγατέρα ἔχων, ἐκήρυξε δώσειν αὐτὴν τῷ ὑποσχομένῳ ἐξελάσειν τὰς τοῦ Ἰφίκλου βοῦς ἐκ Φυλακῆς αὐτῷ εἰς Πύλον. Βίαντος δ' ἐρῶντος αὐτῆς, ὑπέστη Μελάμπους ἄξειν ἐκείνας, τῷ ἀδελφῷ χαριζόμενος· συλληφθεὶς δὲ, καὶ εἰς εἱρκτὴν ἐμπεπὼν, προέγνω ἐκ μαντικῆς τὴν οἰκίαν ἐπιπεσουμένην· τοῦτο δὲ γενομένου, ἐπύθετο αὐτοῦ ὁ Ἴφικλος ὡς μάντιν, πῶς ἂν γένοιτο παίδων πατὴρ (ἦν γὰρ ἄτεκνος, ἐπιβλάψαντος αὐτῷ τὰ γεννητικὰ μόρια τοῦ πατρὸς Φυλάκου μαχαίρᾳ κατά τινα περίστασιν) ὁ δὲ εἶπεν αὐτοῦ ἀνευρεῖν

ἐγὼ μὲν ὅλως σοι ἀφωσίωμαι, σὺ δ' οὐδένα μου λόγον ποιῇ· καί τοι ἐγὼ φυλάττω σοι αἶγαν λευκὴν δίδυμα τετοκυῖαν· ἣν ἡ μελάγχρους Ἐριθακὶς ἡ τοῦ Μέρμνωνος αὐτὴν αἰτεῖ παρ' ἐμοῦ· καὶ οὐδ' ἀπαρνήσομαι τελευταῖον δοῦναι οἱ, μέχρις οὗ αὐτὴ τυγχάνῃς οὕτως ἀκκιζομένη· Ἀλλὰ μεταξὺ λόγων ἅλλεταί μοι ὁ δεξιὸς ὀφθαλμός· ἆρά γ' ὄψομαι αὐτήν; ἄγε κατακλινθεὶς παρὰ τὴν πίτυν τήνδε, νέον ἐξ ὑπαρχῆς ἀναβάλωμαι ᾆσμα· καὶ τάχ' ἂν ἀκούσασά μου, καταδέξαιτό με προσβλέψαι, εἴγε μὴ πάνυ ἀδαμαντίνη καὶ ἀνάλγητος πέφυκεν εἶναι.

Ἱππομένης πόθ', ὅτ' ἐμνᾶτο ἑαυτῷ Ἀταλάντην, μῆλα λαβὼν ἐν χερσὶν, ἔτρεχε στάδιον· ἡ δὲ παρθένος, ἰδοῦσα, οὕτως ἐμάνη, ὥστε δευσοποιῷ κατέσχηται ἔρωτι· Μελάμπους δ' αὖ, ὁ Βίαντος ἀδελφὸς, ἦγε καὶ αὐτὸς τὴν ἀγέλην ἐς Πύλον· καὶ ἡ Πειρεβὼ ἡ τῆς περίφρονος Ἀλφεσιβοίας μήτηρ, ταῖς τοῦ Βίαντος παρεκλίνθη ἀγκάλαις· Ἄδωνις δ' αὖ ὁ καλὸς, ὁπότ' ἐνόμευε τὰς ὄϊς ἀνὰ τὰ ὄρη, οὐκ εἰσήλασε καὶ αὐτὸς τὴν καλὴν Ἀφροδίτην εἰς τοσοῦτον τοῦ ἔρωτος, ὥστ'

---

τὴν βλάψασαν μάχαιραν, καὶ τὸν ἰὸν αὐτῆς ἀποξέσαντα, πίνειν. Οὕτω πατέρα αὐτὸν παίδων ποιήσας, ἔλαβε τὰς βοῦς καὶ ἤγαγεν αὐτὰς τῷ Νηλεῖ εἰς Πύλον, καὶ διὰ τούτων περιεποίησε τὸν γάμον τῆς Πειροῦς τῷ ἀδελφῷ Βίαντι. 43, Ὄρθρυς] ὄρος τῆς Θεσσαλίας ἐκ τοῦ Πηλίου κατιόν· ἐν ᾧ πόλις ἦν ἡ Φυλάκη, ἧς ἦρχεν Ἴφικλος. 45. Μάτηρ.] ἡ Πειρώ. 46. Κυθέρειαν τὴν ἐν Κυθήροις τιμωμένην Ἀφροδίτην. 47. Ἄδωνις] τούτῳ δὲ ἠκολούθει πανταχοῦ Ἀφροδίτη διὰ κάλλος ὑπέροχον· ζηλοτυπήσας δ' ὁ Ἄρης, ἀφεὶς κάπρον δι' Ἀρτέμιδος ἐπ' αὐτὸν θηρεύοντα, ἐφόνευσε· τὸ δ' ἐκ τῆς πληγῆς καταρρεῦσαν αἷμα μετέβαλεν Ἀφροδίτη εἰς ἄνθος τὸ καλούμενον Ἀνεμώνη. Τοσοῦτον δ' ἠγάπα αὐτὸν ἡ θεὸς, ὥστε ἓξ μῆνας καὶ ἀποθανόντα

Ὥστ' οὐδὲ φθίμενόν μιν ἄτερ μασδοῖο τίθητι;
Ζαλωτὸς μὲν ἐμὶν ὁ τὸν ἄτροπον ὕπνον ἰαύων
Ἐνδυμίων· ζαλῶ δὲ, φίλα γύναι, Ἰασίωνα,
Ὃς τόσσων ἐκύρησεν, ὅσ' οὐ πευσεῖσθε βέβαλοι.
Ἀλγέω τὰν κεφαλάν· τὶν δ' οὐ μέλει. οὐκέτ' ἀείδω,
Κεισεῦμαι δὲ πεσὼν, καί τοι λύκοι ὧδέ μ' ἔδονται.
Ὡς μέλι τοι γλυκὺ τοῦτο κατὰ βρόχθοιο γένοιτο.

---

ἐνεστερνίζετο. 50. Ἐνδυμίων] ὁ ἐν Ἤλιδι τῆς Πελοποννήσου γεννηθεὶς, διέτριβεν ἐπὶ τοῦ ὄρους Λάτμου ἐν Καρίᾳ· ἐρασθεῖσα δὲ αὐτοῦ ἡ Σελήνη, καὶ συνευρεθεῖσα αὐτῷ ἐν σπηλαίῳ, κατέλιπεν αὐτοῦ κοιμώμενον ὕπνον ἀΐδιον. — Ἰασίων· Κρίτης βασιλεὺς, υἱὸς Μίνωος καὶ Φρονίας Νύμφης. τούτῳ δὲ κοιμωμένῳ ἐν λειμῶνι, συνῆλθε Δημήτηρ, καὶ ἔτεκεν ἐξ αὐτοῦ Πλούτωνα. 52. Ἀλγέω τὰν κεφαλὰν] διακόπτει εὐπρεπῶς ἐνταῦθα τὸ ᾆσμα.

οὐδὲ τεθνηκότος αὐτοῦ ἀπέστη, ἀλλὰ διὰ πολλοῦ τὸ λοιπὸν ἐν ταῖς ἑαυτῆς ἐβάσταζεν ἀγκάλαις; Ζηλῶ μὲν ἔτι, ὦ φίλη γῦναι, καὶ Ἐνδυμίωνα τὸν μακρὸν καθευδήσαντα ὕπνον· ζηλῶ δὲ κἀπὶ τούτῳ καὶ Ἰασίωνα. ὃς τοσούτων λέγεται τυχεῖν, ὅσα τοῖς γε βεβήλοις καὶ ἀμυήτοις ἀκούειν οὐκ ἐπιτρέπεται· Ἀλλ' ἐγὼ μὲν νῦν ἀλγῶ τὴν κεφαλήν· σοὶ δὲ τούτων μέλει οὐδ' ὁτιοῦν· οὐκοῦν παύσομαί γε ᾄδων, καὶ πεσὼν κατακείσομαι ὧδε, ὅπῃ ἐλθόντες οἱ λύκοι κατέδονταί με· τοῦτο γὰρ, εὖ οἶδ' ὅτι, ὡς μέλι σοι δόξει γλυκὺ, ἐς τὸν σὸν κατιὸν οἰσοφάγον·

---

ἵνα δῷ τῷ λόγῳ τέλος. 54. Βρόχθοιο] βρόχθος καὶ ὁ Φάρυγξ, οἰσοφάγος καὶ ἡ κατάποσις, ἡ ἐνέργεια τοῦ κατεπίνειν· οὕτως οὖν ὁ ἐμὸς, φησὶ, θάνατος ἔσται σοι ὡς μέλιτος γλυκέος κατάποσις.

---

## ΥΠΟΘΕΣΙΣ

ΤΟΥΤΟ τὸ Εἰδύλλιον Βουκολικόν ἐστι. Βάττος μὲν οὖν αἰπόλος, Κορύδων δὲ βουκόλος πρὸς ἀλλήλους διαλέγονται ἀμοιβαίως. Ὑποτίθεται δὲ ὁ Θεόκριτος τὸν Κορύδωνα, βοῦς νέμοντα βουκόλου τινὸς Αἴγωνος, ὃν φησὶν εἰς Ὀλυμπίαν ὑπὸ Μίλωνος παλαιστοῦ ἀχθῆναι, ἰσχυρὸν ὄντα, ὡς ἀγωνίσηται· τὸν δὲ Βάττον ταῦτα πυνθανόμενον, καὶ λέγοντα, ὅτι κακοῦ

# ΝΟΜΕΙΣ.

## ΕΙΔΥΛΛΙΟΝ Δ'.

### ΒΑΤΤΟΣ ΚΑΙ ΚΟΡΥΔΩΝ.

ΒΑΤΤΟΣ.

Εἰπέ μοι, ὦ Κορύδων, τίνος αἱ βόες; ἢ ῥα Φιλώνδα;

ΚΟΡΥΔΩΝ.

Οὔκ, ἀλλ' Αἴγωνος· βόσκειν δέ μοι αὐτὰς ἔδωκεν.

ΒΑΤΤΟΣ.

Ἦ πά ψε κρύβδαν τὰ ποθέσπερα πάσας ἀμέλγεις;

3. Ἦ πά ψε] ἤπού σφε] τὸ δὲ σφὲ αὖθις ἀντὶ τοῦ σφᾶς· λαμβάνεται γὰρ ἐπί τε ἑνικοῦ καὶ πληθυντικοῦ, ἐπὶ ἀρσενικοῦ καὶ θηλυκοῦ γένους ἀδιαφόρως.

αἱ βόες ἔτυχον βουκόλου, καὶ εἰσὶ λεπταί. Τὰ μὲν πράγματα διάκεινται ἐν Κρότωνι τῆς Ἰταλίας. Οὐ πάντως δὲ ὁ Θεόκριτος κατὰ τοὺς αὐτοὺς χρόνους γεγονὼς, Μίλωνι μέμνηται αὐτοῦ, ἀλλὰ πολὺ νεώτερος· εἴγε Μίλων τῇ ἑβδόμῃ Ὀλυμπιάδι πάλην νικᾷ· Θεόκριτος δὲ, ὥσπερ ἐδείξαμεν, κατὰ τὴν κδ'. Ὀλυμπιάδα ἤκμαζεν.

# ΝΟΜΕΙΣ.

## ΕΙΔΥΛΛΙΟΝ Δ'.

### ΒΑΤΤΟΣ ΚΑΙ ΚΟΡΥΔΩΝ.

ΒΑΤΤΟΣ

Δεῦρ', ὦ Κορύδων, εἰπέ μοι, τίνος εἰσὶν αἱ βόες αἵδε, ἢ οὐχὶ τοῦ Φιλώνδου;

ΚΟΡΥΔΩΝ

Οὐμενοῦν· ἀλλ' Αἴγωνος· ἐπέστησε δέ με βόσκειν αὐτάς.

ΒΑΤΤΟΣ

Ἀλλ' ἆρ' ἀμέλγεις καὶ αὐτὸς αὐτὰς πρὸς ἑσπέραν, ἐκείνου ἀγνοοῦντος;

ΚΟΡΥΔΩΝ.

Αλλ' ὁ γέρων ὑφίητι τὰ μοσχία, κἠμὲ φυλάσσει.

ΒΑΤΤΟΣ

Αὐτὸς δ' ἐς τίν' ἄφαντος ὁ βωκόλος ᾤχετο χώραν;

ΚΟΡΥΔΩΝ

Οὐκ ἄκουσας; ἄγων νιν ἐπ' Ἀλφεὸν ᾤχετο Μίλων.

ΒΑΤΤΟΣ.

Καὶ πόκα τῆνος ἔλαιον ἐν ὀφθαλμοῖσιν ὀπώπη;

ΚΟΡΥΔΩΝ

Φαντί νιν Ἡρακλῆϊ βίην καὶ κάρτος ἐρίσδεν.

ΒΑΤΤΟΣ.

Κἠμ' ἔφαθ' ἁ μάτηρ Πολυδεύκεος ἦμεν ἀμείνω.

ΚΟΡΥΔΩΝ.

Κ' ᾤχετ' ἔχων σκαπάναν τε καὶ εἴκατι τουτόθε μᾶλα.

ΒΑΤΤΟΣ

Πεῖσαι τοι Μίλων καὶ τὼς λύκος αὐτίκα λυσσῆν.

---

4. Ὁ γέρων] ὁ πατὴρ τοῦ Αἴγωνος ὑποβάλλει ταῖς θηλαῖς τὰ μοσχάρια· μετὰ γὰρ τὸ ἀμέλγειν ἀφιᾶσιν αὐτὰ θηλάζειν· κἀντεῦθεν οὐκ ἦν τῷ ταλαιπώρῳ Κορύδωνι ἐπικαλαμᾶσθαι τοῦ γάλακτος ἔτι οὖν. 6. Ἐπ' Ἀλφειὸν] ἐς τὴν Ὀλυμπίαν ἐπὶ τοὺς ἀγῶνας, παρ' ἣν καταῤῥεῖ ὁ ποταμὸς οὗτος ἐξιὼν εἰς τὴν θάλασσαν. 7. Πόκα ὀπώπη] πότε εἶδεν ἔλαιον· ὡσεὶ ἔλεγεν, πότε ἠλείψατο ἄλλοτε ἐλαίῳ πρὸς πάλην; τὸ δὲ θέμα, Ὄπτω, ὄψω, ὦπα καὶ ὄπωπα, ὑπερσ. ὀπώπειν, ὀπώπεις, ὀπώπει, καὶ Ἰωνικῶς ὀπώπη, ὡς τὸ ᾔδειν, ᾔδεις, ᾔδει, καὶ ᾔδην, ᾔδης, ᾔδη. 9. Κἠμ'] ἀπορεῖται πότερον Καὶ ἐμοί, ἢ καὶ ἐμέ, ἔγραψεν; εἰ μὲν γὰρ τὸ πρῶτον, ἡ μήτηρ ἐστὶ τοῦ Αἴγωνος· εἰ δὲ τὸ δεύτερον, ἐστιν ἑαυτοῦ· ἔστι δὲ καὶ τρίτον κατὰ διάφορον ἔννοιαν ἀποδιδόναι τὴν Μητέρα καὶ αὐτῷ τῷ Πολυδεύκει. Πολυδεύκης δ' οὗτος ὁ ἀδελφός ἐστι τῆς περιβοήτου Ἑλένης καὶ τοῦ Κάστορος.

ΚΟΡΥΔΩΝ

Οὐκ ἄν· ὁ γὰρ γέρων με ὑποβάλλων τὰ μοσχία αὐταῖς, παραφυλάττει.

ΒΑΤΤΟΣ

Ὁ δὲ βουκόλος αὐτὸς ποῖποτ' ἀπιὼν ᾤχετο;

ΚΟΡΥΔΩΝ

Ἀγνοεῖς ἔτι, ὡς Μίλων παραλαβὼν αὐτὸν, ᾤχετο εἰς Ἀλφειόν;

ΒΑΤΤΟΣ

Καὶ πότ' ἐκεῖνος τοῖς γ' ὀφθαλμοῖς ἑώρακε πώποτ' ἔλαιον;

ΚΟΡΥΔΩΝ

Καὶ μὴν καὶ πρὸς Ἡρακλέα γ' αὐτόν φασιν ἰσχύϊ ἁμιλλᾶσθαι.

ΒΑΤΤΟΣ

Ὅσον γε ἡ μήτηρ, κἀμέ φησιν ἐκείνη πολυδεύκους ἀμείνω εἶναι.

ΚΟΡΥΔΩΝ

Ὤχετο δ' ἐντεῦθεν, σκαπάνην καὶ εἴκοσι θρέμματ' ἔχων.

ΒΑΤΤΟΣ

Ἦ γὰρ ἂν οὕτω καὶ τοὺς λύκους αὐτοὺς οἷός τ' ἂν εἴη Μίλων πεῖσαι λυσσᾷν.

---

ἦν δὲ δόκιμος πύκτης. 10. Σκαπάνην καὶ μῆλα] σκαπάνην μὲν πρὸς ἄσκησιν σωματικήν· τριάκοντα γὰρ ἡμέρας πρὸ τῶν ἀγώνων ἠσκοῦντο οἱ ἀθληταὶ εἰς τὸ σκάπτειν· θρέμματα δὲ πρὸς τροφήν. 10. Πείσαι . . . λυσσῆν] ὡς εἰ ἔλεγεν, εἰ τὸν Αἴγωνα Μίλων ἔπεισε κατελθεῖν εἰς ἀγῶνας, ὁ αὐτὸς οὕτω δύναιτ' ἂν ποιῆσαι καὶ τοὺς λύκους λυσσᾷν· ἀπὸ τῶν ἀδυνάτων μεγεθύνει τὸ πρᾶγμα. Ἦν δὲ ὁ Μίλων Κροτωνιάτης, περίφημος ἀθλητὴς, ἑξάκις Ὀλυμπιάσιν νενικηκώς· καί ποτε λαβὼν ἐπ' ὤμων ταῦρον

ΚΟΡΥΔΩΝ.

Ταὶ δαμάλαι δ' αὐτὸν μυκώμεναι ὧδε ποθεῦντι.

ΒΑΤΤΟΣ.

Δειλαῖαί γ' αὗται. τὸν βωκόλον ὡς κακὸν εὗρον.

ΚΟΡΥΔΩΝ

Ἦ μὰν δειλαῖαί γε· καὶ οὐκέτι λῶντι νέμεσθαι.

ΒΑΤΤΟΣ.

Τήνας μὲν δή τοι τᾶς πόρτιος αὐτὰ λέλειπται
Τὠστέα. μὴ πρῶκας σιτίζεται, ὥσπερ ὁ τέττιξ;

ΚΟΡΥΔΩΝ.

Οὐ δᾶν· ἀλλ' ὄκα μέν μιν ἐπ' Αἰσάροιο νομεύω,
Καὶ μαλακῶ χόρτοιο καλὰν κώμυθα δίδωμι·
Ἄλλοκα δὲ σκαίρει τὸ βαθύσκιον ἀμφὶ Λάτυμνον.

ΒΑΤΤΟΣ.

Λεπτὸς μὰν χὠ ταῦρος ὁ πύρριχος· αἴθε λάχοιεν
Τοὶ τῶ Λαμπριάδα τοὶ δαμόται, ὄκκα θύοντι
Τᾷ Ἥρᾳ, τοιόνδε· κακοχράσμων γὰρ ὁ δᾶμος.

---

πρὸς θυσίαν, πλήξας αὐτὸν τῇ πυγμῇ, ἀνεῖλε. 16. Τὠστέα] τὰ ὀστέα· πρῶκα δὲ τὴν δρόσον φησί. 17. Δᾶν.] τὴν γῆν, Δωρικῶς.—Αἰσάροιο] ποταμὸς διὰ τῆς Κρότωνος ἐξιὼν εἰς τὴν θάλασσαν. 19. Σκαίρει] σκιρτᾷ, πηδᾷ· ἢ μᾶλλον, νέμεται, ὅπερ καὶ ἡ συνήθεια παρά τισι φυλάττει ἔτι ἐν τῇ Ἠπείρῳ· οἱ γὰρ ποιμένες ἐν θέρει περὶ τὸ μεσονύκτιον νέμουσι τὰ πρό-

ΚΟΡΥΔΩΝ

Αἱ δὲ δαμάλεις μυκώμεναι ὧδε, ποθοῦσιν τὸν βουκόλον.

ΒΑΤΤΟΣ.

Δυστυχεῖς ἐκεῖναί γε· ὡς ἀχαρίστου ἔτυχον δεσπότου.

ΚΟΡΥΔΩΝ

Δῆλόν γε τοῦτο· οὐδὲ γὰρ ἡδέως ἐθέλουσι νέμεσθαι.

ΒΑΤΤΟΣ

Τῇ δὲ δαμάλιδι ἐκείνῃ τὰ ὀςᾶ δοκεῖ λελεῖφθαι μόνα· μῶν δρόσῳ τρέφεται αὕτη, καθάπερ τέττιξ;

ΚΟΡΥΔΩΝ

Οὐ μὰ τὴν Γῆν· ἀλλ' ὁτὲ μὲν ἐπ' Αἰσάρου αὐτὴν ἐλαύνω· ὁτὲ δὲ καὶ μαλακοῦ χόρτου δίδωμι αὐτῇ δέσμην· ἄλλοτε δ' αὖ περὶ τὸ βαθύσκιον Λάτυμνον ἅλλεται.

ΒΑΤΤΟΣ

Ἀλλ' οὐχ ἧττον καὶ ὁ πυρίχρως ταῦρός ἐστι λεπτὸς ὅδε· τοιούτου δὲ λάχοιεν οἱ τοῦ Λαμπριάδου δημόται, ὁπότε μέλλοιεν τῇ Ἥρᾳ θύσειν· πονηρὸς γὰρ καὶ ἀδόκιμός ἐστιν ὁ δῆμος οὗτος.

---

κατα μίαν ὥραν· ὅπερ ἐκεῖνοι Σκαρίζειν φασι· τοῦτο δὲ παρὰ τὸ Σκαίρειν. —Λατυμνον] ὄρος περὶ τὴν Κρότωνα. 21. Λαμπριάδα] ὃς καὶ Λαμπρεύς· δῆμος τῶν Ἀθηναίων, Λαμπρά, μεταξὺ Σουνίου καὶ Φαληρέως· πάθος τι ἔοικεν ἔχειν ὁ Βάττος πρὸς τὸν δῆμον τοῦτον· 22. Κακοχράσμων]

ΚΟΡΥΔΩΝ.

Καὶ μὰν ἐς στομάλιμνον ἐλαύνεται, ἔς τε τὰ Φύσκω,
Καὶ ποτὶ τὸν Νήαιθον· ὅπᾳ καλὰ φύοντι,
Αἰγίπυρος, καὶ κνύζα, καὶ εὐώδης Μελίτεια.

ΒΑΤΤΟΣ.

Φεῦ, φεῦ· βασεῦνται καὶ ταὶ βόες, ὦ τάλαν Αἴγων,
Εἰς Ἀΐδαν, ὅκα καὶ τὺ κακᾶς ἠράσσαο νίκας.
Χὰ σύριγξ εὐρῶτι παλύνεται. ἅν ποκ᾽ ἐπάξω.

ΚΟΡΥΔΩΝ.

Οὐ τήνα γ᾽, οὐ Νύμφας· ἐπεὶ ποτὶ Πῖσαν ἀφέρπων
Δῶρον ἐμίν νιν ἔλειπεν· ἐγὼ δέ τις εἰμὶ μελικτὰς,
Κἠῦ μὲν τὰ Γλαύκας ἀγκρούομαι, εὖ δὲ τὰ Πύῤῥω.
Αἰνέω τάν τε Κρότωνα· καλὰ πόλις ἅ τε Ζάκυνθος,
Καὶ τὸ ποταῷον τὸ Λακίνιον, ᾇπερ ὁ πύκτας
Αἴγων ὀγδώκοντα μόνος κατεδαίσατο μάσδας.
Τηνεὶ καὶ τὸν ταῦρον ἀπ᾽ ὤρεος ἆγε πιάξας

σχέτλιος, πονηρὸς, κακοδαίμων. 23. Στομάλιμνον] στόμα -λίμνης· πλημυρούσης γὰρ τῆς θαλάσσης ἐν τοῖς χθαμαλαῖς ἀποτελοῦνται λίμναι· καὶ τοῦτο καλεῖ στομάλιμνον.—Φύσκος δὲ ὄρος· Νήαιθος δὲ καὶ Νέαιθος, ποταμὸς, ἀμφότερα περὶ τὴν Κρότωνα.—Φύοντι] φύουσιν αἰγύπυρος, καὶ κνύζα, καὶ μελίτεια· εἴδη ταῦτα βοτάνης οὐ πάνυ γνωστά· τὸ δὲ Μελίτεια δυνατὸν εἶναι τὸ μελισσοβότανον λεγόμενον. 28. Παλύνεται] πάλη, ἡ λεγομένη νῦν, παιπάλη, πασπάλη· ὁ γὰρ εὐρὼς, οἷον κόνις τοῖς σώμασιν ἐπιπασσομένη, ἐπανθεῖ.—Ἐπάξω] ἐπήξω· πήγνυμαι, ἐπηξάμην, ἐπήξω· καὶ ἐπάξω. 29. Οὐ Νύμφας] σύνηθες τὸ τῆς ἐλλείψεως τοῦτο σχῆμα· οὐ τὸν θεὸν, μὰ τὸν θεόν· ἐν ἀποφατικοῖς δὲ μᾶλλον.—Πῖσαν] πόλις ἀρχαία ὑπὸ τοῦ Πέλοπος κτισθεῖσα παρὰ τῇ Ὀλυμπίᾳ, καὶ ὑπὸ τῶν Ἠλείων ἔπειτα

ΚΑΡΥΔΩΝ

Καὶ μὴν περὶ τὸ τῆς Λίμνης νέμεται στόμιον, τόν τε Φύσκον αὐτὸν καὶ τὸν Νήαιθον ἀνέτως περιπολῶν· ἔνθα μάλιστα αἰγίπυρος καὶ κνύζα καὶ εὐώδης μελίτεια φύονται.

ΒΑΤΤΟΣ

Φεῦ, φεῦ· εἴγε καὶ αἱ βόες αἱ σαὶ, ὦ ταλαίπωρε Αἴγων, οἰχήσονται εἰς ᾄδην, ὁπότε κᾀυτὸς οὕτως ἐπιβλαβοῦς ἠράσθης νίκης· οὐ μὴν ἀλλὰ καὶ ἡ σύριγξ, ἣν συνεπήξω ποτὲ, εὐρῶτι ὅλως ἐπίπαστος ἔσται.

ΚΟΡΥΔΩΝ

Οὐ μὰ τὰς Νύμφας ἐκείνη· ἀπερχόμενος γὰρ ἐπὶ Πίσαν ἐκεῖνος ἐντεῦθεν, κατέλιπεν αὐτήν μοι δῶρον· εἰμὶ γὰρ κᾀγὼ αὐλητὴς οὐ τῶν τυχόντων· εὖ μὲν γὰρ τὰ κατὰ Γλαύκην, εὖ δὲ καὶ τὰ τοῦ Πύῤῥου ἀναβάλλομαι μέλη· αἰνῶ δὲ τὴν Κρότωνα, καὶ ἡ καλὴ Ζάκυνθος ὡς καλὴν ὑπόθεσιν ἔμοιγ' ἐγκωμίων παρέχεται, ὥσπερ αὖ καὶ τὸ πρὸς ἕω Λακίνιον, ἔνθ' ὁ Ἀθλητὴς Αἴγων ὀγδοήκοντα μάζας μόνος κατέφαγεν· ἔνθα καὶ ταῦρον, λαβόμενος τῆς ὁπλῆς, καὶ καταγαγὼν ἀπὸ

---

ἀφανισθεῖσα. 30. Μελικτὰς] μελικτὴς, μέλπειν εἰδώς. 31. Κῆν] καὶ εὖ ἀνακρούομαι. Γλαύκη δὲ Μουσική τις γυνὴ ἐκ Λέσβου παρὰ Πτολεμαίῳ τῷ φιλαδέλφῳ ἐνδιατρίψασα· ἐκ τῆς αὐτῆς δὲ νήσου ἦν καὶ ὁ Πύῤῥος, ᾀσμάτων ποιητής. 33. Ποταῷον Λακίνιον] ἀκρωτήριον πρὸς ἀνανολὰς τῆς Κρότωνος. 34. Μάσδας] μάζας· διαφόρως ἐπλάττετο ἡ τροφὴ αὕτη, ὡς καὶ νῦν ἔτι, βουτύρῳ, ἐλαίῳ, μέλιτι, καὶ παρ' ἄλλοις ἄλλως· καὶ αὕτη μὲν ὑγρά· ἦν δὲ καὶ ξηρὰ ἡ ὀπτομένη, ἥτις ἦν μάλιστα ἐκ κριθῆς. 35. Πιάξας] πιάζω, καὶ πιέζω, συλλαμβάνω. Ἀστιάναξ δέ τις Μιλήσιος ἱστόρηται, Ἴσθμια νικήσας, ἐλθὼν οἴκαδε, καὶ ταύρου λαβόμενος τῆς ὁπλῆς, ἢ χηλῆς οὐκ ἀνῆκε, μέχρις οὗ ὁ ταῦρος ἀντερείδων τῇ βίᾳ, ἀφῆκε τὴν ὁπλὴν τῇ ἐ-

Τῆς ὁπλᾶς, κἤδωκ' Ἀμαρυλλίδι· ταὶ δὲ γυναῖκες
Μακρὸν ἀνάϋσαν, χῶ βωκόλος ἐξεγέλαξεν.

ΒΑΤΤΟΣ.

Ὦ χαρίεσσ' Ἀμαρυλλὶ, μόνας σέθεν οὐδὲ θανοίσας
Λασεύμεσθ'. ὅσσον αἶγες ἐμὶν φίλαι, ὅσσον ἀπέσβας.
Αἶ αἶ τῶ σκληρῶ μάλα δαίμονος, ὅς μ' ἐλελόγχει·

ΚΟΡΥΔΩΝ.

Θαρσεῖν χρὴ, φίλε Βάττε· τάχ' αὔριον ἔσσετ' ἄμεινον.
Ἐλπίδες ἐν ζωοῖσιν· ἀνέλπιστοι δὲ θανόντες.
Χῶ Ζεὺς ἄλλοκα μὲν πέλει αἴθριος, ἄλλοκα δ' ὕει.

ΒΑΤΤΟΣ.

Θαρσέω. βαλλε κάτωθε τὰ μοσχία· τᾶς γὰρ ἐλαίας
Τὸν θαλλὸν τρώγοντι τὰ δύσσοα· Σίτθ' ὁ λέπαργος.

ΚΟΡΥΔΩΝ.

Σίτθ' ἁ Κυμαίθα ποτὶ τὸν λόφον· οὐκ ἐσακούεις;
Ἡξῶ, ναὶ τὸν Πᾶνα, κακὸν τέλος αὐτίκα δωσῶν,

---

κείνου χειρί· ὁ δὲ ποιητὴς μετήνεγκε ταῦτα, ἐφαρμόσας τῷ Αἴγωνι. 37. Ἀνάϋσαν] ἀνωλόλυξαν, ἐπιθειάζουσαι· ἀναύω, ἀνακράζω. 39. Λασεύμεσθα] λήθομαι, λήσομαι καὶ λησοῦμαι Δωρικῶς, κἀντεῦθεν τροπῇ τοῦ Ου εἰς Ευ λησεῦμαι. Ἐντεῦθεν δῆλον ὅτι Βάττος ἦν ὁ τῆς Ἀμαρυλλίδος ἐραστής. 39. Ὅσσον ἀπέσβας] δῆλον ὅτι συμπεπίασται ὁ λόγος ἐλλείψει· οἷον, ὅσον σὺ νῦν ἀποθανοῦσα λελύπηκάς με. 40. Ἐλελόγχει] λαγχάνω, λέλοχα, καὶ κατὰ πλεονασμὸν τοῦ γ. λέλογχα· ὅστις ἐκληρώσατό με· λέγει δὲ τοῦτο. ἢ ὅτι ἐξ ἀρχῆς ἐκ χαλεπῆς τύχης ἠράσθη τῆς κόρης, ἢ ὅτι ἐρασθέντος, ἐκείνη τέθνηκε. 44. Βάλλε] ἀλλάττει τὸν διάλογον εἰς ἕτερον εἶδος. 45. Δύσ-

οὔ ὄρους, δέδωκε τῇ Ἀμαρυλλίδι. ἐφ' ᾧ αἱ μὲν γυναῖκες ἀνωλόλυξαν, ὁ δὲ βουκόλος ἐγέλασε.

ΒΑΤΤΟΣ

Ὦ χαρίεσσα Ἀμαρυλλὶ, μόνης σοῦ οὐδ' ἀποθανούσης ἐπιλαθοίμεθ' ἄν· ὅσον γὰρ αἱ αἶγες περιοῦσαι ἡμᾶς εὐφραίνουσι, τοσοῦτον σὺ, ἀποθανοῦσα, λελύπηκας· αἴ, αἴ τοῦ ἀλάστορος, ὅς με κατέχει δαίμων.

ΚΟΡΥΔΩΝ

Θάῤῥει αὐτὸς, ὦ 'γαθέ· τάχα γὰρ αὔριον ἀμείνω ἔσται· οἱ γὰρ ζῶντες ἀεὶ τρέφονται ἐν ἐλπίσι, τῶν τεθνεώτων μόνων ἐκπεπτωκότων τούτων· ἴσμεν γὰρ καὶ αὐτὸν Δία ἄνωθεν ποτὲ μὲν γιγνόμενον αἴθριον, ποτὲ δ' ἄφθονον ἡμῖν ἐπιπέμποντα ὑετόν.

ΒΑΤΤΟΣ

Θαῤῥῶ· ἀλλ' ἐξέλασον σύγε πρὸς τὸ κάταντες τὰ μοσχία· τρώγουσι γὰρ τὰ σχέτλια, ὡς ὁρᾷς, τὰ τῆς ἐλαίας βλαστήματα· Ψίττα, ὁ λευκόπλευρος σύγε.

ΚΟΡΥΔΩΝ

Σίττα καὶ ἡ Κυμαίθα ἐπὶ τὸν λόφον· ἢ οὐκ ἀκούεις; κακὴ κεφαλὴ, εἰ μὴ ἀπέλθοις αὐτόθεν, αὐτίκα νὴ τὸν Πάνα

σοα] τὰ κακῶς σωζόμενα· τόδε Σίτθ' Σίττα, ὥςπερ αὖ καὶ παρ' Εὐριπίδῃ (Κύκλ. στίχ. 49) Ψίττα ταὐτὸν, ἐπιφώνημα ποιμενικόν. Λέπαργος δὲ ὁ τὰς λεπάρας λευκὰς ἔχων, ἢ ὁ τὸ λέπας, εἴτουν τὸ δέρμα λευκός· μή τι

Εἰ μὴ ἄπει τουτῶθεν· ἴδ' αὖ πάλιν ᾇδε ποθέρπει.
Αἴθ' ἧς μοι ῥοικὸν τὸ λαγωβόλον, ὥς τυ πατάξω.

ΒΑΤΤΟΣ.

Θᾶσαί μ', ὦ Κορύδων, ποττῶ Διός. ἁ γὰρ ἄκανθα
Ἁρμοῖ μ' ὧδ' ἐπάταξ' ὑπὸ τὸ σφυρόν· ὡς δὲ βαθεῖαι
Ταὶ ἀτρακτυλλίδες ἐντί. κακῶς ἁ πόρτις ὄλοιτο·
Ἐς ταύταν ἐτύπαν χασμεύμενος. ἦρά γε λεύσσεις;

ΚΟΡΥΔΩΝ.

Ναὶ, ναί· τοῖς ὀνύχεσσιν ἔχω τέ νιν· ἅδε καὶ αὐτά.

ΒΑΤΤΟΣ.

Ὁσσίχον ἐστὶ τὸ τύμμα, καὶ ἁλίκον ἄνδρα δαμάσδει.

ΚΟΡΥΔΩΝ.

Εἰς ὄρος ὄκχ' ἕρπεις, μὴ ἀνάλιπος ἔρχεο, Βάττε·
Ἐν γὰρ ὄρει ῥάμνοι τε καὶ ἀσπάλαθοι κομόωντι.

ΒΑΤΤΟΣ.

Εἶπ' ἄγε μ', ὦ Κορύδων, τὸ γερόντιον ἦ ῥ' ἔτι μύλλει

---

δὲ κύριον ὄνομα τοῦτο ᾖ, καθάπερ καὶ τὸ Κυμαίθα. 48. Τουτῶθεν] αὐτόθεν. Ἐνταῦθα δ' ἀγανακτήσας ὁ Κορύδων, βούλεται βαλεῖν, καὶ παραπεσὼν εἰς ἀκάνθας, πλήττεται τὸν πόδα. Ἐνταῦθα δὲ, καί τοι δοκῶν ἔντισιν ἐν μικροῖς καὶ ψυχροῖς διατρίβειν ὁ ποιητὴς, ἀλλὰ μιμεῖται ἦθος ποιμενικὸν μετὰ πολλῆς χάριτος καὶ ἡδονῆς· καλεῖ γὰρ τὸν ἕτερον ἐν ἁπλότητι ἐξελεῖν αὐτῷ τὴν ἐν τῷ ποδὶ ἐμπεπηγυῖαν ἄκανθαν. 49. Ἧς] τρίτον ἐστὶ πρόσωπον ἀντὶ τοῦ ἦν καὶ ἦ. Λαγωβόλον δὲ, ξύλον τι ἦν, ᾧ ἔβαλε τοὺς λαγωοὺς φεύγοντας· ῥοικὸν δ' αὖθις, καμπύλον· τί ποτε δ' αὐτῷ βούλεται τοῦτο, οὐκ οἶδ' ἔγωγε· φασὶ δὲ, ἵνα μὴ βλάψῃ τὴν αἶγα ἔγκυον οὖσαν· ἐγὼ δ' οὖν ἄλλως παρέφρασα, ὡς εἰ ἔλεγεν, ἣν εἶχον ἀνὰ χεῖρας τὴν καμπτὴν ῥάβδον, ἔβαλον ἄν σε. 50. Ποττῶ] πρὸς τοῦ Διός. ποτὶ τῶ, ποττῶ. 51. Ἁρμοῖ] ἄρτι, νῦν· εἰδὲ δασύνοιτο, ἁρμοδίως. 52. Ἀτρακτυλλίδες] καὶ Ἀτρακτυλίδες δι' ἑνὸς Λ. ἀκανθῶδές φασι φυτὸν εἶναι, ἐξ οὗ κατασκευάζονται

ἥξω, κακόν σοι ἐποίσω μέγα ἢν μὴ ἀπῇς ἐκεῖθεν· ἀλλ' αὕτη ἔτιγ' ἐμφιλοχωρεῖ· εἴθε ἦν μοι τὸ λαγωβόλον ὑπόσκαμβον ἀνὰ χεῖρας· διέλυσα γὰρ ἄν σου οὕτω τὸ κρανίον.

ΒΑΤΤΟΣ

Ἀλλὰ θέασαι, ὦ Κορύδων πρὸς τοῦ Διός, τὴν ἄκανθαν ταύτην, ἄρτι πατάξασάν με ὧδε ὑπὸ τὸ σφυρόν· αἱ γὰρ ἀτρακτυλλίδες ὡς βαθεῖαι καὶ εὐμήκεις εἰσὶν ἐνταῦθα· κακὴ κακῶς ἡ πόρτις ἀπόλοιτο· ταύτῃ γὰρ προσχὼν, πέπληγμαι· βλέπεις αὐτὸς τί ἔνδον;

ΚΟΡΥΔΩΝ

Μάλιστά γε, καὶ δὴ τοῖς ὄνυξιν αὐτῆς τῆς ἀκάνθης ἐλαβόμην· ἰδοὺ ἐξέβαλον αὐτήν.

ΒΑΤΤΟΣ

Ὦ πόσον βραχύ τι τὸ κέντρον ὂν, τηλίκον ἄνδρα καταδαμάζει.

ΚΟΡΥΔΩΝ

Οὐκοῦν ὁπότ' ἐθέλοις ἀνιέναι ἐπὶ τὰ ὄρη, ὅρα ὅπως μηκέτι ἀνυπόδητος ἥξεις; παλίουροι γὰρ συχνοὶ καὶ ἀσπάλαθοι ταύτῃ πλήθουσιν.

ΒΑΤΤΟΣ

Ἀλλ' ἄγε νῦν εἰπέ μοι, ὦ Κορύδων, τὸ γερόντιον ἐκεῖνο

---

ἄτρακτοι. 53. Χασμεύμενος] χαίνων πρὸς αὐτὴν, προσέχων.—Λεύσσεις;] βλέπεις τὴν ἄκανθαν; πρὸς τὸν Κορύδωνα ταῦτα, ἵνα ἐκβάλῃ αὐτὴν τοῦ ποδὸς ἐνοχλοῦσαν. 55. Τὸ τύμμα] τὸ πλῆκτρον, οἱονεὶ θαυμάζει, ὅτι τὸ ἐλάχιστον ἀκανθίδιον, ἐκταράττει ἄνδρα τηλίκον. 56. Ὄκχ'] ὄκα κεν, ὅταν.—Ἀνάλιπος] ἀνήλιπος, ἀνυπόδητος· παρὰ τὸ Ἦλιψ, ὑπόδημα. 57. Κομόωντι] κομῶσι, θάλλουσι· θάμνοι δὲ ταῦτ' ἀκανθωτοί. 58. Γερόντιον] τὸν τοῦ Αἴγωνος ἐννοεῖ πατέρα· ἐνήλλαξε δ' αὖ τὸν διάλογον, ἐπ' ἄλλην

Τήναν τὰν κυανόφρυν ἐρωτίδα, τᾶς ποκ' ἐκνίσθη;

ΚΟΡΥΔΩΝ.

Ἀκμάν γ', ὦ δείλαιε· πρώαν γε μὲν αὐτὸς ἐπενθὼν
Καὶ ποτὶ μάνδρᾳ κατελάμβανον, ἆμος ἐνάργει.

ΒΑΤΤΟΣ.

Εὖ γ', ὤνθρωπε φιλοῖφα· τό τοι γένος ἢ Σατυρίσκοις
Ἐγγύθεν, ἢ Πάνεσσι κακοκνάμοισιν ἐρίσδει.

---

ὑπόθεσεν μεταβάς. 60. Ἀκμὴν] ἐπιῤῥηματικῶς ἀντὶ τοῦ ἀκμαίως, μηδὲν ἐνδιδοὺς γήρᾳ· ἀλλ' ἔτι καὶ νῦν ὁ αὐτός ἐστιν· οὕτω καὶ τὸ τοῦ Ἰσοκράτους Ἀκμὴν φιλοσοφεῖς, ὃ ἑρμηνεύουσι διὰ τοῦ Ἀκόμη, οὐ καλῶς· ὡς καὶ τὰ Δίκην, χάριν καὶ ἄλλα, ἐννοουμένης τῆς Κατὰ ἢ Διά. — Ἐπενθὼν] ἐπελθών.— Ἐνάργει] ἐνήργει· αἰσχρὸν τοῦτο. 62. Φιλοῖφα] ὁ φιλοίφης, κατωφερὴς εἰς ἀφροδίσια· ὁ φιλῶν οἴφειν, συνουσιάζειν. Γένος δὲ τὴν ἔμφυτον ῥοπὴν πρὸς

ἆρ' ἔτι μύζει τὴν κυανόφρυν ἐρωμένην, ἧς ἐρωτικῷ ἀποκέκνιστο κνίσματι;

ΚΟΡΥΔΩΝ

Πάντως γε· πρῴην γὰρ αὐτὸς, παρεισδὺς εἰς τὴν μάνδραν, κατέλαβον αὐτὸν τοῦτο αὐτὸ ποιοῦντα.

ΒΑΤΤΟΣ

Εὖγε γερόντιον, πάντων ἐρωτικώτερον τράγων· φύσις γάρ σοι πρὸς Σατύρους καὶ Πᾶνας τοὺς καμπτοκνήμονας ὡς ἔγγιστα ἔοικεν ἁμιλλᾶσθαι.

---

τὴν λαγνείαν λέγει. 63. Κακοκνήμοσιν] παρ' ὅτι καὶ Σάτυρος καὶ ὁ Πὰν εἰσὶ τραγόποδας.

## ΥΠΟΘΕΣΙΣ

Επιγραφεται μὲν τοῦτο τὸ Εἰδύλλιον αἰπολικὸν καὶ ποιμενικόν· προσδιαλέγονται δὲ ἀλλήλοις ἐπὶ Ἰταλίας δι' ἀμοιβαίων ποιμὴν καὶ αἰπόλος. Δραματικώτερον δέ ἐςι τοῦτο τὸ Εἰδύλλιον, τοῦ προσώπου τοῦ ποιητοῦ μὴ ἐμφαινομένου. Ἔστι δὲ τοῦ αἰπόλου τὸ ὄνομα Κομάτας, ὃς καὶ Εὐμάρα τοῦ Συβαρίτου νέμει τὰς αἶγας· τοῦ δὲ ποιμένος Λάκων, ὃς Θουρίου τοῦ Συβάρτου νέμει τὰ θρέμματα. Ἔχει δὲ ὁ μὲν Κομάτας κόρην ἐρωμένην Ἀλκίππην· ὁ δὲ Λάκων ἐρώμενον

# ΟΔΟΙΠΟΡΟΙ
Η
# ΒΟΥΚΟΛΙΑΣΤΑΙ.

## ΕΙΔΥΛΛΙΟΝ Ε'.

### ΚΟΜΑΤΑΣ ΚΑΙ ΛΑΚΩΝ.

ΚΟΜΑΤΑΣ.

Αἶγες ἐμαὶ τῆνον τὸν ποιμένα τὸν Συβαρίταν
Φεύγετε τὸν Λάκωνα· τό μευ νάκος ἐχθὲς ἔκλεψεν.

---

1. Συβαρίταν.] Σύβαρτος, ἢ Συβάρτης, ἐξ οὗ Συβαρίτης, ἢ κτητικὸν, ἢ ἐθνικόν. 2. Νάκος] ἁπλῶς μὲν δέρμα δηλοῖ· λέγοιτο δ' ἂν μᾶλλον τὸ αἴγειον·

## ΤΟΥ Ε΄. ΕΙΔΥΛΛΙΟΥ.

Εὐμήδην. Ἀλλήλους οὖν προκαλοῦνται περὶ εὐμουσίας ἐρίζοντες, καὶ ἔπαθλον τῆς νίκης τίθενται, ὁ μὲν αἰπόλος τράγον, ὁ δὲ ποιμὴν ἀμνόν· Μόρσωνα δὲ τῶν ᾠδῶν κριτὴν αἱροῦνται. Τελεσάντων δὲ τὴν ἅμιλλαν, ὁ κριτὴς Μόρσων τῷ αἰπόλῳ τὴν νίκην ἀπονέμει. Ὁ τοίνυν αἰπόλος, μετὰ τὴν νίκην γαῦρος γενόμενος, καὶ γεγηθὼς, προσδιαλέγεται ταῖς αἰξὶ, καὶ τὴν τοῦ τράγου ἐπὶ ταῖς αἰξὶν ὄρεξιν πειρᾶται κατασέλλειν, ἐπινίκιον θυσίαν ταῖς Νύμφαις εὐτρεπίζων.

# ΟΔΟΙΠΟΡΟΙ Η ΒΟΥΚΟΛΙΑΣΤΑΙ.

## ΕΙΔΥΛΛΙΟΝ Ε΄.

### ΚΟΜΑΤΑΣ ΚΑΙ ΛΑΚΩΝ.

### ΚΟΜΑΤΑΣ

Αιγες ἐμαὶ, φεύγετε Λάκωνα τὸν τοῦ Συβάρτου ἐκεῖνον
Ποιμένα· χθὲς γὰρ κέκλοφέ μοι τὸ κώδιον.

ἐνταῦθα δὲ σημαίνει τὴν τοῦ αἰπόλου δερματίνην χλαίνην, τὴν καὶ βαίτην

ΛΑΚΩΝ

Οὐκ ἀπὸ τᾶς κράνας σίττ' ἀμνίδες; οὐκ ἐσορῆτε
Τόν μευ τὰν σύριγγα πρῴαν κλέψαντα Κομάταν;

ΚΟΜΑΤΑΣ

Τὰν ποίαν σύριγγα; τὺ γάρ πόκα, δῶλε Συβάρτα,
Ἐκτάσω σύριγγα; τί δ' οὐκέτι σὺν Κορύδωνι
Ἀρκεῖ τοι καλάμας αὐλὸν ποππύσδεν ἔχοντι;

ΛΑΚΩΝ

Τάν μοι ἔδωκε Λύκων, ὦ 'λεύθερε· τὶν δὲ τὸ ποῖον
Λάκων ἐκλέψας ποκ' ἔβα νάκος; εἰπὲ Κομάτα.
Οὐδὲ γὰρ Εὐμάρᾳ τῷ δεσπότᾳ ἦς τοι ἐνεύδεν.

ΚΟΜΑΤΑΣ

Τὸ Κροκύλος μοι ἔδωκε, τὸ ποικίλον, ἀνίκ' ἔθυσε
Ταῖς Νύμφαις τὰν αἶγα· τὺ δ', ὦ κακὲ, καὶ τόκ' ἐτάκευ
Βασκαίνων, καὶ νῦν με τὰ λοίσθοια γυμνὸν ἔθηκας.

ΛΑΚΩΝ.

Οὐ μὰν, οὐ τὸν Πᾶνα τὸν ἄκτιον, οὐ σέ γε Λάκων
Τὰν βαίταν ἀπέδυσ' ὁ Καλαίθιδος· ἢ κατὰ τήνας
Τᾶς πέτρας, ὤνθρωπε, μανεὶς ἐς Κρᾶθιν ἁλοίμαν.

---

καὶ διφθέραν καὶ Σισύραν λεγομένην. 3. Σίττα] καὶ ψίττα ποιμενικὰ ἐπὶ φωνήματα πρὸς τὰ θρέμματα. Ἀμνίδες δὲ καὶ ἀμνάδες ταυτά. 5. Δῶλε] δοῦλε τοῦ Συβάρτου. Κορύδωνα δὲ τὸν ἐν τῷ προηγουμένῳ Εἰδυλλίῳ φησί. 7. Ποππύσδεν]. εἰώθασιν οἱ παῖδες ἀποτεμόντες τοῦ καλάμου τοῦ σίτου μέρος, ἐγχαράτειν διαφυὴν παρὰ τὸ γόνυ, καὶ ἐμφυσῶντες, ἀποτελεῖν ποιάν τινα φωνήν· τοῦτο γὰρ ἐνταῦθά ἐστι ποππύζειν· καὶ τοιοῦτον μουσικὸν ἐθέλει τὸν Λάκωνα. 8. Ὦ ἐλεύθερε] εἰρωνικὸν τοῦτο πρὸς τὸ σκωπτικὸν ἀνωτέρω

ΛΑΚΩΝ

Οὐκ ἀποστήσεσθε ὑμεῖς αἱ ἀμνάδες αὐτόθεν ἀπὸ τῆς πηγῆς; ἢ οὐχ ὁρᾶτε Κομάταν τουτονὶ, ὡς πρῴην κέκλοφέ μου τὴν σύριγγα;

ΚΟΜΑΤΑΣ

Τὴν ποίαν φὴς, ὦ οὗτος; καὶ πότε σὺ, δοῦλος ὢν Συβάρτου, ἠξιώθης τοιοῦτον κεκτῆσθαι κτῆμα; οὐκ ἀγαπήσεις, καλάμης αὐλὸν λαβὼν, σὺν Κορύδωνι ποππύζειν;

ΛΑΚΩΝ

Ἥν μοι Λύκων, ὦ ἐλεύθερε, δέδωκε· σύ δ', ὦ Κομάτα, δεῦρ' εἰπέ μοι νῦν, ὃ Λάκων κλέψας κώδιον ᾤχετο· πόθεν, ὁπότ' οὐδ' Εὐμάρᾳ τῷ σῷ δεσπότῃ τοιοῦτό τι ἂν εἴη ἐπικαθεύδειν;

ΚΟΜΑΤΑΣ

Κροκύλος ὁ βέλτιστος τὸ ποικίλον ἐκεῖνό μοι ἐδεδώκει, ὁπότ' ἔθυσε τὴν αἶγα Νύμφαις· σὲ δ', ὦ κάκιστε, καὶ τότε μὲν ἔσμυγε φθόνος, καὶ νῦν τελευτῶν γυμνόν με θεῖναι τετόλμηκας.

ΛΑΚΩΝ

Οὐ μὰ τὸν Πᾶνα τὸν ἄκτιον, οὔμενουν Λάκων, ὅδε ὁ τῆς Καλαίθιδος ἀφείλετό σέ ποτε τὴν σισύραν· ἐλοίμην γὰρ ἂν, εἴπερ, μανεὶς κατὰ τῆς πέτρας ἐκεινησὶ καταβαλεῖν ἐμαυτὸν ἐς κεφαλὴν ἐπὶ τὸν Κρᾶθιν.

---

Δῶλε· τὸ δὲ Τὶν ἔστι σοὶ καὶ Σοὶ καὶ Σὲ, ὁπότερον βούλει· τὸ δ' αὖ Ἧς τρίτου ἐστὶ προσώπου ἀντὶ τοῦ Ἦν καὶ Ἦ. 12 Ἐτάκευ] ἐτήκου.. 14. Ἄκτιον] τὸν ἐν ἀκταῖς καὶ ἀκρωτηρίοις χαίροντα καὶ τιμώμενον. 16. Κρᾶθις] μικρὸς

ΚΟΜΑΤΑΣ.

Οὐ μὰν, οὐ ταύτας τὰς λιμνάδας, ὦ 'γαθὲ, Νύμφας,
(Αἵτ' ἐμὶν ἵλαοί τε καὶ εὐμενέες τελέθοιεν)
Οὔ τευ τὰν σύριγγα λαθὼν ἔκλεψε Κομάτας.

ΛΑΚΩΝ.

Αἴ τοι πιστεύσαιμι, τὰ Δάφνιδος ἄλγε' ἀροίμαν.
Ἀλλ' οὖν αἴκα λῇς ἔριφον θέμεν (ἐντὶ μὲν οὐδὲν
ἱερὸν) ἀλλά γέ τοι διαείσομαι, ἔστε κ' ἀπείπῃς.

ΚΟΜΑΤΑΣ.

Ὗς ποτ' Ἀθαναίαν ἔριν ἤρισε· ἠνίδε κεῖται
Ὤριφος· ἀλλ' ἄγε καὶ τὺ τὸν εὔβοτον ἀμνὸν ἔρειδε.

ΛΑΚΩΝ.

Καὶ πῶς, ὦ κίναδ', εὖ τάδε γ' ἔσσεται ἐξ ἴσου ἄμμιν;
Τίς τρίχας ἀντ' ἐρίων ἐποκίξατο; τίς δὲ, παρεύσας
Αἰγὸς πρωτοτόκοιο, κακὸν κύνα δήλετ' ἀμέλγειν;

ΚΟΜΑΤΑΣ.

Ὅστις νικασεῖν τὸν πλατίον, ὡς τὺ, πεποίθει,
Σφὰξ βομβέων τέττιγος ἐναντίον· ἀλλὰ γὰρ οὔ τοι

---

ποταμὸς παραῤῥέων τὴν Συβαρίτιν πόλιν ἐν τῇ κάτω Ἰταλίᾳ. 20. αἴ τοι ὡσεὶ ἔλεγεν, ὅστις ἄν σοι πιστεύσῃ, εἴθε πάθοι, ὧν ἐπειράθη Δάφνις· Ἴδε δὲ ταῦτα παρ' ὅλον τὸ πρῶτον Εἰδύλλιον. 21 Ἔντι μὲν οὐδὲν ἱερὸν] εἰς παροιμίαν ἐξενίκησε τοῦτο ἐπὶ τῶν μηδενὸς ἀξίων· Ἡρακλῆς γὰρ, φασὶν, ἐλθὼν εἰς ἱερὸν, καὶ μαθὼν, ὅτι Ἀδώνιδός ἐστιν, οὐδὲν ἱερὸν, ἔφη· οὐ γὰρ θεός ἐστιν Ἄδωνις. Ἐντεῦθεν οὖν παροιμία ἐπ' εὐκαταφρονήτων. 22. Διαείσομαι] διαγωνίσομαι ἐν τῷ ᾄδειν μέχρις ἂν ἀπείπῃς. 23. Ὗς . . . ἤρισε] καὶ

ΚΟΜΑΤΑΣ

Ἀλλ' οὐδ' ὁ Κομάτας, ὦ 'γαθὲ Λάκων, ἔκλεψε τὴν σὴν σύριγγα· οὐ μὰ τὰς Νύμφας αὐτὰς τὰς Λιμνίδας, ἃς εὔχομαι εὐμενεῖς ἡμῖν εἶναι.

ΛΑΚΩΝ

Εἴγε τοῖς σοῖς πιστεύσαιμι λόγοις, γένοιτό μοι παθεῖν ὅμοια τοῖς τοῦ Δάφνιδος· Τέως δ' οὖν, εἴγε βούλει προθεῖναι ἔριφον, μικρὸν τοῦτ' οἶδα, κοὐδὲν ἐπιδείξασθαι ἄξιον, ἀλλ' ἔγωγ' αἱρήσομαί σοι διαγωνίσασθαι ἐν ᾠδαῖς μέχρις ἂν ἀπείπῃς.

ΚΟΜΑΤΑΣ

Ὗς πρὸς Ἀθηνᾶν ἐρίζει, φησὶν ἡ παροιμία· Ἀλλ' ἰδοὺ πρόκείσεται ἔριφος ἐκεινοτί· προτίθει νῦν κἀυτὸς ἀγαγὼν ἀμνὸν τῶν εὐθρέπτων.

ΛΑΚΩΝ

Καὶ πῶς ἂν εἴη, ὦ πανοῦργε σὺ, ἐξ ἴσου ἡμῖν ταῦτ' ἔ[illegible] τίς γὰρ ἑώρακε πώποθ' ὁντινοῦν τρίχας ἀντ' ἐρίων κειρόμενον; τίς δὲ καὶ, αἰγὸς παρούσης, ἀνθελόμενον ἀμέλξαι κύνα;

ΚΟΜΑΤΑΣ

Ὅστις πέποιθεν ἑαυτῷ νικήσειν, ὑποβομβῶν δίκην σφηκὸς

---

τοῦτο παροιμιῶδες ἐπὶ τῶν πρὸς κρείττονας διαφιλονεικούντων. 24. Ὥριφος] ὁ ἔριφος. 24. Ἔρειδε] τίθει ἆθλον. 27. Δήλετο] ἠθέλησε· ἡ δὲ παραβολὴ τῶν μὲν αἰγείων τριχῶν πρὸς τὰ ἔρια τῶν προβάτων· τῆς δ' αἰγὸς πρὸς κύνα. 28. Πλατίον] τὸν πλησίον. 29. Σφὰξ] σφήξ· ἐξομοιοῖ ἐκεῖνον σφηκὶ βομβοῦντι,

Ὥριφος ἰσοπαλής· τὺ, ἴδ' ὁ τράγος οὗτος, ἔρισδε.

ΛΑΚΩΝ.

Μὴ σπεῦδ'· οὐ γάρ τοι πυρὶ θάλπεαι· ἅδιον ᾀσῇ
Τᾷδ' ὑπὸ τὰν κότινον καὶ τἄλσεα ταῦτα καθίξας.
Ψυχρὸν ὕδωρ τηνεὶ καταλείβεται· ὧδε πεφύκει
Ποία, χ' ἁ στιβὰς ᾇδε, καὶ ἀκρίδες ὧδε λαλεῦντι.

ΚΟΜΑΤΑΣ.

Ἀλλ' οὔ τι σπεύδω· μέγα δ' ἄχθομαι, εἰ τύ με τολμῇς
Ὄμμασι τοῖς ὀρθοῖσι ποτιβλέπεν, ὅν ποκ' ἐόντα
Παῖδ' ἔτ' ἐγὼν ἐδίδασκον· ἴδ' ἁ χάρις ἐς τί ποθέρπει.
Θρέψαι καὶ λυκιδεῖς, θρέψαι κύνας, ὥς τυ φάγωντι.

ΛΑΚΩΝ.

Καὶ πόκ' ἐγὼν παρὰ τεῦς τι μαθὼν καλὸν, ἢ καὶ ἀκούσας
Μέμναμ', ὦ φθονερὸν τὺ καὶ ἀπρεπὲς ἀνδρίον οὕτως;

ΚΟΜΑΤΑΣ.

Ἀνίκ' ἐπύγιζόν τυ, τὺ δ' ἄλγεες· αἱ δὲ χίμαιραι
Αἵδε κατεβληχῶντο, καὶ ὁ τράγος αὐτὰς ἐτρύπη.

ΛΑΚΩΝ.

Μὴ βάθιον τήνω πυγίσματος, ὑβὲ, ταφείης.
Ἀλλὰ γὰρ ἕρφ' ὧδ', ἕρπε· καὶ ὕστατα βωκολιαξῇ.

---

ἑαυτὸν δὲ τέττιγι τερερίζοντι. 31. Μὴ σπεῦδε·] διαφιλονεικεῖται αὐτοῖς ἐξῆς περὶ τοῦ τόπου, οὗ καθεσθέντες ἀγωνιοῦνται. 33. Πεφύκει] οὕτως ἐκ τῆς ἀρχαίας· αἱ δὲ νεώτεραι, Πεφύκη. ἴδε κατωτέρω στίχ. 95. Στιβὰς δ' ἂν εἴη καὶ βοτάνη, ἀλλ' ἐνταῦθα ἡ ἐκ βοτάνης ἐπεστιβασμένη στρωμνή. 41. Ἐπύγιζόν σε] ταῦτα, καὶ ἃ ἀκολουθεῖ, ἄμεινον διαγράφειν, ἢ περιγράφειν· οὐδ' ἄξια νέοις τοιαῦτα

πρὸς τέττιγα· ἀλλ' εἴτι ὁ ἔριφος οὐ δοκεῖ σοι τὰ ἴσα ἔχειν, ἰδού σοι τράγος ἐκεινοσὶ ἱκανὸς ἁμιλλᾶσθαι.

ΛΑΚΩΝ

Ἔχ' ἀτρέμας· τὸ γὰρ ὡς ὑπὸ πυρὸς θερμαινόμενον σπεύδειν πολλάκις ἐστὶ σφαλερόν· εἰ γὰρ ὑπὸ τῇ κοτίνῳ ταύτῃ καὶ τῷ ἄλσει τούτῳ καθίσεις, ἥδιον ᾄσῃ πάντως· ἔστι γὰρ ἔνθα μὲν ὑδάτιον παραῤῥέον· ἔνθα δ' αὖ ποία καὶ στιβὰς ὧδε, καὶ ἐν αὐτοῖς ἀκρίδες μουσικῶς κελαδοῦσαι.

ΚΟΜΑΤΑΣ

Ἐγὼ μὲν οὐ σπεύδω· ἄχθομαι δὲ λίαν, ἐφ' οἷς καταθρασύνῃ ὀρθοῖς ὄμμασι βλέπειν πρὸς ἐμὲ, ὅν ποτ' ἐγὼ παῖδ' ὄντα ἔτι, ἐδίδαξα· ἀλλ' ἡ χάρις εἰς τοῦτο νῦν περιέστη· καὶ λίαν γ' ἀληθὲς τὸ τῆς παροιμίας θρέψαι λυκιδεῖς, θρέψαι κύνας, ἵν' αὐξηθέντες πόθ' ὕστερον, καταφάγωσί σε.

ΛΑΚΩΝ

Ὦ φθονερὸν καὶ ἀγενὲς ἀνδράριον σύγε, πότ' ἐγὼ μαθὼν ἰμὶ, ἢ ἀκούσας τι παρὰ σοῦ, ὃ οὐδὲ τὴν μνήμην γ' αὐτήν μου δύναται διεγεῖραι;

ΚΟΜΑΤΑΣ

Ἡνίκ' ἐγὼ μέν σε ἔβαλλον τῇ πυγμῇ, σὺ δὲ ἤλγεις· αἱ δὲ αἶγες περιεσκίρτων μηκώμεναι, ἐφ' ᾧ τὸν τράγον εἰς ὀχείαν προσαγαγέσθαι.

ΛΑΚΩΝ

Μὴ ἵκοιο ὥραις, ὦ κυφὲ σύγε, ἐπὶ τοιούτοις καυχώμενος· Ἀλλὰ δεῦρ' ὧδε, ἐλθὲ πρῶτον· ἔπειτ' ἐπιδείξῃ κατὰ βουκόλους τὴν σαυτοῦ μουσικήν.

ΚΟΜΑΤΑΣ.

Οὐχ ἑρψῶ τηνεί· τουτῶ δρύες, ὧδε κύπειρος,
Ὧδε καλὸν βομβεῦντι ποτὶ σμάνεσσι μέλισσαι·
Ἔνθ᾽ ὕδατος ψυχρῶ κρᾶναι δύο· ταὶ δ᾽ ἐπὶ δένδρων
Ὄρνιχες λαλαγεῦντι· καὶ ἁ σκιὰ οὐδὲν ὁμοία
Τᾷ παρὰ τίν· βάλλει δὲ καὶ ἁ πίτυς ὑψόθε κώνους.

ΛΑΚΩΝ.

Ἦ μὰν ἀρνακίδας τε καὶ εἴρια τᾷδε πατησεῖς,
Αἴκ᾽ ἔνθῃς, ὕπνῳ μαλακώτερα· ταὶ δὲ τραγεῖαι
Ταὶ παρὰ τὶν ὄσδοντι κακώτερον, ἢ τύ περ ὄσδεις.
Στασῶ δὲ κρητῆρα μέγαν λευκοῖο γάλακτος
Ταῖς Νύμφαις· στασῶ δὲ καὶ ἁδέος ἄλλον ἐλαίω.

ΚΟΜΑΤΑΣ.

Αἱ δέ κε καὶ τὺ μόλῃς, ἁπαλὰν πτέριν ὧδε πατησεῖς,
Καὶ γλάχων᾽ ἀνθεῦσαν· ὑπεσσεῖται δὲ χιμαιρᾶν
Δέρματα, τῶν παρὰ τὶν μαλακώτερα τετράκις ἀρνῶν.
Στασῶ δ᾽ ὀκτὼ μὲν γαυλὼς τῷ Πανὶ γάλακτος,
Ὀκτὼ δὲ σκαφίδας μέλιτος πλέα κηρί᾽ ἐχοίσας.

ΛΑΚΩΝ.

Αὐτόθε μοι ποτέρισδε, καὶ αὐτόθι βωκολιάσδευ·

---

περιεργάζεσθαι βουκόλων κακοήθων βωμολοχήματα. 48. Ὄρνιχες] ἐπὶ μὲν Εὐθείας, Ὄρνις λέγεται, ἐπὶ δὲ τῶν πλαγίων ἐπαμφοτερίζει, ὄρνιθος καὶ ὄρνιχος· τὸ δὲ Λαλαγεῦντι τὸ ἀνάρθρως καὶ θορυβωδέστερον λαλεῖν δηλοῖ ἄλλως ἄλλοθεν. 49. Κώνους] στροβίλους· ὁ καρπὸς τῆς πίτυος οὗτος διὰ τὸ εἶναι κωνοειδής. 51. Ὕπνῳ μαλακώτερα] ἐξ ὁμοιότητος, ᾗ ὁ ὕπνος ἀ-

ΚΟΜΑΤΑΣ.

Οὐκ ἄν με πείσειας· ἐνταῦθα γὰρ δρύες, ᾧδε κύπειρος, ἐκεῖ μέλισαι περὶ τὰ σύμβλα βομβοῦσαι πρὸς ἡδονὴν, ἐνταυθοῖ δ' αὖ κρῆναι δύο, ψυχρὸν καταῤῥέουσαι ὕδωρ, καὶ ὄρνιθες ἐν περισειομένοις τοῖς τῶν δένδρων κλάδοις ἐπικαθήμεναι, ἥδιστον ᾄδουσιν· ἡ δὲ σκιὰ, οἵα οὐκ ἂν γένοιτο παρά σοι· ἔνθα καὶ ἡ πίτυς ἄνωθεν τοὺς ἑαυτῆς ἀποβάλλει στροβίλους.

ΛΑΚΩΝ

Ἀλλ' εἴγ' ἔλθοις παρ' ἐμοὶ, πατήσεις ἀρνακίδας καὶ ἔρια καὶ ὕπνου αὐτοῦ μαλακώτερα· αἱ δὲ τραγεῖαι παρά σοι καὶ αὐτοῦ σου χεῖρον ὄζουσιν· προσοίσω δὲ καὶ Νύμφαις κρατῆρας δύο, τὸν μὲν γάλακτος, τὸν δὲ ἡδέος ἐλαίου πλήρη.

ΚΟΜΑΤΑΣ.

Ἀλλ' ἢν σὺ ἔλθῃς εἰς ἐμὲ, ἁπαλὴν μάλιστα πατήσεις πτέριν καὶ γλήχωνα ἀνθοῦσαν, αἰγείων δερμάτων ὑποτεθειμένων, τετράκις τῶν παρά σοι ἀρνακίδων μαλακωτέρων ὄντων· προσοίσω δὲ κἀγὼ τῷ Πανὶ ὀκτὼ μὲν γαύλους γάλακτος πλήρεις. ὀκτὼ δὲ σκαφίδας κηρίων μέλιτος μεστῶν.

ΛΑΚΩΝ.

Οὐκοῦν αὐτὸς ὑπὸ ταῖς σκιαῖς τῶν σῶν ἀνειμένος φυτῶν,

---

νεὶς τὰ σώματα, μαλακοί. 53. Στασῶ] στήσω, πληρώσω, προθήσω. 55. Γλάχωνα] πολλὰ τῶν βοτανῶν παρὰ μὲν τοῖς ποιμέσι γνωστὰ ὄντα, κατονομάζονται· ἡμῖν δὲ διὰ τὸ ἄγνωστα εἶναι εἰσὶ καὶ ἀκατονόμαστα. 56. Ὑπεσσεῖται] ὑπέσται. 58. Γαυλῶς] ἀγγεῖον ποιμενικὸν οἷον Κισσύβιον, Πέλλη,

Τὰν σαυτῶ πατέων, ἔχε τὰς δρύας. ἀλλὰ τίς ἄμμε
Τίς κρινεῖ; αἴθ' ἔνθοι ποθ' ὁ βωκόλος ὧδε Λυκώπας.

ΚΟΜΑΤΑΣ.

Οὐδὲν ἐγὼ τήνω ποτιδεύομαι· ἀλλὰ τὸν ἄνδρα,
Αἰλῇς, τὸν δρυτόμον βωστρήσομες, ὃς τὰς ἐρείκας
Τήνας τὰς παρὰ τὶν ξυλοχίσδεται· ἐντὶ δὲ Μόρσων.

ΛΑΚΩΝ.

Βωστρέωμες.

ΚΟΜΑΤΑΣ.

Τὺ κάλει νιν.

ΛΑΚΩΝ.

Ἴθ', ὦ ξένε, μικρὸν ἄκουσον,
Τᾷδ' ἐνθών· ἄμμες γὰρ ἐρίσδομες, ὅστις ἀρείων
Βωκολιαστάς ἐντι. τὺ δ', ὦ 'γαθὲ, μήτ' ἐμὲ, Μόρσων,
Ἐν χάριτι κρίνῃς, μήτ' ὦν τύ γα τοῦτον ὀνάσῃς.

ΚΟΜΑΤΑΣ.

Ναὶ ποτὶ τᾶν Νυμφᾶν, Μόρσων φίλε, μήτε Κομάτᾳ
Τὸ πλέον ἰθύνῃς, μήτ' ὦν τύ γα τῷδε χαρίξῃ.
Ἇδέ τοι ἁ ποίμνα τῷ Θουρίῳ ἐντὶ Συβάρτα.
Εὐμάρα δὲ τὰς αἶγας ὁρῇς, φίλε, τῶ Συβαρίτα.

ΛΑΚΩΝ.

Μή τύ τις ἠρώτα, πεττῶ Διὸς, αἴτε Συβάρτα,
Αἴτ' ἐμόν ἐστι, κάκιστε, τὸ ποίμνιον; ὡς λάλος ἐσσί.

---

κάδος. 64. Βωστρήσομες] καλέσομεν· παρὰ τὸ Βωτῶ (βοῶ) βωστρῶ, ὡς καὶ παρὰ τὸ Καλῶ, καλιστρῶ. Τὸ δὲ Ἐρείκας γράφεται καὶ Ἐρίκας. 65. Ξυλοχίσδεται.] ταὐτὸν τῷ ξυλίζεται, ἢ ξυλεύεται. 71. Χαρίξῃ] χαρίσῃ

ἄρχου τῆς μουσικῆς αὐτόθεν· ἀλλὰ τίς ἂν εἴη ὁ κρινῶν περὶ ἡμῶν; εἴθ' ἐπισταίη ἡμῖν νῦν Λυκώπας ὁ βουκόλος.

ΚΟΜΑΤΑΣ

Λυκώπου μὲν ἔμοιγε οὐδὲν δεῖ· ἀλλ' εἰ βούλει, καλῶμεν τὸν δρυοτόμον ἐκεινονὶ, ὃς ἐγγύς σου ξυλίζεται τὰς ἐρίκας· ἔστι δ' οὗτος ὁ Μόρσων.

ΛΑΚΩΝ.

Καλῶμεν.

ΚΟΜΑΤΑΣ.

Σὺ τοῦτο ποιήσεις, καλῶς ποιῶν.

ΛΑΚΩΝ.

Ἄκουσον, ὦ ξένε, ἐλθὲ δευρὶ παρ' ἡμᾶς· περὶ γὰρ Μούσης βουκολιστικῆς ἀγὼν ἡμῖν ἔσται· Σὺ δ' ὦ 'γαθὲ Μόρσων, ὅπως ὀρθῶς γε καὶ ἀπὸ γνώμης δικαίας κρινεῖς.

ΚΟΜΑΤΑΣ.

Ναὶ, ὦ βέλτιστε Μόρσων, μήτε Κομάτᾳ ἀποδῷς τὸ πλέον, μήτ' αὖ τῷδε τῷ Λάκωνι· ὁρᾷς γὰρ ἥδε μὲν ἡ ποίμνη ἐςὶ Συβάρτου τοῦ Θουρίου· ἥδε δ' αὖ δευρί.... ὁρᾷς γὰρ τὰς αἶγας τὰς τοῦ Εὐμάρου τοῦ Συβαρίτου.

ΛΑΚΩΝ

Ἀλλὰ τί πρὸς Διὸς τῆς ἐμῆς πρὸς τοῦτον ἐμνήσθης ποίμνης; τίς σε, ὦ κάκιστε, καὶ φλύαρε ἐρωτᾷ περὶ τούτου;

---

ἐν Ὑποτακτικῇ Ἐγκλίσει· τὸ γὰρ ἐν Ὁριστικῇ ἐστι Χαριξῇ. 74. Μή τύ τις] μή σε τις---Ποτ:ῶ] ποτὶ τοῦ, πρὸς τοῦ Διός. 75. Κάκιστε] ἀγανακτεῖ δικαίως ὁ Λάκων τῷ Κομάτᾳ· οὐ γὰρ ἄνευ σκοποῦ ἐξηγεῖται τὰς ποίμνας τῷ Μόρσωνι. ἔοικε γὰρ οὗτος φίλος Εὐμάρᾳ εἶναι· διὸ καὶ μέμνηται τοῦ

ΚΟΜΑΤΑΣ.

Βέντισθ' οὗτος, ἐγὼ μὲν ἀλαθέα πάντ' ἀγορεύω.
Κοὐδὲν καυχέομαι· τὺ δ' ἄγαν φιλοκέρτομος ἐσσί.

ΛΑΚΩΝ.

Εἶα λέγ', εἴ τι λέγεις· καὶ τὸν ξένον ἐς πόλιν αὖθις
Ζῶντ' ἄφες· ὦ Παιὰν, ἦ στωμύλος ἦσθα Κομάτα.

ΚΟΜΑΤΑΣ.

Ταὶ Μῶσαί με φιλεῦντι πολὺ πλέον, ἢ τὸν ἀοιδὸν
Δάφνιν· ἐγὼ δ' αὐταῖς χιμάρως δύο πράν ποκ' ἔθυσα.

ΛΑΚΩΝ.

Καὶ γὰρ ἔμ' Ὠπόλλων φιλέει μέγα· καὶ καλὸν αὐτῷ
Κριὸν ἐγὼ βόσκω. τὰ δὲ κάρνεα καὶ δὴ ἐφέρπει.

ΚΟΜΑΤΑΣ.

Πλὰν δύο τὰς λοιπὰς διδυματόκος αἶγας ἀμέλγω,
Καί μ' ἁ παῖς ποθορεῦσα, τάλαν, λέγει, αὐτὸς ἀμέλγεις;

ΛΑΚΩΝ.

Φεῦ, φεῦ, Λάκων τοι ταλάρως σχεδὸν εἴκατι πληροῖ

---

Εὐμάρα, ἑλκύσαι αὐτὸν πρὸς τὴν κρίσιν βουλόμενος. 78. Εἶα.] ἴθι, παρακελευστικὸν, ὡς σὺν ὀργῇ δ' ὁ λόγος αὐτῷ· οἷον λέγε ὅ,τι ἂν εἴπῃς, καὶ μὴ ἀπόκναιε τὸν ξένον φληνάφοις, ἵνα ζῶν ἐπανέλθῃ ποτὲ οἴκαδε· τρόπος οὗτος τοῦ μετ' ὀργῆς πως ἐκφράζεσθαι. 80. Ταὶ Μῶσαι] ἐντεῦθεν καταλιπόντες τὸ διαλέγεσθαι, ᾄδουσιν. 81. Χιμάρως] ἐτησίους ἐρίφους. 83. Κάρνεα] Ἑορτὴ ἀρχαία παρ' Ἕλλησι ἐν Σπάρτῃ μάλιστα ἐς τιμὴν τοῦ Καρνείου Ἀπόλλωνος πρὸς ἐξιλέωσιν τοῦ φονευθέντος Κάρνου τοῦ μάντεως ὑπὸ

ΚΟΜΑΤΑΣ.

Καὶ μὴν ἔγωγ', ὦ βέλτιστε, τἀληθῆ εἰπὼν οὐδὲν ὑπέρκομπον ἔφην· σὺ δὲ ὡς λίαν φιλαιτίῳ καὶ φιλολοιδώρῳ ἔοικας.

ΛΑΚΩΝ.

Ἀλλ' ἴθι λέγε, εἴτι ἔχεις εἰπεῖν· καὶ ἄφες τὸν ξένον ἐπανελθεῖν ζῶντα οἴκαδε· Ὦ Πὰν, ὡς λῆρός ἐστι Κομάτας οὗτος!

ΚΟΜΑΤΑΣ.

Ἐμὲ φιλοῦσιν αἱ Μοῦσαι μᾶλλον, ἢ Δάφνιν τὸν μουσικόν. ἀνθ' ὧν ἔγωγε δύο χιμάρους αὐταῖς ἔθυσα πρώην.

ΛΑΚΩΝ.

Ἐμὲ δὲ φιλεῖ Ἀπόλλων λίαν· ταῦτ' ἄρα καλὸν οἱ κριὸν ἐκτρέφω, τῶν Καρνείων, ὅσον οὔπω, παρόντων.

ΚΟΜΑΤΑΣ.

Πάσας τὰς αἶγας, πλὴν δύο μόνων, διδυματόκους ἀμέλγω. ἡ δὲ παῖς καθορῶσα, ἄθλιε, φησὶ, Κομάτα, μόνος ἀμέλγεις;

ΛΑΚΩΝ.

Βαβαί! Λάκων δὲ εἴκοσι πληροῖ τυροῦ καλοῦ ταλάρους

τοῦ Ἱππότου υἱοῦ τοῦ Φύλαντος· ἐτελοῦντο δὲ περὶ τὴν τρισκαιδεκάτην τοῦ Καρνείου μηνὸς εἰς ἡμέρας ἐννέα. 84. Διδυματόκος] διδυματόκους, κατὰ ἀφαίρεσιν τοῦ Υ παρὰ τοῖς Δωριεῦσιν ἐν Αἰτιατικῇ. 85. Καί με ἡ παῖς] ἡ ἐρωμένη Ἀλκίππη· συμπάσχουσα γὰρ αὐτῷ μόνῳ κοπιῶντι, παραμυθεῖται. 86. Φεῦ, Φεῦ.] οὐ σχετλιαστικόν ἐστι τοῦτο, ἀλλ' οἷον θαυμαστικὸν, ὡς καυχωμένου αὐτοῦ ἐπὶ τῇ τῆς θυσίας ποσότητι. Τάλαρος δὲ, κάλαθός ἐστι, πλέγμα τι σφαιροειδὲς, δι' οὗ ἔτι καὶ νῦν κατὰ τὴν Ἑλλά-

Τυρῶ, καὶ τὸν ἄναβον ἐν ἄνθεσι παῖδα μολύνει.

ΚΟΜΑΤΑΣ.

Βάλλει καὶ μάλλοισι τὸν αἰπόλον ἁ Κλεαρίστα,
Τὰς αἶγας παρελεῦντα, καὶ ἁδύ τι ποππυλιάσδει.

ΛΑΚΩΝ.

Κἠμὲ γὰρ ὁ Κρατίδας τὸν ποιμένα λεῖος ὑπαντῶν
Ἐκμαίνει· λιπαρὰ δὲ παρ᾽ αὐχένα σείετ᾽ ἔθειρα.

ΚΟΜΑΤΑΣ.

Ἀλλ᾽ οὐ σύμβλητ᾽ ἐστὶ κυνόσβατος οὐδ᾽ ἀνεμώνα
Πρὸς ῥόδα, τῶν ἄνδηρα παρ᾽ αἱμασιαῖσι πεφύκῃ.

ΛΑΚΩΝ.

Οὐδὲ γὰρ οὐδ᾽ ἀκύλοις ὀρομαλίδες· αἱ μὲν ἔχοντι
Λεπρὸν ἀπὸ πρίνοιο λεπύριον, αἱ δὲ μελιχραί.

ΚΟΜΑΤΑΣ.

Κἠγὼ μὲν δωσῶ τᾷ παρθένῳ αὐτίκα φάσσαν,
Ἐκ τᾶς ἀρκεύθω καθελών· τηνεὶ γὰρ ἐφίσδει.

ΛΑΚΩΝ.

Ἀλλ᾽ ἐγὼ ἐς χλαῖναν μαλακὸν πόκον, ὁππόκα πεξῶ

---

δα διϋλίζουσι τὸν τυρόν. 87. Τὸν ἄναβον] ἄνηβον· ἐν αἰσχροῖς δὲ παίζει. 88. Ἡ Κλεαρίστου] ἡ τοῦ Κλεαρίστου Ἀλκίππη. 89 Παρελεῦντα] παρελαύνοντα.—Ποππυλιάσδει] εἶδος συριγμοῦ τὸ Ποππύζειν. 60· Κρατίδας] ὁ ἐρώμενος αὐτοῦ· ἔοικε δὲ πατρωνυμικὸν τοῦτο εἶναι· Κράτης, Κρατίδης· Εὐμήδης γὰρ τὸ κύριον ὡς κατωτέρω (στίχ. 134.) φαίνεται. 62. Κυνόσβατος.] βάτος τραχεῖα, ῥόδα ἄγρια φέρουσα· ἀνεμώνη δὲ, φασὶ, βοτάνη καὶ αὐτὴ ἐκ τοῦ αἵματος τοῦ Ἀδώνιδος ἀναδοθεῖσα, καὶ ἧς τὸ ἄνθος ἁρπάζεται ῥαδίως ὑπὸ τῶν Ἀνέμων. 93. Τῶν ἄνδηρα] ἄνδηρα καὶ τὰ ἄνθη, καὶ ἀκρόδρυα τὰ ἐπὶ τὰς αἱμασιὰς ἀναβαίνοντα. Τὸ δὲ Πεφύκη, οὕτω κατὰ διά-

καὶ τὸν ἄνηθον παῖδα μετέρχεται ἐπὶ τῶν ἀνθέων.

ΚΟΜΑΤΑΣ.

Ἀλλ' ἡ Κλεαρίστου θυγάτηρ ἐν τῷ τὰς αἶγας τὸν Αἰπόλον παρελαύνειν, ἡδύτι ποππύζουσα, βάλλει αὐτὸν τοῖς μήλοις.

ΛΑΚΩΝ.

Μῶν οὐχὶ καὶ τὸν Ποιμένα, ἀπαντῶν με ὁ λειοπώγων καὶ καλὸς Κρατίδας, ἐκθερμαίνει, τῆς λιπαρᾶς αὐτῷ κόμης ἐπ' αὐχένος νεότητος αὔραις ἐπικυματουμένης;

ΚΟΜΑΤΑΣ.

Ἀλλὰ τί ποτ' ἂν εἴη κοινὸν κυνοσβάτῳτε καὶ ἀνεμώνῃ πρὸς τὰ ῥόδα, ὧν τὰ ἄνθη ἀναφυόμενα περιβάλλουσι τὰς αἱμασιάς;

ΛΑΚΩΝ.

Μήτε μὴν Ὀρειμηλίδες ἂν εἶεν παραβλητέαι πρὸς ἀκύλους· ταῖς μὲν γὰρ ὡς λεπρὸν ἀπὸ τοῦ πρίνου ἔπεστι λέπυρον, ταῖς δὲ τὸ μελίχρουν ὡς μάλα περίεστι.

ΚΟΜΑΤΑΣ.

Κἀγὼ μὲν φάσσαν προσοίσω τῇ παρθένῳ, αὐτίκ' ἀνελὼν ἐξ ἀρκεύθου· ἐκεῖ γὰρ ἐφιζάνει.

ΛΑΚΩΝ.

Κἀγὼ οὐχ ἧττον, ἅμα κειράμενος Ὀΐων τὴν μελαίνην,

---

λεκτον ἀντὶ τοῦ Πεφύκει· ὡς καὶ τοῦ ἤδη ἀντὶ Εἴδει. 94. Ἀκύλοις] ἄκυλοι οἱ ἐκ πρίνου βάλανοι. Ὀρομαλίδες δὲ ἀντὶ Ὀρειμηλίδες, μῆλά εἰσιν ὀρεινά· δῆλον ὅτι θαυμαστά. Παραβάλλουσι δὲ ἐνταῦθα τὰ ἑαυτῶν παιδικὰ τούτοις λίαν αἰσχρῶς. 98. Πεξῶ] πέκω τὸ Κείρω, ὅθεν ὁ πόκος· Πελλὰν

Τὰν οἶν τὰν πελλὰν, Κρατίδᾳ δωρήσομαι αὐτός.

ΚΟΜΑΤΑΣ.

Σίττ' ἀπὸ τᾶς κοτίνω ταὶ μηκάδες· ὧδε νέμεσθε,
Ως τὸ κάταντες τοῦτον γεώλοφον, ᾇτε μυρῖκαι.

ΛΑΚΩΝ.

Οὐκ ἀπὸ τᾶς δρυὸς οὗτος ὁ Κώναρος, ἅ τε Κυναίθα,
Τουτεὶ βοσκήσεῖσθε ποτ' ἀνατολὰς, ὡς ὁ Φάλαρος;

ΚΑΜΑΤΑΣ.

Ἐντὶ δέ μοι γαυλὸς κυπαρίσσινος, ἐντὶ δὲ κρητὴρ,
Ἔργον Πραξιτέλευς· τᾷ παιδὶ δὲ ταῦτα φυλάσσω.

ΛΑΚΩΝ.

Χ' ἀμῖν ἐντὶ κύων φιλοποίμνιος, ὃς λύκος ἄγχει.
Ὤν τῷ παιδὶ δίδωμι, τὰ θηρία πάντα διώκεν.

ΚΟΜΑΤΑΣ.

Ἀκρίδες, αἳ τὸν φραγμὸν ὑπερπηδῆτε τὸν ἀμὸν,
Μή μευ λωβάσησθε τὰς ἀμπέλος· ἐντὶ γὰρ ἆβαι.

ΛΑΚΩΝ.

Τοὶ τέττιγες, ὁρῆτε, τὸν αἰπόλον ὡς ἐρεθίσδω·
Οὕτω κ' ὔμμες θὴν ἐρεθίσδετε τὼς καλαμευτάς.

---

δὲ τὴν μέλαιναν λέγει. 100. Σίττα.] ἐνταῦθα διασκεδασθέντων αὐτοῖς τῶν ποιμνίων, διακόπτουσι τὴν ᾠδήν. 101. Ὡς... ᾇτε.] μετέβαλον οὕτω ἐκ τῆς ἀρχαίας, ἵν' ᾖ τὸ αὐτὸ τῷ ἐν τῷ πρώτῳ Εἰδυλλίῳ στίχ. 13.—105. Πραξιτέλους] περίφημος οὗτος ἀγαλματοποιὸς Ἀθηναῖος, ἢ ὡς ἄλλοι ἐκ Πάρου. 106. Λύκος] κατὰ ἀφαίρεσιν τοῦ υ. ὡς καὶ τὸ, Ἀμπέλος ἑξῆς. 109. Ἆβαι.] Ἧβαι· Τετραχῶς, φησὶν, ὁ σχολιαστὴς γράφεται ἐν τοῖς παρ' ἡμῖν

δωρήσομαι πρὸς χλαῖναν μαλακὴν τὸν πόκον τῷ Κρατίδᾳ·

ΚΟΜΑΤΑΣ.

Σίττα αἱ αἶγες ἀπὸ τῆς κοτίνου· ἴτε πρὸς τὸ κάταντες, ἔνθα ἐν τῷ γεωλόφῳ εἰσὶ μυρικῶν πολύ τι χρῆμα.

ΛΑΚΩΝ.

Ψίττα ὁ Κώναρος καὶ ἡ Κυναίθα, οὐκ ἀπὸ τῆς δρυὸς τραπόμενοι πρὸς ἕω, βουσκήσεσθε αὐτοῦ σὺν τῷ Φαλάρῳ;

ΚΟΜΑΤΑΣ.

Ἔστι μέν μοι κισσύβιον ἐκ κυπαρίσσου, ἔστι δέ μοι καὶ κρατὴρ τῆς τοῦ Πραξιτέλους χειρός, οἷον θαυμάσαι· ἀλλὰ ταῦτα φυλάσσω τῇ παρθένῳ.

ΛΑΚΩΝ.

Ἔστι δὲ κᾀμοὶ κύων, εὐνοϊκῶς ἔχων πρὸς τὴν ποίμνην, οἷος τοὺς λύκους ἄγχειν· ὃν δώσω τῷ παιδὶ πρὸς τὸ διώκειν τὰ θηρία.

ΚΟΜΑΤΑΣ.

Ἀκρίδες, αἱ τὸν ἐμὸν φραγμὸν ὑπερπηδῶσαι, ὁρᾶθ᾽ ὅπως μή μοι βλάψητε τὰς ἀμπέλους· νῦν γάρ εἰσιν ἐν ἥβῃ.

ΛΑΚΩΝ.

Ὦ τέττιγες ὑμεῖς, ὥσπερ ὁρᾶτέ με ἐρεθίζοντα αἰπόλον τοῦτον, οὕτω χ᾽ ὑμεῖς μὴ παύεσθε ἐπισπεύδοντες τοὺς θεριστὰς ἐπὶ τὰ ἔργα.

---

ἀντιγράφοις· οἷον Ἆβαι ἀντὶ τοῦ Ἡβῶσαι καὶ ἀκμάζουσαι· καὶ Αὖαι, οἷον ξηραί· καὶ Ἄζαι· ἐν γὰρ τοῖς ἀγγείοις εἴτι καταλειφθείη, τοῦτο ξηρανθὲν, ἐξάλλεται· ἣ Ἄζα τοῦτο καλεῖται· γράφεται δὲ ἔτι καί, Ἐντὶ γὰρ αὗται,

ΚΟΜΑΤΑΣ.

Μισέω τὰς δασυκέρκος ἀλώπεκας, αἵ τὰ Μίκωνος
Αἰεὶ φοιτῶσαι τὰ ποθέσπερα ῥαγίζοντι.

ΛΑΚΩΝ.

Καὶ γὰρ ἐγὼ μισέω τὼς κανθάρος, οἵ, τὰ Φιλώνδα
Σῦκα κατατρώγοντες, ὑπηνέμιοι ποτέονται.

ΚΟΜΑΤΑΣ.

Ἦ οὐ μέμνασ', ὅτ' ἐγών τυ κατήλασα, καὶ τὺ σεσαρὼς
Εὖ ποτεκιγκλίσδευ, καὶ τᾶς δρυὸς εἴχεο τήνας;

ΛΑΚΩΝ.

Τοῦτο μὲν οὐ μέμναμ'· ὄκα μάν ποκα τᾶδέ τυ δάσας
Εὐμάρας ἐκάθηρε, καλῶς μάλα τοῦτό γ' ἴσαμι.

ΚΟΜΑΤΑΣ.

Ἤδη τις, Μόρσων, πικραίνεται· οὐχὶ παρῄσθευ;
Σκίλλας ἰὼν γραίας ἀπὸ σάματος αὐτίκα τίλλοις.

ΛΑΚΩΝ.

Κἠγὼ μὲν κνίσδω, Μόρσων, τινά· καὶ τὺ δὲ λεύσσεις.
Ἐνθὼν τὰν κυκλάμινον ὀρυσσέ νυν ἐς τὸν Ἄλεντα.

ΚΟΜΑΤΑΣ.

Ἱμέρα ἀνθ' ὕδατος ῥεῖτω γάλα, καὶ τὺ δὲ, Κρᾶθι,

---

ἀντὶ τοῦ Μόναι. 116. Κατήλασα ] καιρὸς ἀντὶ τοῦ ἐξηγήσασθαι ταῦτα, εἰπεῖν ἄμεινον πρὸς τοὺς νέους, ὅσοι τὸν ποιητὴν μετέρχονται τοῦτον, εἰς μνήμην λαβεῖν, ὧν ὁ μέγας Βασίλειος διδάσκει αὐτοὺς, ὅπως δεῖ, καὶ ὧν δεῖ ἀκούειν τῶν ποιημάτων· καὶ ἃ δεῖ μιμήσασθαι· καὶ τὸ τοῦ Θεολόγου,

ΚΟΜΑΤΑΣ.

Μισῶ τῶν ἀλωπέκων ὡς μάλιστα τὰς δασυκέρκους, αἵ πρὸς τὸ ἑσπέρας ἐπὶ τὰ Μήκωνος ἕρπουσαι, ἀναλέγουσι τὰς ῥάγας.

ΛΑΚΩΝ.

Ἐγὼ δὲ μισῶ τοὺς κανθάρους, οἵ τὰ Φιλώνδου κατατρώγοντες σῦκα, ἀφίπτανται εἰς τὸν αἰθέρα.

ΚΟΜΑΤΑΣ.

Μῶν οὐ μέμνησ' ὅλως ὁτότ' ἐχρησάμην σοι· σὺ δὲ σεσηρὼς, περιέσειες τὴν πυγὴν, τῆς δρυὸς ἐχόμενος ἐκείνης ;

ΛΑΚΩΝ.

Τοῦτο μὲν οὐκ οἶδα ὅλως· ἐκεῖνο δ' ἐναργῶς ἐπίσταμαι, ὅτι Εὐμάρας ποτὲ δήσας, ἐμάστιξέ σε σφόδρα.

ΚΟΜΑΤΑΣ.

Σὺ δ', ὦ βέλτιστε Μόρσων, ὁρᾷς δήπου, ὅπως δάκνεταί τις· ἢ οὔπω ᾔσθου; σὺ δ' ἰὼν ἐπὶ τὸ μνημεῖον, τίλλε τὰς παλαιὰς τῶν σκιλλῶν.

ΛΑΚΩΝ.

Ὁρᾷς, ὦ Μόρσων, ὅπως κἀγώ τινα περικνίζω; ἐλθὼν οὖν καὶ αὐτὸς παρὰ τὸν Ἄλαντα, ἀνόρυττε αὐτοῦ τὴν κυκλάμινον.

ΚΟΜΑΤΑΣ.

Ἡ Ἱμέρα ἀνθ' ὕδατος ῥείτω γάλα· Ὁ δὲ Κρᾶθις πορφυ-

---

Κηρῷ τὰ ὦτα φράσαι πρὸς φαύλους λόγους. 124. Ἱμέρα] πόλις ἐν Σικελίᾳ, καὶ ποταμὸς ὁμώνυμος παρ' αὐτῇ· ὁμοίως καὶ ὁ Κρᾶθις περὶ τὴν Σύ-

Οἴνῳ πορφύροις, τὰ δέ τοι σία καρπὸν ἐνείκαι.

ΛΑΚΩΝ.

Ῥείτω χ' ἁ Συβαρῖτις ἐμὶν μέλι· καὶ τὸ ποτ' ὄρθρον
Ἁ παῖς ἀνθ' ὕδατος τᾷ κάλπιδι κηρία βάψαι.

ΚΟΜΑΤΑΣ.

Ταὶ μὲν ἐμαὶ κύτισόν τε καὶ αἴγιλον αἶγες ἔδοντι,
Καὶ σχῖνον πατέοντι, καὶ ἐν κομάροισι κέχυνται

ΛΑΚΩΝ

Ταῖσι δ' ἐμαῖς οἴεσσι πάρεστι μὲν ἁ μελίτεια
Φέρβεσθαι, πολλὸς δὲ καὶ ὡς ῥοδόκισσος ἐπανθεῖ.

ΚΟΜΑΤΑΣ

Οὐκ ἔραμ' Ἀλκίππας, ὅτι με πρὰν οὐκ ἐφίλασε,
Τῶν ὤτων καθελοῖσ', ὅκα οἱ τὰν φάσσαν ἔδωκα.

ΛΑΚΩΝ.

Ἀλλ' ἐγὼ Εὐμήδευς ἔραμαι μέγα· καὶ γὰρ ὅκ' αὐτῷ
Τὰν σύριγγ' ὤρεξα καλόν τί με κάρτ' ἐφίλασεν.

ΝΟΜΑΤΑΣ.

Οὐ θεμιτὸν, Λάκων, ποτ' ἀηδόνα κίσσας ἐρίσδεν,
Οὐδ' ἔποπας κύκνοισι· τὺ δ', ὦ τάλαν, ἐσσὶ φιλεχθὴς

---

βαριν. 125. Πορφύροις] πυρφυροῦν οἶνον ῥέοις· τὰ δὲ Σία βοτάνη τις ἂν εἴη ἄκαρπος ἐν τοῖς ἕλεσι φυομένη· περὶ ἧς καὶ Ὅμηρος Ὀδ. Ε'. στίχ. 72.

» Ἀμφὶ δὲ λειμῶνες μαλακοὶ ΪΟΥ ἠδὲ σελήνου
» Θήλεον.

Τὸ γὰρ Ἴου ἐνταῦθα Σίου γράφειν τινὲς παραινοῦσι.—Ἐνείκαι] ἐνέγκαι. Ἐνείκω, ἐνέγκω. 126. Συβαρῖτις] πηγὴ πλησίον τῆς πόλεως Συβάρεως ἐν Ἰταλίᾳ, τῆς ὑπὸ τῶν Κροτωνιατῶν καταδαφισθείσης, καὶ μετὰ ταῦτα ἀνασα-

ρούσθω εἰς οἶνον· τὰ δὲ σία καρπούτω παραδόξως.

ΛΑΚΩΝ.

Ῥείτω δὲ χ᾽ ἡμῖν ἡ Σύβαρις μέλι· ἔνθ᾽ ἡ παῖς τὸ περίορθρον ἀνθ᾽ ὕδατος κηρίων πληρώσει τὴν ὑδρείαν.

ΚΟΜΑΤΑΣ.

Αἱ μὲν αἶγες αἱ ἐμαὶ κύτισον μὲν καὶ αἴγιλον τρώγουσι, σχῖνον δὲ πατοῦσι, καὶ ἐν κομάροις ἄσμεναι ἀνεῖνται.

ΛΑΚΩΝ·

Ταῖς δ᾽ ἐμαῖς αὖ ἔξεστιν οἴεσι τρέφεσθαι μελιτείᾳ, ἐν ᾗ καὶ ῥοδόκισσος πολὺς ὑπεμφαίνεται.

ΚΟΜΑΤΑΣ.

Οὐκέτ᾽ ἂν ἐρῴμην Ἀλκίππης· ὁπότε γὰρ πρῴην δέδωκ᾽ αὐτῇ τὴν φάσσαν, οὐ κατεφίλησέ με, σπασαμένη με τῶν ὤτων.

ΛΑΚΩΝ

Ἐγὼ δὲ τοὐναντίον οὐκ ἂν δυναίμην μὴ ἐρᾷν τοῦ Εὐμήδους· ἡνίκα γὰρ δέδωκα οἱ τὴν σύριγγα, ἥδιστόν μοι ἀνταπέδωκε φίλημα.

ΚΟΜΑΤΑΣ.

Οὐκ ἔστιν, ὦ Λάκων, κίσσαις περὶ μουσικῆς ἁμιλλᾶσθαι πρὸς ἀηδόνας, οὐδ᾽ ἔποψι πρὸς κύκνους· σὺ δ᾽, ὦ τάλαν, λίαν εἶ κατωφερὴς πρὸς ἔχθαν.

---

θείσης καὶ ὀνομασθείσης Θούριον. 127. Τῇ κάλπιδι κηρία βάψαι.] ἀντιπτωτικῶς ταῦτα ἀντὶ τοῦ, τὴν κάλπιν (τὴν ὑδρείαν) ἐν τοῖς κηρίοις βάψαι· ὅ ἐστι βαπτίσαι. 134. Εὐμήδους] τὸ κύριον τοῦτο τοῦ ἐρωμένου ὄνομα,

ΜΟΡΣΩΝ.

Παύσασθαι κέλομαι τὸν ποιμένα· τὶν δὲ, Κομάτα,
Δωρεῖται Μόρσων τὰν ἀμνίδα· καὶ τὺ δὲ, θύσας
Ταῖς Νύμφαις, Μόρσωνι καλὸν κρέας αὐτίκα πέμψον.

ΚΟΜΑΤΑΣ.

Πεμψῶ, ναὶ τὸν Πᾶνα· φριμάσσεο πᾶσα τραγίσκων
Νῦν ἀγέλα· κἠγὼν γὰρ ἴδ' ὡς μέγα τοῦτο καχαξῶ
Καττῶ Λάκωνος τῶ ποιμένος, ὅττι ποκ' ἤδη
Ἀνυσάμαν τὰν ἀμνόν· ἐς οὐρανὸν ὔμμιν ἁλεῦμαι.
Αἶγες ἐμαὶ θαρσεῖτε κερουχίδες· αὔριον ὔμμε
Πάσας ἐγὼ λουσῶ Συβαρίτιδος ἔνδοθι κράνας.
Οὗτος ὁ λευκίτας ὁ κορύττιλος, εἴ τιν' ὀχευσεῖς
Τᾶν αἰγᾶν, φλασῶ τυ, πρὶν ἢ γέ με καλλιερῆσαι
Ταῖς Νύμφαις τὰν ἀμνόν· ὁ δ' αὖ πάλιν· ἀλλὰ γενοίμαν,
Αἰ μή τυ φλάσαιμι, Μελάνθιος ἀντὶ Κομάτα.

---

τὸ δὲ Κρατίδας πρὸς πατρὸς δοκεῖ μᾶλλον λέγεσθαι. 138. Παύσασθαι τὸν ποιμένα] τὸν Λάκωνα· ἐνταῦθα γὰρ ἔκλινεν ὁ Μόρσων τὸ τῆς νίκης τάλαντον ἐπὶ τὸν Κομάταν. 142. Καχεξῶ] καγχάσω, καταγελάσω. 143. Κατῶ] κατὰ τοῦ. 144. Ἀνυσάμην] ἀνύσας τὸ στάδιον, ἢ τὸν ἀγῶνα, ἔλαβον τὸ ἀριστεῖον. 148. Φλασῶ] βλάψωσε, ἐκτεμῶ σοι τὰ αἰδοῖα. 149. Ὁ δ' αὖ πάλιν] τοῦτο ποιεῖ δηλονότι, ὃ ἐγὼ αὐτὸν ἀπαγορεύω· ἔοικε γὰρ ὁ τράγος ἐν τῷ ὀχεύειν εἶναι. 150. Μελάνθιος] ἐναντίος οὗτος ἦν τοῖς περὶ τὸν Ὀδυσ-

ΜΟΡΣΩΝ.

Ὁ μὲν Ποιμὴν παυέσθω ἤδη, μηκέτι μηδὲν ἐπᾴδων· Σὺ δ᾽, ὦ Κομάτα, ἀριστεύσας, ἀπόλαβε τὴν ἀμνάδα· ἀλλὰ μέμνησο σύγε, ἐπειδὰν τάχιστα θύσῃς ταῖς Νύμφαις ταύτην, πέμψαι τι τῶν κρεῶν καὶ τῷ Μόρσωνι.

ΚΟΜΑΤΑΣ.

Πέμψω νὴ τὸν Πάνα· Νῦν δὲ σύμπας ὁ τῶν τράγων σκιρτάτω χορὸς ἐπὶ τῇ νίκῃ· ἐγὼ δ᾽ ὡς πλατὺν τοῦ Λάκωνος καταγελάσω τούτου, ἐφ᾽ οἷς περιγενόμενος αὐτοῦ, ἀπέλαβον παρ᾽ ἐκείνου τὴν ἀμνάδα, καὶ πρὸς τὸν αἰθέρα σὺν ὑμῖν ἀναπηδήσω· Θαρσεῖτε τοίνυν ὑμεῖς, ὦ αἶγες κερασφόροι· αὔριον δὲ λούσω ὑμᾶς ἁπάσας ἐν ταῖς τῆς Συβαρίτιδος κρήναις· Σύ δ᾽ αὖ ὁ λευκίτας ὁ κιρύσσων τοὺς πλησίον· ὅρα ὅπως, πρίν με ταῖς Νύμφαις θῦσαι, μὴ ὀχεύσῃς μηδεμίαν· εἰ δὲ μὴ, ἐκτεμῶσε· ὁ δὲ οὐκ ἀκούει, ἀλλ᾽ ἤδη ἐπιχειρεῖ· ἀλλ᾽ ἀντὶ Κομάτου Μελάνθιος γενοίμην, εἰμὴ λαβών σε, ἐκτεμῶ ὥσπερ ἐκεῖνον.

---

σέα· Ὅθεν ἀπέτισε., ἃ κατέφαγε γίγαρτα· Ὀδ. Χ΄. στίχ. 474.

» Ἐκ δὲ Μελάνθιον ἦγον ἀνὰ πρόθυρόν τε καὶ αὐλὴν
» Τοῦδ᾽ ἀπὸ μὲν ῥίνας τε καὶ οὔατα νηλέϊ χαλκῷ
» Τάμνον· μηδεάτ᾽ ἐξέρυσαν, κυσὶν ὠμὰ δάσασθαι.
» Χεῖράς τ᾽, ἠδὲ πόδας κόπτον κεκοτηότι θυμῷ.

## ΥΠΟΘΕΣΙΣ

Επιγραφεται μὲν τὸ Εἰδύλλιον Βουκολιασαί. Δαμοίτας δὲ καὶ Δάφνις ὁ βουκόλος θέρους ὄντος μεσημβρίας εἰς ἓν τα θρέμματα συνελαύνουσι, καὶ ἀμοιβαίως τὸν Πολυφήμου τοῦ Κύκλωπος πρὸς Γαλάτειαν ἔρωτα ἀμφότεροι ᾄδουσι. Καὶ ὁ μὲν Δάφνις προσδιαλέγεται τῷ Κύκλωπι, ἀποκρινόμενος δῆθεν ὡς ἐκ προσώπου τοῦ Πολυφήμου. Τὰ πράγματα δὲ εἰσὶν ἐν Σικελίᾳ. Ὁ δὲ λόγος ἐκ τοῦ ποιητι-.

# ΒΟΥΚΟΛΙΑΣΤΑΙ.

## ΕΙΔΥΛΛΙΟΝ ϛ΄.

### ΔΑΜΟΙΤΑΣ ΚΑΙ ΔΑΦΝΙΣ.

Δαμοιτας καὶ Δάφνις ὁ βωκόλος εἰς ἕνα χῶρον
Τὰν ἀγέλαν ποκ᾽, Ἄρατε, συνάγαγον· ἦς δ᾽ ὁ μὲν αὐτῶν
Πυῤῥὸς, ὁ δ᾽ ἡμιγένειος· ἐπὶ κράναν δέ τιν᾽ ἄμφω

2. Ἄρατος] Ἕλλην οὗτος ἦν ἐκ τῶν Σόλων τῆς Κιλικίας σύγχρονος Θεοκρίτῳ περὶ τὸ διακοσιοστὸν ἑβδομικοστὸν πρὸ Χριστοῦ γεννηθείς· ἔγραψε δὲ ἀστρονομικὰ βιβλία δύο ἐν ποιήσει· Πρὸς τοῦτον οὖν ἐνταῦθα ὁ ποιητὴς

κοῦ προσώπου πρὸς τὸν Ἄρατον, οὗ μέμνηται καὶ ἐν Θαλυσίοις, καὶ ἀλλαχοῦ δύναται δὲ οὗτος εἶναι ὁ τῶν Φαινομένων ποιητής. Οὖρις φησὶν διὰ τὴν τῶν θρεμμάτων πολυπληθίαν καὶ τοῦ γάλακτος ἱδρύσασθαι ἱερὸν ἐν Αἴτνῃ τῇ Γαλατείᾳ· Φιλόξενον δὲ τὸν Κυθήριον ἐπιδημήσαντα, καὶ μὴ δυνάμενον ἐπινοῆσαι τὴν αἰτίαν, ἀναπλάσαι, ὅτι Πολύφημος ἤρα Γαλατείας.

# ΒΟΥΚΟΛΙΑΣΤΑΙ.

## ΕΙΔΥΛΛΙΟΝ ϛ΄.

### ΔΑΜΟΙΤΑΣ ΚΑΙ ΔΑΦΝΙΣ.

ΔΑΜΟΙΤΗΣ καὶ Δάφνις, ὦ Ἄρατε, ὁ βουκόλος, ὧν ὁ μὲν ἔπρεπε ξανθῇ χνοάζων τριχὶ, ὁδ' οὔπω τὸ γένειον τέλειον ἐκφὺς, εἰς ἓν οὗτοι συναγαγόντες τὰς ποίμνας, κἀπὶ

διηγεῖται τὰ τοῦ Πολυφήμου.—Ἦς] ἦν Πυῤῥός· ὁ τὸ πρῶτον χρῶμα τοῦ γενείου τῆς ἥβης ἔχων· ὅ ἐστιν, ἦν δ' αὐτῶν ὁ μὲν τέλειον ἐκφὺς γένειον,

Ἑσδόμενοι θέρεος μέσῳ ἄματι τοιάδ᾽ ἄειδον.
Πρᾶτος δ᾽ ἄρξατο Δάφνις, ἐπεὶ καὶ πρᾶτος ἔρισδεν.

ΔΑΦΝΙΣ.

Βάλλει τοι, Πολύφαμε, τὸ ποίμνιον ἁ Γαλάτεια
Μάλοισιν, δυσέρωτα τὸν αἰπόλον ἄνδρα καλεῦσα·
Καὶ τύ νιν οὐ ποθόρησθα τάλαν, τάλαν, ἀλλὰ κάθησαι
Ἁδέα συρίσδων. πάλιν ἅδ᾽, ἴδε, τὰν κύνα βάλλει,
Ἅ τοι τᾶν οἴων ἕπεται σκοπός· ἁ δὲ βαΰσδει,
Εἰς ἅλα δερκομένα· τὰ δέ νιν καλὰ κύματα φαίνει,
Ἅσυχα καχλάζοντος ἐπ᾽ αἰγιαλοῖο θέοισαν.
Φράζεο, μὴ τᾶς παιδὸς ἐπὶ κνάμαισιν ὀρούσῃ,
Ἐξ ἁλὸς ἐρχομένας, κατὰ δὲ χρόα καλὸν ἀμύξῃ·
Ἁ δὲ καὶ αὐτόθε τοι διαθρύπτεται, ὡς ἀπ᾽ ἀκάνθας
Ταὶ καπυραὶ χαῖται, τὸ καλὸν θέρος ἁνίκα φρύττει·
Καὶ φεύγει φιλέοντα, καὶ οὐ φιλέοντα διώκει.
Καὶ τὸν ἀπὸ γραμμᾶς κινεῖ λίθον· ἦ γὰρ ἔρωτι

---

ὁ δὲ ἡμιτελές ἔτι. 5. Ἔρισδεν] διεφιλονείκει περὶ μουσικῆς· ἢ ὅτι καὶ πρῶτος ἔλαχεν ἐπιδείξασθαι. 6. Πολύφαμε] οὗτός ἐστιν ὁ παρ᾽ Ὁμήρῳ πολύφημος Κύκλωψ, ὃς ἐρασθεὶς Γαλατείας μιᾶς τῶν Νηρέως θυγατέρων, κατ᾽ ἀρχὰς μὲν ἀγαπῶν οὐκ ἀπήλαυεν· ὑστέρῳ δὲ χρόνῳ ἀγαπῶσαν ἐμίσει. 8. Ποθόρησθα.] ὡς παρὰ τὸ Τιθῶ τίθημι, τίθης, τίθησι· οὕτω παρὰ τὸ Ὁρῶ Ὅρημι, ὅρης, ὅρησι· τὸ δὲ Θα περιττεύει ὡς καὶ ἐν τοῖς, οἶσθα, ἦσθα, οἴδασθα. 10. Ἁ δὲ] ἡ δὲ κύων, ὁρῶσα πρὸς τὴν θάλασσαν, ὑλακτεῖ, οἱονεὶ ὁρῶσά τινα· ἧς τὴν εἰκόνα τὰ κύματα ἐμφαίνουσιν οἷον βαδίζουσαν ἐπὶ τοῦ αἰγιαλοῦ. 15. Διαθρύπτεται αὐτόθεν] φύσει ἀκκίζεται, πολλαῖς ταῖς τοῦ σώματος ἀνακλάσεσι χρῆται, νῦν μὲν πιθανή τις καὶ ἐπαγωγὸς γιγνομένη, νῦν δ᾽ ἀποστρεφομένη, καθάπερ τὰ κουφότατα τῶν ἀνθέων ἄστατα τῇ τῶν

κρήνης καθήμενοι ἐν σταθερᾷ μεσημβρίᾳ, εἶδον τοιαῦτα· Δάφνις δὲ προανεβάλετο, ὡς πρῶτος αὐτὸς ἀρξάμενος ἀγωνίζεσθαι.

ΔΑΦΝΙΣ.

Οὐχ ὁρᾷς, ὦ Πολύφημε, ὅπως ἡ Γαλάτεια μῆλα πρὸς τὸ σὸν βάλλει ποίμνιον, δυσέρωτ' ἄνδρα σὲ τὸν Ποιμένα ἀποκαλοῦσα; σὺ δ', ὦ τάλαν, οὐδὲ προσβλέπειν αὐτῇ ἀξιοῖς· ἀλλ' ὧδε καθήμενος, ἡδέως ἐνδιατρίβεις τῇ σύριγγι· οὕτως ἄθλιος εἶ· ἡ δὲ, ὅρα, ὅπως αὖ πάλιν κἀπὶ τὴν κύνα βάλλει τὴν τὰς αἶγας φυλάττουσαν· ἡ δὲ καὶ αὐτῇ, πρὸς τὴν θάλασσαν ἀφορῶσα, ὑλακτεῖ· τὰ δὲ κύματα καὶ αὐτὰ, προσπτυσσόμενα ἄλλ' ἐπ' ἄλλοις τὴν χέρσον, ἐμφαίνουσιν, ὥσπερ ἐν κατόπτρῳ, ἐπὶ τῶν ἀφρῶν τὴν παῖδα ἠρέμα πρὸς τὴν χέρσον βαδίζουσαν· Ὅρα οὖν, μὴ ἡ κύων, ἐπιπεσοῦσα αὐτῇ ἐξιούσῃ, τὴν τῆς Νύμφης καλὴν διαῤῥήξῃ πέζαν· ἡ δὲ καὶ αὐτὴ ἐκεῖθεν αὖθις διαθρυπτομένη, καθάπερ πάππος αὖος πνευμάτων πνοῇ ἐν σταθερῷ τῷ θέρει, περισείεται ἄλλοτ' ἄλλῃ πρὸς τὸν ἐραστὴν, ἐρῶντα μὲν φεύγουσα, διώκουσα δὲ

---

ἀνέμων γίνεται πνοῇ. Καπυραὶ δὲ χαῖται αἱ κορυφαὶ, ὅ ἐστι τὸ ἄνθος τῆς ἀκάνθης (ἀγρίας κινάρας, τῆς νῦν Ἀγκινάρας) ὁπότε καταξηρανθεῖεν τῷ καύματι τῷ ἡλιακῷ. Πάππους δὲ ταῦτα Πλάτων καλεῖ· ἃ ἐκριπιζόμενα ὑπὸ τῶν ἀνέμων, μετακυλίονται εἰς σφαιρίδια πανταχοῦ ἐν ταῖς γωνίαις. 18. Τὸν ἀπὸ γραμμᾶς κινεῖ λίθον] ἁπλῶς μὲν, πάντα κάλων κινεῖ, τὸ τῆς παροιμίας, πρὸς τὸ τυχεῖν, ὧν ἐπιθυμεῖ· καὶ τοῦτο μὲν ἐρῶσα· ὁπότε δὲ φιλοῦντα αὐτὸν διώκει, τότε ἐνθυμητέον τὸ, οὐ ποτὶ τὰν σπάρτον τὸν πέτρον ἄγει, ἀλλ' ἀπὸ τῆς σπάρτου· ἔστι δὲ καὶ τρίτον ἀπὸ τῆς παιδιᾶς τῶν κύβων (τοῦ Σαντρακίου) ὁπότ' ἀπονενοημένως κινοῦσι τὸν λίθον ἀπὸ τῆς

Πολλάκις ὦ Πολύφαμε, τὰ μὴ καλὰ καλὰ πέφανται·
Τῷ δ' ἔπει Δαμοίτας ἀνεβάλλετο καλὸν ἀείδεν.

ΔΑΜΟΙΤΑΣ.

Εἶδον, ναὶ τὸν Πᾶνα, τὸ ποίμνιον ἀνίκ' ἔβαλλε,
Κούμ' ἔλαθ', οὐ τὸν ἐμὸν τὸν ἕνα γλυκὺν, ᾧ ποθόρημι
Ἐς τέλος· αὐτὰρ ὁ μάντις ὁ Τήλεμος, ἔχθρ' ἀγορεύων,
Ἐχθρὰ φέροιτο ποτ' οἶκον, ὅπως τεκέεσσι φυλάξῃ·
Ἀλλὰ καὶ αὐτὸς ἐγὼ κνίσδων πάλιν οὐ ποθόρημι,
Ἀλλ' ἄλλαν τινὰ φαμὶ γυναῖκ' ἔχεν· ἁ δ' ἀΐασα
Ζαλοῖ μ', ὦ Παιὰν, καὶ τάκεται· ἐκ δὲ θαλάσσας
Οἰστροῖ παπταίνοισά ποτ' ἄντρα τε καὶ ποτὶ ποίμνας.
Σῖγα δ' ὑλακτεῖν νιν καὶ τᾷ κυνί· καὶ γὰρ, ὅκ' ἤρων
Αὐτᾶς, ἐκνυζῆτο, ποτ' ἰσχία ῥύγχος ἔχοισα.
Ταῦτα δ' ἴσως ἐσορεῦσα ποιεῦντά με, πολλάκι πεμψεῖ
Ἄγγελον. αὐτὰρ ἐγὼ κλᾳξῶ θύρας, ἔστε κ' ὀμόσσῃ

---

γραμμῆς τὸν Βασιλέα καλούμενον πρὸς τὴν νίκην. 19. Τὰ μὴ καλὰ καλὰ] ὥσπερ σὺ αὐτὸς δηλονότι, αἰσχρὸς ὢν τὸ εἶδος, καλὸς δι' ἔρωτα τῇ Γαλατείᾳ φαίνῃ. 21. Εἶδον] Πολύφημος πρὸς ταῦτα διὰ Δαμοίτου ἀποκρίνεται. 23. Τήλεμος] οἰωνοσκόπος ἐν Κύκλωψι προϋμήνυσε τῷ Πολυφήμῳ, ἃ ἔμελλε πείσεσθαι παρὰ τοῦ Ὀδυσσέως· περὶ οὗ Ὅμηρος. Ὀδ. Ι. στίχ. 508.

» Ἔσκε τὶς ἐνθάδε μάντις ἀνὴρ, ἠΰς τε μέγας τε,
» Τήλεμος Εὐρυμίδης, ὃς μαντοσύνῃ ἐκέκαστο,
» Καὶ μαντευόμενος, κατεγήρα Κυκλώπεσσιν·
» Ὅς μοι ἔφη τάδε πάντα τελευτήσεσθαι ὀπίσσω,
» Χειρῶν ἐξ Ὀδυσσῆος ἁμαρτήσεσθαι ὀπωπῆς.

26. Αἴασα] ἀκούουσα· τὸ δὲ, ὦ Παιὰν, ἐπὶ θαυμασμοῦ ἐλήφθη· λαμβάνεται ἐπὶ θεῶν ἰατρῶν· πολλάκις δὲ κἀπὶ τοῦ Ἀπόλλωνος ὥς γε ἰατροῦ·

μὴ φιλοῦντα· οἶσθα γὰρ, ὦ βέλτιστε Πολύφημε, ὅτι καὶ τὰ μὴ καλὰ πολλάκις καλὰ δι' ἔρωτα τῇ ὄψει περίσταται· Ταῦτα μὲν οὗτος ᾖσεν· Δαμοίτας δ' ἐπὶ τούτῳ ἤρξαθ' οὕτω τῆς ᾠδῆς.

## ΔΑΜΟΙΤΑΣ.

Εἶδον μὲν, νὴ τὸν Πᾶνα ἐκείνην, ὁπότ' ἔβαλλε τοῖς μήλοις τὸ ποίμνιον, καὶ νὴ τὸν ἐμὸν τοῦτον γλυκὺν ὀφθαλμὸν (τούτῳ γὰρ ἔγωγ' εὔχομαι ὁρᾷν διὰ βίου· ἃ δὲ Τήλεμος ὁ μάντις κατεμαντεύσατό μου, ταῦτα χαίρων ἐκεῖνος κομισάτω οἴκαδε, τοῖς ἑαυτοῦ παισὶν ἐσόμενα χρήσιμα·) ἀλλὰ καὶ αὐτὸς ἐγὼ πάλιν οὐδ' ἂν στρέψαιμι τὸν ὀφθαλμὸν πρὸς ἐκείνην· ἄλλην δ' ἐρωμένην ἔχειν ὑποκρινόμενος, ἰσχυραῖς αὐτὴν περικνίζω αὔραις· ταῦτα γὰρ ἀκούουσα, Ἡράκλεις, ὅσον περιδάκνεται, τηκομένη ζηλοτυπίᾳ· διὸ, καθάπερ οἴστρῳ ἐλαυνομένη, ἔξεισι τῆς θαλάσσης, καὶ ζητεῖ με ἀνὰ πάντα τὰ σπήλαια καὶ τὰς ποίμνας· ἐγὼ δ' ἐρεθίζω τὴν κύν' ἀφανῶς ὑλακτεῖν ἐπ' αὐτὴν, μήδ' ἀνεῖναι· ἥτις, ὁπότ' ἐγὼ ἤρων ἐκείνης, ὑποβαλοῦσα τοῖς ἰσχίοις τὴν ῥίνα, συχνῷ ὑπέσαινεν αὐτὴν κνυζηθμῷ· Ταῦτ' οὖν με πολλάκις ὁρῶσα ποιοῦντα, τάχ' ἂν πέμψειεν ἄγγελόν τινα· ᾧ ἐγὼ ἐπιζυγώσω εὐθὺς τὰς θύρας

---

29. Σῖγα δ' ὑλακτεῖν νιν καὶ τᾷ κυνί.] ἔχει ἔλλειψιν ῥήματος. οἷον προσέταξα, ἐπέτρεψα· ἡ δὲ συνθήκη οὕτως. Ἐκέλευσα σῖγα τῇ κυνὶ ὑλακτεῖν αὐτὴν τὴν Γαλάτειαν, τοῦ Σῖγα οὕτως ἀναφερομένου οὐ πρὸς τὸ Ὑλακτεῖν, ἀλλὰ πρὸς τὸ Ἐκέλευσα. 30 Ἐκνυζῆτο] κνυζᾶσθαι τὴν κύνα ἐστὶν τὸ σαίνουσαν ὑποφωνεῖν τι εὐνοϊκὸν πρὸς τοὺς δεσπότας μεθ' ὑποκρίσεως. 32. Κλᾳξῶ] ἡ ἀρχαία γράφει, Κλᾳσῶ· γίνεται δὲ ἀπὸ τοῦ Κλείω Ἰωνικῶς κληΐζω, κληΐξω καὶ Δωρικῶς κλαΐξῶ καὶ κλᾳξῶ· αἱ δὲ νεώτεραι ἐκδόσεις ἀνυπόγραφον τοῦ-

Αὐτά μοι στορέσειν καλὰ δέμνια τᾶσδ' ἐπὶ νάσω·
Καὶ γάρ θὴν οὐδ' εἶδος ἔχω κακὸν, ὥς με λέγοντι.
Ἦ γὰρ πρὰν ἐς πόντον ἐσέβλεπον, (ἦς δὲ γαλάνα)
Καὶ καλὰ μὲν τὰ γένεια, καλὰ δ' ἐμὶν ἁ μία κώρα,
Ὡς παρ' ἐμὶν κέκριται, κατεφαίνετο· τῶν δέ τ' ὀδόντων
Λευκοτέραν αὐγὰν Παρίας ὑπέφαινε λίθοιο.
Ὡς μὴ βασκανθῶ δὲ, τρὶς εἰς ἐμὸν ἔπτυσα κόλπον.
Ταῦτα γὰρ ἁ γραία με Κοτυτταρὶς ἐξεδίδαξεν,
Ἃ πρὰν ἀμάντεσσι παρ' Ἱπποκόωντι ποτaύλει.
Τόσσ' εἰπὼν, τὸν Δάφνιν ὁ Δαμοίτας ἐφίλασε·
Χῶ μὲν τῷ σύριγγ', ὁ δὲ τῷ καλὸν αὐλὸν ἔδωκεν.
Αὔλει Δαμοίτας, σύρισδε δὲ Δάφνις ὁ βώτας·
Ὠρχεῦντ' ἐν μαλακᾷ ταὶ πόρτιες αὐτίκα ποίᾳ·
Νίκη μὰν οὐδ' ἄλλος, ἀνάσσατοι δ' ἐγένοντο.

---

τς φέρουσι. 33. Δέμνια καλὰ] κλίνην γαμικήν. 34. Καὶ γὰρ θὴν οὐδ'] ἡ συνθήκη οὕτω, καὶ γὰρ οὐδὲ θήν· ὅ ἐστι, οὐδὲ κατὰ πολὺ ἔχω εἶδος κακόν. 36. Καλὰ δέμοι ἡ μία κώρα] ἡ μία κόρη τοῦ ὀφθαλμοῦ ἔδοξέ μοι ἐμπρέπειν ἀνθρώπῳ μᾶλλον, ἢ αἱ δύο ἅμα. 38. Ὑπέφαινε] ἡ λευκότης, ἢ τοιοῦτό τι ἐννοητέον. 39. Τρὶς ἔπτυσα] τὸ ἔθος τοῦτο ἔτι καὶ νῦν ἐπικρατεῖ παρὰ γυναιξί. 40. Κοτυτταρὶς] μάγισσα αὕτη παρὰ Θεοκρίτῳ μόνον. 41. Ἀμάντεσσι] οὕτως ἔγραψα ἀντὶ τοῦ Ἀμώντεσσι· τοῖς ἀμῶσι, θερίζουσιν ὡς καὶ κατωτέρω κεῖται. Εἰδ. Ι. στίχ. 16. Ὁ δὲ Ἱπποκόων ποταμὸς ἐν Σι-

κατὰ τοῦ προσώπου μέχρις ἂν ὀμόσῃ, ἦ μὴν αὐτὴ στρώσειν μοι ἐπὶ τῆς νήσου ταύτης δέμνια καλά· καὶ γὰρ οὐδ' ἄλλως ἐγὼ πάνυ δύσμορφός εἰμι, ὥς με λέγουσιν εἶναι· πρῴην γὰρ γαλήνης τελείας οὔσης, ὑποκύψας πρὸς τὴν θάλασσαν, ὡς μὲν καλὸν τὸ γένειον, ὡς δὲ καλὴν καὶ τὴν τοῦ ὀφθαλμοῦ κόρην, ὡς ἔγωγε κρίνω, ἔδοξά μοι προσιδεῖν· ἐκ δὲ τῶν ὀδόντων αὖθις ἐναπέστιλβέ τι καὶ αὐτῆς τῆς Παρίας λίθου λευκότερον· ὥσθ' ἵνα μὴ βασκανθῶ, τρὶς ἐς τὸν ἐμὸν ἔπτυσα κόλπον, τῆς γραίας Κοτυτταρίδος τοῦτό με προεκδιδαξάσης· ἥτις πρῴην ποτὲ παρὰ τῷ Ἱπποκόωντι ηὔλει τοῖς ἀμῶσιν.

Ταῦτ' οὖν εἰπὼν ὁ Δαμοίτας, ἀναστὰς ἐφίλησε τὸν Δάφνιν, αὐλὸν σύριγγος ἀμειψάμενος πρὸς ἐκεῖνον· Ἐντεῦθεν οὖν ηὔλει μὲν ὁ Δαμοίτας, ἐσύριζε δὲ Δάφνις ὁ βουκόλος· ὠρχοῦντο δ' εὐθὺς καὶ αἱ πόρτιες ἐν λιπαρῷ λειμῶνι· ἐνίκα δ' οὐδέτερος, ἀλλ' ἀμφότεροι ἀήττητοι ἀπήλλαξαν ἀλλήλων.

---

κελίᾳ. 42. Ἐφίλησε.] σημεῖον τοῦτο, ὅτι ἴσον ἄμφω ἔσχον τοῦ ἀγῶνος· διὸ ἠμείψαντο καὶ τὰ μουσικὰ αὐτῶν ὄργανα κατὰ Διομήδην καὶ Γλαῦκον· καθ' Ὅμηρον Ἰλ. Ζʹ. 235.

» Ὃς πρὸς Τυδείδην Διομήδεα τεύχε' ἄμειβεν,
» Χρύσεα χαλκείων, ἑκατόμβοι' ἐννεαβοίων.

## ΥΠΟΘΕΣΙΣ

Επιγραφεται τὸ μὲν Εἰδύλλιον τοῦτο Θαλύσια· τὰ δὲ πράγματα ἐν Κῷ. Ἐπιδημήσας γὰρ τῇ νήσῳ ὁ Θεόκριτος, ὅτε πρὸς Πτολεμαῖον εἰς Ἀλεξάνδρειαν ἀπῄει, φίλος κατέστη Φρασιδάμῳ καὶ Ἀντιγένει Λυκωπέως υἱοῖς· καὶ κληθεὶς ὑπ' αὐτῶν εἰς ἀγρὸν ἐπὶ Θαλύσια Δήμητρος, ἄπεισι μετὰ Εὐκρίτου καὶ Ἀμύντου· ὅθεν καὶ διηγεῖται, ὡς καθ' ὁδὸν ἐντυγχάνει Λυκίδᾳ τῷ Κυδωνιάτῃ ἐκ Κρήτης, καὶ ὅπως ἀλλήλοις ὁμιλοῦντες διεξῄρχοντο τοὺς ἑαυτῶν ἔρωτας. Ἤρα δὲ ὁ μὲν Λυκίδας παιδὸς Ἀγεάνακτος Μιτυληναίου· ὁ δὲ Θεόκριτος

# ΘΑΛΥΣΙΑ,
## Η
## ΕΑΡΙΝΗ ΟΔΟΙΠΟΡΙΑ.

## ΕΙΔΥΛΛΙΟΝ Ζ'.

Ἧς χρόνος, ἀνίκ' ἐγών τε καὶ Εὔκριτος ἐς τὸν Ἅλεντα
Εἵρπομες ἐκ πόλιος· σὺν δὲ τρίτος ἄμμιν Ἀμύντας·

1. Ἅλεντα] ποταμὸς οὗτος ὁ Ἅλεις ἢ τόπος ἐν Κῷ ἐνταῦθα, ὅπου καὶ ἡ σκηνή. 2. Θαλύσια] προσυπακούεται ἱερά· Ἑορτὴ αὕτη ὑπὸ τῶν γεωργῶν τελουμένη τῇ Δήμητρι μετὰ τὴν συγκομιδὴν τῶν καρπῶν· περὶ οὗ καὶ Ὅμηρος. Ἰλ. Ι. στίχ. 533.

Μυρτοῦς. Λαμβάνει δὲ ὁ Θεόκριτος λαγωβόλον παρὰ Λυκίδου, καὶ οὕτω χωρίζονται.

## ΑΛΛΩΣ.

Ἐπιδημήσας ὁ Θεόκριτος ἐν Κῷ, ἐφιλιώθη Φρασιδάμῳ καὶ Ἀντιγένει τοῖς Λυκωπέως υἱοῖς· κληθεὶς δὲ ὑπ' αὐτῶν ἐπὶ Θαλύσια Δήμητρος, ἄπεισι μετὰ Εὐκρίτου καὶ Ἀμύντου, οὐχ' ὡς Μούνατος φησὶ, μετὰ Φρασιδάμου καὶ Ἀντιγένους τῶν καλεσάντων αὐτόν.

# ΘΑΛΥΣΙΑ.
## Η
## ΕΑΡΙΝΗ ΟΔΟΙΠΟΡΙΑ.

## ΕΙΔΥΛΛΙΟΝ Ζ'.

Ἦν ὅτ' ἐγώ τε καὶ Εὔκριτος καὶ τρίτος ὁ Ἀμύντας ἐτυγχάνομεν βαδίζοντες ἐπὶ τῆς πόλεως πρὸς τὸν Ἄλεντα· Φρα-

» Καὶ γὰρ τοῖσι κακὸν χρυσόθρονος Ἄρτεμις ὦρσεν
» Χωσαμένη, ὅ οἱ οὔτι Θαλύσια γουνῷ ἀλωῆς
» Οἰνεὺς ῥέξ'· ἄλλοι δὲ θεοὶ δαίνυντο ἑκατόμβας.

Τᾷ Δηοῖ γὰρ ἔτευχε Θαλύσια καὶ Φρασίδαμος,
Κ' Ἀντιγένης, δύο τέκνα Λυκώπεος· εἴ τί περ ἐσθλὸν
Χαῶν τῶν ἐπάνωθεν ἀπὸ Κλυτίας τε καὶ αὐτῶ
Χάλκωνος, Βούριννον ὃς ἐκ ποδὸς ἄνυε κράναν,
Εὖ γ' ἐνερεισάμενος πέτρᾳ γόνυ· ταὶ δὲ παρ' αὐτὰν
Αἴγειροι, πτελέαι τε εὔσκιον ἄλσος ἔφαινον,
Χλωροῖσιν πετάλοισι κατηρεφέες κομόωσαι.
Κοὔπω τὰν μεσάταν ὁδὸν ἄνυμες, οὐδὲ τὸ σᾶμα
Ἀμῖν τῶ Βρασίλα κατεφαίνετο· καί τιν' ὁδίταν
Ἐσθλὸν σὺν Μοίσαισι Κυδωνικὸν εὕρομες ἄνδρα,
Ὤνομα μὲν Λυκίδαν, ἦς δ' αἰπόλος· οὐδέ καὶ τίς μιν
Ἠγνοίησεν ἰδὼν, ἐπεὶ αἰπόλῳ ἔξοχ' ἐῴκει.
Ἐκ μὲν γὰρ λασίοιο δασύτριχος εἶχε τράγοιο
Κνακὸν δέρμ' ὤμοισι, νέας ταμίσοιο ποτόσδον·
Ἀμφὶ δέ οἱ στήθεσσι γέρων ἐσφίγγετο πέπλος
Ζωστῆρι πλακερῷ· ῥοικὰν δ' ἔχεν ἀγριελαίω
Δεξιτερᾷ κορύναν, καί μ' ἀτρέμας εἶπε σεσαρὼς
Ὄμματι μειδιόωντι (γέλως δὲ οἱ εἴχετο χείλευς)
Σιμιχίδα, πᾷ δὴ τὺ μεσαμέριον πόδας ἕλκεις,
Ἀνίκα δὴ καὶ σαῦρος ἐφ' αἱμασιαῖσι καθεύδει,
Οὐδ' ἐπιτυμβίδιοι κορυδαλλίδες ἠλαίνονται;

---

4. Λυκώπεος] Λυκωπεὺς πολίτης τῆς Κῶ· σχηματίζεται Αἰολικῶς, Λυκώπεος. 5. Χαῶν] χαὸν κατὰ Λάκωνας τὸ εὐγενὲς καὶ ἀρχαῖον· ὁ δὲ νοῦς ἀναφέρεται εἰς τὰ τέκνα τοῦ Λυκωπέως τῶν καταγομένων ἄνωθεν ἀπὸ τῶν Χαῶν καὶ ἀρχαίων Κλυτίας καὶ τοῦ υἱοῦ αὐτῆς Χάλκωνος, εἴτι ἀγαθὸν ἐξέφυ τούτων· ἦν δ' ὁ Χάλκων βασιλεὺς τῆς Κῶ. Βούριννα δὲ κρήνη ἦν· ὅπως δ' αὐτὸς ἐρείσας τὸ γόνυ ἐπὶ τῆς πέτρας, ἐξήγαγεν ὕδωρ ἐκ τοῦ ποδὸς,

σίδημος γὰρ καὶ Ἀντιγένης ἔτυχον Θαλύσια τῇ Δήμητρι ἄγοντες, οἱ δύω, φημὶ, παῖδες τοῦ Λυκωπέως, ὅ,τι περ ὄφελος τῶν ἄνωθεν ἀπὸ Κλυτίας καὶ Χάλκωνος· ὃς ἐρείσας σταθερῶς πρὸς πέτρᾳ τινὶ τὸ γόνυ, ἐξήγαγεν ἐκεῖθεν τὴν Βούρινναν κρήνην· αἱ δὲ παρ' αὐτῇ αἴγειροί τε καὶ πτελέαι, χλωροῖς πετάλοις περισειόμεναι, εὐσκιώτατον δάσος παρέχονται. Οὐκ ἔφθειμεν τοίνυν τὸ ἡμίοδον διανύσαντες, οὐδὲ τὸ τοῦ Βρασίλου πω ἰδόντες μνῆμα, καὶ ἐνετύχομεν ἀνδρὶ Κυδωνιεῖ, ᾧ ὄνομα Λυκίδας, φίλῳ μὲν ταῖς Μούσαις, Αἰπόλῳ δ' ἄλλως τοὐπάγγελμα, ὅσον ἦν εἰκάσαι ἐκ τῶν περὶ αὐτόν· δέρματι γὰρ ξανθῷ ἐκ τράγου δασέος, νεοπήκτου ἀπόζοντι γάλακτος, τοὺς ἑαυτοῦ ἀμφεκάλυπτεν ὤμους· περὶ δὲ τὸ στῆθος ῥακώδη χιτῶνα πλατεῖ περιέσταλτο ζωστῆρι· Ῥόπαλον οὖν ἐκ κοτίνου καμπτὸν φέρων ἐν τῇ δεξιᾷ, ἀπιδὼν πρὸς ἐμὲ σεσηρὼς καὶ βλέμματι μειδιῶντι, μόλις τῶν αὐτοῦ χειλέων ἁπτομένου τοῦ γέλωτος, Σιμιχίδα, ἔφη, ποῖ δήποτε ἐν μεσουρανήματι ἱππεύοντος τοῦ ἡλίου, ἀνύτεις οὕτως, ὁπόθ' ἡ σαῦρα καθεύδει ἐν αἱμασιαῖς, καὶ οἱ λοφωτοὶ κορυδαλοὶ οὐ περιπλανῶνται; ἢ ἐπ' εὐωχίαν ποῖ κεκλημένος

---

Θεόκριτος ἂν εἰδείη· δοκεῖ δὲ μᾶλλον ἀνδριάντα ἑαυτοῦ στῆσαι ἐπὶ γόνυ ἱστάμενον, κἀκ τοῦ ποδὸς αὐτοῦ ὕδωρ ῥέοντα. 11. Βρασίλα] οὕτω γνώμῃ καὶ ἄλλων ἔγραψα ἀντὶ τοῦ, Βρασίδα· ὃς ἦν στρατηγὸς περίδοξος τῶν Λακεδαιμόνων, ἀποθανὼν ἐν Ἀμφιπόλει. 15. Δασίοιο δασύτριχος] ἔστω τὸ Δάσιον ἐνταῦθα ἀντὶ τοῦ, Τετριμμένου. 16. Κνακὸν] κνηκὸν, χρῶμα ὑπόξανθον.—Ταμίσοιο] τάμισον, ἡ πυτία· προσφάτου πυτίας πνέον, νεοπήκτου ἀπόζον γάλακτος. 18. Πλακερῷ] πλατεῖ· γράφεται δὲ καὶ πλοκερῷ, πλεκτῷ.—Ῥοικὰν . . . κορύνην] καμπτὴν ποιμαντικὴν ῥάβδον. 20. Χείλευς] τοῦ χείλους, μόλις οὐκ ἐγέλα. 23. Ἐπιτυμβίδιοι] κορυδαλοὶ οἱ

Ἢ μετὰ δαῖτα κλητὸς ἐπείγεαι; ἤ τινος ἀστῶν
Λανὸν ἐπιθρώσκεις; ὡς τεῦ ποσὶ νισσομένοιο
Πᾶσα λίθος πταίοισα ποτ᾽ ἀρβυλίδεσσιν ἀείδει.
Τὸν δ᾽ ἐγὼ ἀμείφθην· Λυκίδα φίλε, φαντί τυ πάντες
Ἔμμεν συρίκταν μέγ᾽ ὑπείροχον ἔν τε νομεῦσιν,
Ἔν τ᾽ ἀμητήρεσσι· τὸ δὴ μάλα θυμὸν ἰαίνει
Ἀμέτερον· καί τοι, κατ᾽ ἐμὸν νόον, ἰσοφαρίσδεν
Ἔλπομαι· ἁ δ᾽ ὁδὸς ἅδε Θαλυσιάς· ἦ γὰρ ἑταῖροι
Ἀνέρες εὐπέπλῳ Δαμάτερι δαῖτα τελεῦντι,
Ὄλβω ἀπαρχόμενοι· μάλα γάρ σφισι πίονι μέτρῳ
Ἁ δαίμων εὔκριθον ἀνεπλήρωσεν ἀλωάν.
Ἀλλ᾽ ἄγε δή, (ξυνὰ γὰρ ὁδὸς, ξυνὰ δὲ καὶ ἀὼς)
Βωκολιασδώμεσθα· τάχ᾽ ὥτερος ἄλλον ὀνασεῖ.
Καὶ γὰρ ἐγὼ Μοισᾶν καπυρὸν στόμα, κἠμὲ λέγοντι
Πάντες ἀοιδὸν ἄριστον· ἐγὼ δέ τις οὐ ταχυπειθής,
Οὐ Δᾶν· οὐ γάρ πω, κατ᾽ ἐμὸν νόον, οὔτε τὸν ἐσθλὸν
Σικελίδαν νίκημι τὸν ἐκ Σάμω, οὔτε Φιλητᾶν,
Ἀείδων, βάτραχος δέ ποτ᾽ ἀκρίδας ὥς τις ἐρίσδω.
Ὣς ἐφάμαν ἐπίταδες· ὁ δ᾽ αἰπόλος, ἁδὺ γελάξας,
Τάν τοι, ἔφα, κορύναν δωρύττομαι, οὕνεκεν ἐσσὶ
Πᾶν ἐπ᾽ ἀλαθείᾳ πεπλασμένον ἐκ Διὸς ἔρνος.

---

ἔχοντες οἷον τύμβον ὑψωμένον ἐπὶ τῆς κεφαλῆς τὸν λόφον. 25. Τεῦ ποσὶ νισσομένοιο] σοῦ περιπατοῦντος οἱ λίθοι συγκρουόμενοι τοῖς ὑποδήμασιν, ἦχον ἐναρμόνιον ἀφιᾶσιν· ἔστι δὲ ἀρβυλὶς, ἢ ἀρβύλη, ὑπόδημα στερεὸν περικαλύπτον πανταχόθεν τὸν πόδα μέχρι τῶν ἀστραγάλων, ποιμέσι καὶ κυνηγοῖς ἀνῆκον. 31. Θαλυσιὰς] ἐπὶ θαλύσια ἄγουσα. 36. Βωκολιασδώμεθα] ἐν ποιητικαῖς ᾠδαῖς ἁμιλλώμεθα. — Τὸ δὲ Ἄλλον εἰλήφθω ἀντὶ τοῦ, Ἕτε-

κατεπείγῃ; ἢ ἐπὶ ληνὸν τῶν τινος ἀστῶν ἀπέρχῃ; πᾶς γὰρ λίθος, ταῖς σαῖς παρατριβόμενος ἀρβύλαις, βαδίζοντός σου, ἐναρμόνιόν τι ἀφίησι μέλος· καὶ ταῦτα μὲν ἐκεῖνος· Ἐγὼ δ' ἀποκρινάμενος πρὸς ταῦτα, οἶσθα, ἔφην, ὦ Λυκίδα, ὃ παρὰ πᾶσι λέγεται περὶ σοῦ; πάντες γάρ φασιν ἔντε ποιμέσιν, ἔντε γεωργοῖς τὰ πρῶτά σε ἐν τῷ συρίσδειν φέρειν· τοῦτο δ' ἐμέ γ' εὐφραίνει λεγόμενον· καί τοι οὐδ' ἐγὼ, ὡς ἐμαυτὸν πείθω, τὰ δεύτερ' ἂν ἔχοιμι· Ἡ οὖν ὁδὸς αὐτὴ φέρει ἡμᾶς, ἔνθα οἱ ἑταῖροί γε οὗτοι μέλλουσιν ἑστιάσειν τῇ Δήμητρι τὰ Θαλύσια, ἀπαρχόμενοι τῶν καρπῶν, ὡς εὐθηνουμένης αὐτοῖς πρὸς τῆς θεοῦ ἐφέτος τῆς ἀλωῆς ἐς τὸ κράτισον· Ὡς οὖν κοινῆς ἡμῖν οὔσης τῆς ὁδοῦ, κοινοῦ δὲ καὶ τοῦ φωτὸς, ἄγ' ἐνδειξώμεθα ἐπ' ᾠδαῖς βουκολικαῖς· οὕτω γὰρ ἂν ἀλλήλους ἀμοιβαίᾳ εὐφραίνοιμεν χάριτι· καὶ γὰρ οὐδ' ἔγωγ' τυγχάνω τις τῶν Μουσῶν πάμπαν ἀπότροφος· καί με λέγουσιν ἄριστον ᾄδειν εἶναι, καί τοι ἔγωγ' οὐκ ἂν ῥαδίως τοῖς ἐκείνων πεισθείην λόγοις· οὐδέ πω γὰρ, ὡς ἐγὼ πείθω ἐμαυτὸν, οὔτ' ἂν τὸν ἄριστον Σικελίδην τὸν Σάμιον, οὔτ' αὖ Φιλητᾶν ἐν τῷ ᾄδειν νικῴην· πῶς γὰρ ἂν, βάτραχος πρὸς τέττιγας ἐνδεικνύμενος; καὶ ταῦτα οὕτω μοι εἴρηται πάντ' ἀληθῆ· ὁ δ' Αἰπόλος γελάσας σὺν ἡδονῇ, ἕξεις, φησὶ, τὴν ῥάβδον ταύτην ἀριστεῖον τοῦ τρόπου· σὺ γὰρ εἶ ἀτεχνῶς βλάστημα ἐπὶ τῆς ἀληθείας παρὰ τοῦ Διὸς πεπλασμένον·

---

ρον. 37. Καπυρὸν οἷον θερμόν· ἐννοείσθω δέ τι ῥῆμα, οἷον τὸ ἔχω, καί τοι βεβιασμένως. 39 Οὐ Δα.] οὐ μὰ τὴν Γῆν. 40. Σικελίδαν] ποιητὴς Σάμιος ἦν οὗτος· ὁ δὲ Φιλητᾶ, Κῶος περίφημος γραμματικὸς καὶ ποιητὴς,

Ὡς μοι καὶ τέκτων μέγ' ἀπέχθεται, ὅστις ἐρευνῇ
Ἶσον ὄρευς κορυφᾷ τελέσαι δόμον Ὠρομέδοντος,
Καὶ Μοισᾶν ὄρνιχες, ὅσοι, ποτὶ Χῖον ἀοιδὸν
Ἀντία κοκκύζοντες, ἐτώσια μοχθίζοντι.
Ἀλλ' ἄγε, βωκολικᾶς ταχέως ἀρχώμεθ' ἀοιδᾶς,
Σιμιχίδα· κἠγὼ μὲν, ὄρη, φίλος, εἴ τοι ἀρέσκει
Τοῦθ' ὅ,τι πρὰν ἐν ὄρει τὸ μελύδριον ἐξεπόνασα·
Ἔσσεται Ἀγεάνακτι καλὸς πλόος ἐς Μιτυλάναν,
Χὤταν ἐφ' ἑσπερίοις ἐρίφοις νότος ὑγρὰ διώκῃ
Κύματα, κ' Ὠρίων ὅτ' ἐπ' Ὠκεανῷ πόδας ἴσχῃ,
Αἴκεν τὸν Λυκίδαν ὀπτεύμενον ἐξ Ἀφροδίτας
Ῥύσηται· θερμὸς γὰρ ἔρως αὐτῶ με καταίθει·
Χ' Ἀλκυόνος στορεσεῦντι τὰ κύματα, τάν τε θάλασσαν
Τόν τε νότον, τόν τ' εὖρον, ὃς ἔσχατα φυκία κινεῖ·
Ἀλκυόνες, γλαυκαῖς Νηρηΐσι ταίτε μάλιστα
Ὀρνίχων ἐφίλαθεν, ὅσαις τέ περ ἐξ ἁλὸς ἄγρα.
Ἀγεάνακτι πλόον διζημένῳ ἐς Μιτυλάναν
Ὥρια πάντα γένοιτο, καὶ εὔπλοον ὅρμον ἵκοιτο.
Κἠγὼ, τῆνο κατ' ἆμαρ, ἀνήθινον, ἢ ῥοδόεντα,

---

διδάσκαλος Πτολεμαίου τοῦ Φιλαδέλφου. 46. Ὠρομέδοντος] ὄρος τοῦτο, φασὶν, ἐν Κῷ ὑψηλόν· ὡς εἰ ἔλεγε, φιλῶ μένσε, ὡς μετριοφρονοῦντα, ὅσον ἂν μισήσαιμι τέκτονα, ὑπερφρονοῦντα στῆσαι οἰκοδομὴν ἴσην τῷ ὄρει Ὠρομέδοντι· ὁμοίως ἀπέχθονταί μοι καὶ αἱ ὄρνιθες τῶν Μουσῶν (ποιηταὶ δηλονότι) ὅσοι κοκκύζοντες πρὸς Χῖον ἀοιδὸν (τὸν θεῖον Ὅμηρον) μάτην πονοῦσι. 50. Σιμιχίδα] υἱὸς ἦν οὗτος Σιμίχου, ὅπερ προσποιεῖται αὐτὸς οὗτος ὁ ἡμέτερος ποιητής.—Ὄρη, φίλος] ὅρα, ὦ φίλος. 52 Ἀγεάνακτι.] Κῶος ἦν οὗτος, οὗ Λυκίδας ἑάλω τῷ ἔρωτι. Ἐντεῦθεν ἄρχεται τῆς ᾠδῆς. 53. Ἐφεσπερίοις ἐρίφοις] ἐπὶ δύσεως τῶν ἐρίφων, δύο δὲ εἰσίν· ἀστερισμὸς οὗτος, ἢ Ζώδιον

ὡς ἔγωγ' οὐκ ἂν ἀποδεξαίμην οὔτε τέκτονα, ἴσην οἰκίαν τῷ Ὠρομέδοντι οἰκοδομήσειν ὑπερτεινόμενον· οὔτ' αὖ τοὺς τῶν Μουσῶν ὄρνιθας, ὅσοι πρὸς τὸν Χῖον ἀοιδὸν ἐναντία κοκκύζοντες, ἔλαττον ἀξίασιν ἔχοντες· Ἀλλ' ἄγε σύγε, ὦ Σιμιχίδα, ἐπεί σοι τοῦτο δοκεῖ, ἀρχώμεθα Μούσης βουκολικῆς· καὶ ὅρα μοι, ὦ φίλος, εἴτι καί σε ἀρέσκει, ὃ πρῴην ποτ' ἐν τῷ ὄρει μοι ἐκπεπόνηται ᾆσμα.

Ἀγεάνακτι τῷ καλῷ εὐτυχῶς εἴη πλεῦσαι ἐς Μιτυλήνην, κἂν, δυομένων τῶν ἐρίφων, καὶ τοῦ Ὠρίωνος ἐπιβαίνοντος ἤδη τοῦ Ὠκεανοῦ, ἡνίχ' ὁ Νότος μάλιστα διεγείρει τὰ κύματα, πλέη, ἢν μόνον ἐθέλη ἀπαλλάξαι Λυκίδαν τοῦ πυρὸς τῆς Ἀφροδίτης· ὡς γὰρ θερμῷ τῷ ἔρωτι αὐτοῦ καταφλέγομαι· αἱ γὰρ Ἀλκυόνες τὰ τῆς θαλάσσης εὐθὺς καταστορέσουσι κύματα, τόν τε Νότον αὐτὸν καὶ τὸν Εὖρον, ὃς ἐκφέρει ἐπὶ τὸν αἰγιαλὸν τὰ φυκία, παραχρῆμα κατασιγάσουσιν· Ὦ βέλτισται Ἀλκυόνες, ἃς αἱ γλαυκαὶ Νηρηΐδες πάντων τῶν ὀρνίθων, ὅσαι τρέφονται ἐκ θαλάσσης, ἐφίλησαν μάλιστα, εἴη τῷ καλῷ Ἀγεάνακτι εἰς Μιτυλήνην βουλομένῳ διαπεραιωθῆναι, ἅπαντα πρὸς ὑμῶν ἐπιτήδια ὑπάρξαι· καὶ ἐς λιμένα ἵκοιτο εὔορμον· ἐκείνου δ' οὕτω περαιωθέντος, ἐγὼ στέφανον ἀνή-

---

ὁ Αἰγόκερως· ὁμοίως δὲ καὶ ὁ Ὠρίων μετὰ τὰς πλειάδας δύων καὶ οὗτος τὴν ἑώαν δύσιν. 57. Ἀλκυόνες.] Ἀλκυὼν γυνὴ τοῦ Κήκυος· ἀγαπώμεναι δὲ ὑπ' ἄλλων, ἐκαλοῦντο Ζεὺς καὶ Ἥρα· ὀργισθέντες δὲ οἱ θεοὶ μετέβαλον τὸν μὲν εἰς Λάρον, τὴν δὲ εἰς Ἀλκυόνα· ἔσχε δ' αὕτη γέρας τεσσαρακαίδεκα ἡμέρας γαλήνην τῇ θαλάσσῃ ἐν χειμῶνι γίγνεσθαι· αἱ δὲ ἡμέραι ἐλέγοντο Ἀλκυονίδες. 61. Ὥρια] πάντα ἐν καιρῷ καὶ εὐτυχῶς αὐτῷ γένοιτο. 65. Πτελεατικὸν

Ἢ καὶ λευκοΐων στέφανον περὶ κρατὶ φυλάσσων
Τὸν Πτελεατικὸν οἶνον ἀπὸ κρητῆρος ἀφυξῶ.
Πὰρ πυρὶ κεκλημένος· κύαμον δέ τις ἐν πυρὶ φρυξεῖ,
Χ' ἁ στιβὰς ἐσσεῖται πεπυκασμένα ἔστ' ἐπὶ πᾶχυν
Κνύζᾳ τ', ἀσφοδέλῳ τε, πολυγνάμπτῳ τε σελίνῳ·
Καὶ πίομαι μαλακῶς, μεμναμένος Ἀγεάνακτος,
Αὐταῖσιν κυλίκεσσι καὶ ἐς τρύγα χεῖλος ἐρείδων.
Αὐλησεῦντι δέ μοι δύο ποιμένες· εἷς μὲν, Ἀχαρνεύς·
Εἷς δὲ, Λυκωπίτας· ὁ δὲ Τίτυρος ἐγγύθεν ᾀσεῖ,
Ὥς ποκα τᾶς Ξενέας ἠράσσατο Δάφνις ὁ βώτας·
Χ' ὡς ὄρος ἀμφεπολεῖτο, καὶ δρύες αὐτὸν ἐθρήνευν·
Ἱμέρα αἵτε φύοντι παρ' ὄχθαισιν ποταμοῖο·
Εὖτε, χιὼν ὥς τις, κατετάκετο μακρὸν ὑφ' Αἷμον,
Ἢ Ἄθω, Ῥοδόπαν, ἢ Καύκασον ἐσχατόεντα.
Ἀσεῖ δ', ὥς ποκ' ἔδεκτο τὸν αἰπόλον εὐρέα λάρναξ
Ζωὸν ἐόντα, κακῇσιν ἀτασθαλίῃσιν ἄνακτος·
Ὥς τέ νιν αἱ σιμαὶ λειμωνόθε φέρβον, ἰοῖσαι
Κέδρον ἐς ἁδεῖαν μαλακοῖς ἄνθεσσι μέλισσαι,
Οὕνεκα οἱ γλυκὺ Μοῖσα κατὰ στόματος χέε νέκταρ.
Ὦ μακαριστὲ Κομάτα, τὸ θὴν τάδε τερπνὰ πεπόνθης,

---

οἶνον] Πτελεὸς πόλις ἐν Θεσσαλίᾳ, ἐν Ἤλιδι, ἐν τῇ Ἀσίᾳ πλησίον τῶν Ἐρυθρῶν, ἑτέρα πλησίον Καρίας· καὶ τόπος οἰνόφυτος ἐν Κῷ· πόθεν οὖν ὁ οἶνος οὗτος, ζητητέον. 66. Κύαμον φρυξῶ] φρυκτοὶ κύαμοι αἴτιοι γίνονται δίψης. 69. Μαλακῶς] μεθ' ἡδονῆς, ἐν ἡσυχίᾳ, ἢ ἐυκ. 72. Τίτυρος] ἴσως ὁ αὐτός ἐστιν τῷ ἐν τῷ Γ'. Ειδυλλίῳ. στίχ. 2. περὶ δὲ τῆς Ξενέας ἴδε κατωτέρω Εἰδ. Η'. στίχ. 93. Λέγεται κατὰ διάλεκτον Τίτυρος καὶ ὁ Σάτυρος. 75. Ἱμέρα] τοῦ Ἱμέρα ποταμοῦ ἐν Σικελίᾳ, ὁ Ἱμέρας. 76. Εὖτε] ὁπότε·

θων, ἢ ῥόδων, καὶ λευκοΐων ἀναδησάμενος, ἀρύσομαι τοῦ κρατῆρος παρὰ τῷ πυρὶ, ἔνθα κυάμων φρυσσομένων, καὶ στιβάδος κονύζῃ, ἀσφοδέλῳ τε, καὶ σελήνῳ ἑλικτῷ ἐπὶ πῆχυν ἐξογκουμένης, καθήμενος, πίομαι ἐπιεικῶς, αὐτῇ τε τῇ κύλικι μέχρι τρυγὸς προσερείδων τῷ χεῖλε, καὶ Ἀγεάνακτι αὐτῷ τῇ γε φαντασίᾳ παρακαθήμενος· αὐλήσουσι δέ μοι ποιμένες δύο, ὁ μὲν Ἀχαρνεὺς, ἕτερος δὲ Λυκωπίτας· ὁ δὲ Τίτυρος ἐγγύθεν ᾄσει τὰ κατὰ Δάφνιν τὸν βουκόλον, ὅπως τῷ τῆς Ξενέας Νύμφης ἔρωτι ἁλοὺς, περιεπόλει τὸ ὄρος, καὶ αἱ δρύες αἱ παρὰ τὸν Ἱμέραν ποταμὸν ἐκφυεῖσαι, ἐδάκρυον αὐτοῦ τὸ πάθος· ὁπότε κατετήκετο, ὥσπερ χιὼν ὑπὸ τὸν Αἷμον, ἢ τὸν Ἄθω, καὶ τὴν Ῥοδόπην, ἢ καὶ αὐτὸν τὸν ἐπέκεινα τῆς Εὐρώπης Καύκασον· Ἐπὶ δὲ τούτοις ἐπάσει μοι καὶ ὅπως χαλεποῦ καὶ δυςτρόπου δεσπότου κελεύσει καθειρχθεὶς ζωὸς ἐν εὐρείᾳ λάρνακι αἰπόλος, ἄνθεσι μαλακοῖς ἀπὸ τῶν λειμώνων ἐτρέφετο πρὸς τῶν μελισσῶν ἐφιπταμένων ἐπὶ τὰ ζύγαστρον, ἔνθα ἔκειτο· Μούσαις γὰρ πεφίλητο μάλιστα, νέκταρ τῷ αὐτοῦ στόματι ἐγχεούσαις· Ὦ μακάριε Κομάτα,

---

ἡ δὲ συ θήκη, εὖτε κατετήκετο, ὥσπερ τις χιών. Αἷμος δὲ ὄρος διαιροῦν τὴν Μοισίαν τῆς Μακεδονίας καὶ Θρᾴκης· πλησίον αὐτοῦ ἐστιν ἡ Ῥοδόπη καθήκουσα εἰς τὸν Πόντον· ὁ δὲ Καύκασος μέγα ὄρος καὶ τοῦτο ἐν τῇ Βορείῳ Ἀσίᾳ παρὰ τὸν Πόντον. 78. Λάρναξ.] Αἰπόλος τις τοῦ οἰκείου δεσπότου τὰ θρέμματα νέμων ἐν τῷ τῆς Θουρίας ὄρει ἐν Σικελίᾳ, ἔθυε συχνῶς ταῖς Μούσαις· ὁ δὲ δεσπότης αὐτοῦ, ἀποπειρώμενος, εἰ αἱ Μοῦσαι σώσειαν αὐτὸν, κατέκλεισεν ἐν Λάρνακι κεδρίνῃ· διελθόντων δὲ δύο μηνῶν, ἀνοίξας, εὗρεν αὐτὸν ζῶντα, καὶ τὴν λάρνακα πλήρη κηρίων, ἐξ ὧν ἐτρέ-

Καὶ τὺ κατεκλάσθης ἐς λάρνακα, καὶ τὺ, μελισσᾶν
Κηρία φερβόμενος, ἔτος ὥριον ἐξεπόνασας.
Αἴθ' ἐπ' ἐμεῦ ζωοῖς ἐναρίθμιος ὤφελες ἦμεν,
Ὥς τοι ἐγὼν ἐνόμευον ἀν' ὤρεα τὰς καλὰς αἶγας,
Φωνᾶς εἰσαΐων· τὺ δ' ὑπὸ δρυσὶν, ἢ ὑπὸ πεύκαις
Ἁδὺ μελισδόμενος, κατακέκλισο, θεῖε Κομάτα.
Χᾡ μὲν τόσσ' εἰπὼν, ἀπεπαύσατο· τὸν δὲ μετ' αὖθις
Κἠγὼν τοῖ' ἐφάμαν· Λυκίδα φίλε, πολλὰ μὲν ἄλλα
Νύμφαι κἠμὲ δίδαξαν ἀν' ὤρεα βωκολέοντα
Ἐσθλὰ, τά που καὶ Ζανὸς ἐπὶ θρόνον ἄγαγε φάμα.
Ἀλλὰ τόγ' ἐκ πάντων μέγ' ὑπείροχον, ᾧ τυ γεραίρεν
Ἀρξεῦμ'· ἀλλ' ὑπάκοισον, ἐπεὶ φίλος ἔπλεο Μοίσαις.
Σιμιχίδᾳ μὲν Ἔρωτες ἐπέπταρον· ἦ γὰρ ὁ δειλὸς
Τόσσον ἐρῆ Μυρτοῦς, ὅσον εἴαρος αἶγες ἔρανται.
Ὤρατος δ', ὁ τὰ πάντα φιλαίτατος ἀνέρι τήνῳ,
Παιδὸς ὑπὸ σπλάγχνοισιν ἔχει πόθον· οἶδεν Ἄριστις,
Ἐσθλὸς ἀνὴρ μέγ' ἄριστος, ὃν οὐδέ κεν αὐτὸς ᾀείδεν
Φοῖβος σὺν φόρμιγγι παρὰ τριπόδεσσι μεγαίροι,
Ὡς ἐκ παιδὸς Ἄρατος ὑπ' ὀστέον ἔθετ' ἔρωτι.

---

φετο. 84. Κατεκλάσθης] κλείω, κλείσω καὶ κλασῶ, τροπῇ τοῦ Ε εἰς Η, καὶ τοῦ Ι ὑπογεγραμμένου, καὶ τοῦ τόνου καταβιβασθέντος· ἢ ἀπὸ τοῦ Κλᾴζω ἀντὶ κληΐζω, κλείω· ὅθεν καὶ Κλᾴξ ἡ κλείς. 85. Ὥριον] εὐτυχές. Ἴδε ἀνωτέρω στίχ. 62.—92. Ὤρεα.] ὄρος, οὖρος, καὶ ὦρος.

96. Ἐπέπταρον] ἐντεῦθεν ὁ Θεόκριτος ἄρχεται τῆς ᾠδῆς. ἀπεγνωκὼς (ὅσον ἐκ τοῦ δειλός ἐστιν εἰκάσαι) τῆς αὐτοῦ ἐρωμένης Μυρτοῦς· ἐν ἀγῶνι δὲ δοκεῖ εἶναι ὑπὲρ τῶν παιδικῶν Ἀράτῳ τῷ ἑταίρῳ· ὃς ἐρῶν Φιλίνου, οὐ τυγχάνει. Ἔστι δ' οὖν Πταίρω καὶ συνειθέστερον Πτάρνυμαι, ἐξ οὗ πταρμὸς

οἵων ἐπειράθης ἡδέων, ἐν τῇ λάρνακι κατακλεισθείς· σὺ γὰρ μόνος, μελισσῶν κηρίοις σιτούμενος, ἔαρ διετέλεσας εὐτυχές· εἴθ' ὤφειλες καθ' ἡμᾶς ἐν τοῖς ζῶσι γενέσθαι, ἵνα κἀγὼ νέμων τὸ αἰπόλιον ἐν τοῖς ὄρεσι, τῆς σῆς ἡδίστης ἤκουον αὐδῆς· σὺ γὰρ ὦ θειότατε ἄνερ, ὑπὸ δρυσὶ καὶ πεύκαις κατακλινόμενος σκιαραῖς, ἐμελῴδεις· ὁ μὲν ταῦτ' ᾄσας, ἐπαύσατο.

Ἐγὼ δὲ πρὸς αὐτὸν, Λυκίδα, ἔφην, πολλὰ μὲν κἀμὲ ἐξεδίδαξαν αἱ Νύμφαι, ἀνὰ τὰ ὄρη νέμοντα τὰς αἶγας, ὧν ἡ φήμη κἀπὶ τὸν τοῦ Διὸς ἵκετο θρόνον· ὅ δ' ὑπερέχει πάντων, καὶ ᾧ βούλομαί σε μάλιστα τιμῆσαι, τοῦτο νῦν σοι ᾄσομαι· σὺ δὲ φίλος ὢν Μούσαις, εὐμενῶς ἀκούσειάς μου.

Σιμιχίδι μὲν οὐκέθ' οἱ ἔρωτες εὐνοεῖν ἀξιοῦσιν· ἐρᾷ γὰρ ὁ τάλας Μυρτοῦς οὐχ ἧττον, ἢ αἱ αἶγες τοῦ ἔαρος· Ἄρατος δ' ὁ φίλτατος αὐτῷ, ἔρωτι ἑάλω παιδὸς ἰσχυρῷ· οἶδε δὲ ταῦτ' Ἄριςις ὁ ἄριςος (ἀνὴρ δ' οὗτος, ὃν οὐδ' ἂν αὐτὸς Ἀπόλλων, εἰ ἴδοι ᾄδοντα φόρμιγγι ἐπ' αὐτοῦ τοῦ τρίποδος, μέμψαιτο) ὡς Ἄρατος τῷ τοῦ παιδὸς μέχρι τῶν ὀστέων καταφλέγεται

---

ποτὲ μὲν ἐπὶ καλοῦ, ἐνταῦθα δὲ ἐπ' ἀποτυχίας τῶν ἐφετῶν· ὡς εἰ ἔλεγεν, ἀπηρνήσαντο αὐτῷ· ἐδέχοντο δὲ οἱ παλαιοὶ τῶν πταρμὸν ὡς βεβαιωτικὸν τῶν περὶ ὧν αὐτοῖς ἦν ὁ λόγος· ὡς καὶ Ξενοφῶν ἐν τῇ νυκτὶ τῶν κινδύνων ἐκείνων, ὁπότε ἐφονεύθησαν οἱ στρατηγοί· ἀλλὰ καὶ Ὅμηρος εἰσάγων τὴν Πηνελόπην φησί. Ὀδ. Ρ'. στίχ. 445.

» Οὐχ ὁρᾷς, ὅμοι υἱὸς ἐπέπταρε πᾶσιν ἔπεσσιν;

Ἀλλὰ καὶ αὐτὸς ὁ Θεόκριτος ἐν ἄλλοις (Εἰδ. ιη'. 16.) ἐπὶ καλοῦ.

» Ὄλβιε γάμβρ' ἀγαθός τις ἐπέπταρεν ἐρχομένοιό τοι
» Ἐς Σπάρταν . . . . . . . . . . . . . . .

99 Παιδὸς;] τοῦ Φιλίνου. — Οἶδεν Ἄριστις . . . . ἔρωτι· Ὡς ἐν παι

Τόν μοι, Πὰν, Ὁμόλας ἐρατὸν πέδον ὅς τε λέλογχας,
Ἄκλητον τήνοιο φίλας ἐς χεῖρας ἐρείσαις,
Εἴτ' ἔστ' ἆρα Φιλῖνος ὁ μαλθακὸς, εἴτέ τις ἄλλος.
Κἢν μὲν ταῦθ' ἔρδοις, ὦ Πὰν φίλε, μή τι τυ παῖδες
Ἀρκαδικοὶ σκίλλαισιν ὑπὸ πλευράς τε καὶ ὤμους
Τανίκα μαστίσδοιεν, ὅτε κρέα τυτθὰ παρείη·
Εἰ δ' ἄλλως νεύσαις, κατὰ μὲν χρόα πάντ' ὀνύχεσσι
Δακνόμενος κνάσαιο, καὶ ἐν κνίδαισι καθεύδοις,
Εἴης δ' Ἠδωνῶν μὲν ἐν ὤρεσι χείματι μέσσῳ
Ἕβρον πὰρ ποταμὸν, τετραμμένος ἐγγύθεν ἄρκτου,
Ἐν δὲ θέρει πυμάτοισι παρ' Αἰθιόπεσσι νομεύοις,
Πέτρᾳ ὑπὸ Βλεμύων, ὅθεν οὐκέτι Νεῖλος ὁρατός.
Ὕμμες δ' Ὑετίδος καὶ Βυβλίδος ἁδὺ λιπόντες
Νᾶμα, καὶ οἰκεῦντες ξανθᾶς ἕδος αἰπὺ Διώνας,
Ὦ μάλοισιν Ἔρωτες ἐρευθομένοισιν ὁμοῖοι,
Βάλλετέ μοι τόξοισι τὸν ἱμερόεντα Φιλῖνον,
Βάλλετ'· ἐπεὶ τὸν ξεῖνον ὁ δύσμορος οὐκ ἐλεεῖ μευ.
Καὶ δὴ μὰν ἀπίοιο πεπαίτερος· αἱ δὲ γυναῖκες,
Αἶ, αἶ, φαντὶ, Φιλῖνε, τό τοι καλὸν ἄνθος ὑποῤῥεῖ.
Μηκέτι τοι φρουρέωμες ἐπὶ προθύροισιν, Ἄρατε,
Μηδὲ πόδας τρίβωμες· ὁ δ' ὄρθριος ἄλλον ἀλέκτωρ

---

ρενθέσει τοῦτο ἀναγνωστέον. 103. Ὁμόλας] ὄρος ἡ Ὁμόλα ὑψηλὸν πλησίον Τεμπῶν ἐν Θετταλίᾳ. 107. Σκίλλαισιν] κυνοκρομύοις. Ἑορτὴ δ' ἦν, φασὶν, ἐν Ἀρκαδίᾳ, ἐν ᾗ οἱ παῖδες ἔτυπτον τὸν Πᾶνα Σκίλλαις, ὅτε οἱ χορηγοὶ λεπτὸν ἔθυον ἱερεῖον, καὶ μὴ ἱκανὸν τοῖς ἐσθίουσιν· Ἄλλοι δέ φασι Ἀρκάδας ἐξιόντας εἰς θήραν, εἰ μὲν ἐτύγχανον εὐθηρίας, τιμᾶν τὸν Πᾶνα· εἰδὲ μὴ, σκίλλαις βάλλειν εἰς αὐτὸν, ὅτι ὄρειος ὢν, καὶ τῆς θήρας ἐπιστατῶν, οὐκ ἀφῆκεν αὐτοῖς φορὰν θηρίων. 114 Βλεμύων] Βλέμυοι ἔθνος

ἔρωτι· τοῦτον δὴ, ὦ Πὰν, ὃς τὴν ἐπέραστον εἴληχας Ὁμόλαν ἔχειν, ἄκλητον ἄρας, ταῖς ἐκείνου φίλαις κατάθου χερσὶν, εἴτε Φιλῖνός ἐστιν οὗτος ὁ καλὸς, εἴθ' ἕτερος ὅστισοῦν· καὶ εἰ μὲν ταῦτα ποιήσειας, οὐκέτ' ἄν σε, ὦ φίλτατε Πὰν, οἱ τῶν Ἀρκάδων παῖδες, ἐκλελοιπότων κρεῶν, σκίλλαις σὲ ὑπὸ τὰς πλευρὰς καὶ τοὺς ὤμους μαστίξειαν· εἰδ' ἄλλως πράξειας, εἴθε κνηθμὸς λαῦρος κατὰ πᾶν ἐπιπολάσειέ σοι τὸ δέρμα, ὑφ' οὗ ἀκαταπαύστως δακνόμενος, τοῖς ὀνύχεσιν ἐπικνήθοις, καὶ ἐν κνίδαις καθεύδοις· εἴης δὲ ὥρᾳ μὲν χειμῶνος ἐν τοῖς παρὰ τὸν Εὗρον ὄρεσι τοὺς πρὸς Ἄρκτον τετραμμένοις· θέρους δὲ ἐν ταῖς τῆς Αἰθιοπίας ἐσχατιαῖς παρὰ τὴν τῶν Βλεμύων πέτραν, ὅθεν ὁ Νεῖλος οὐκέτ' ἐστὶν ὁρατός.

Ὑμεῖς δ' αὖ οἱ ἔρωτες, οἱ ἐρυθροῖς μήλοις ὅμοιοι ὄντες, καταλιπόντες τὰ ἡδέα τῆς Ὑετίδος καὶ Βυβλίδος ῥεῖθρα, βάλλετε, βάλλετε τόξοις Φιλῖνον τὸν ἐπέραστον, ὃς τὸν ἐμὸν οὐκ ἠλέησε φίλον· ἀλλ' εἴθε καὶ αὐτοῦ τοῦ ἀπίου ἀσθενέστερος γένοιτο· αἱ δὲ γυναῖκες, αἴ, αἴ, φασὶ, Φιλῖνε, ἀποῤῥεῖ σοι τὸ κάλλος· Ὑμεῖς δ', ὦ Ἄρατε, μηκέτι τρίβωμεν τοὺς πόδας ἀναξίως παρὰ τοῖς προθύροις μάτην· ὁ δ' ἀλέκτωρ

---

τῆς Αἰθιοπίας παρὰ τὰς Θήβας τῆς Αἰγύπτου. Ἡ δὲ Ὑετὶς καὶ Βυβλὶς πηγαὶ πλησίον τῆς Μιλήτου ἐν Ἀσίᾳ· 116. Ἕδος Διώνης] τὸ ὄρος τὸ ἱερὸν τῇ Διώνῃ μητρὶ τῆς Ἀφροδίτης. 119. τὸν ξεῖνον οὐκ ἐλεεῖ μευ.] σύνταξον οὕτω οὐκ ἐλεεῖ τὸν ξένον μου Ἄρατον. 120. Πεπαίτερος] πέπων, πεπαίτερος, ἀσθενέστερος· Ὡς καὶ Ὅμηρος πολλαχῆ, ὦ πέπων, πέπονες, κάκ' ἐλέγχεα. 123. Ὄρθριος ἀλέκτωρ] ὅ ἐστιν ἀπὸ τῆς αὔριον μετὰ τὴν ἑωθινὴν ἀλεκτροφωνίαν ἐχέτω τὸν Φιλῖνον, ὅς τις βούλεται χαυνούμενος λυπεῖσθαι·

Κοκκύσδων νάρκαισιν ἀνιηραῖσι διδοίη·
Εἷς δ' ἐπὶ τᾶσδε, φέριστε, Μόλων ἄγχοιτο παλαίστρας·
Ἄμμιν δ' ἀσυχία τε μέλοι, γραῖά τε παρείη,
Ἅτις ἐπιφθύσδοισα, τὰ μὴ καλὰ νόσφιν ἐρύκοι.
  Τόσσ' ἔφαμαν· ὁ δέ μοι τὸ λαγωβόλον, ἁδὺ γελάξας,
Ὡς πάρος, ἐκ Μοισᾶν ξεινήϊον ὤπασεν ἦμες.
Χῶ μὲν, ἀποκλίνας ἐπ' ἀριστερὰ, τὰν ἐπὶ Πύξας
Εἷρφ' ὁδόν· αὐτὰρ ἐγών τε καὶ Εὔκριτος ἐς Φρασιδάμω
Στραφθέντες, χῶ καλὸς Ἀμύντιχος, ἔν τε βαθείαις
Ἁδείας σχίνοιο χαμευνίσιν ἐκλίνθημες,
Ἔν τε νεοτμάτοισι γεγαθότες οἰναρέοισι.
Πολλαὶ δ' ἄμμιν ὕπερθε κατὰ κρατὸς δονέοντο
Αἴγειροι, πτελέαι τε· τὸ δ' ἐγγύθεν ἱερὸν ὕδωρ
Νυμφᾶν ἐξ ἄντροιο κατειβόμενον κελάρυσδε.
Τοὶ δὲ ποτὶ σκιεραῖς ὀροδαμνίσιν αἰθαλίωνες
Τέττιγες λαλαγεῦντες ἔχον πόνον· ἁ δ' ὀλολυγὼν
Τηλόθεν ἐν πυκινῇσι βάτων τρύζεσκεν ἀκάνθαις,
Ἄειδον κόρυδοι καὶ ἀκανθίδες, ἔστενε τρυγών·
Πωτῶντο ξουθαὶ περὶ πίδακας ἀμφὶ μέλισσαι.
Πάντ' ὦσδεν θέρεος μάλα πίονος, ὦσδε δ' ὀπώρης.
Ὄχναι μὲν πὰρ ποσσὶ, παρὰ πλευρῇσι δὲ μᾶλα

---

127. Ἐπιφθύσδοισα] ἐπιπτύουσα· λαμβάνεται δὲ ἐπὶ μαγικῶν ἐπῳδῶν· ὡς καὶ ἀνωτέρω Εἰδ. Β'. 62. 128. Τὸ λαγωβόλον] ἴδε ἀνωτέρω Εἰδ. Α'. 49. — 130. Πύξας] Πολίχνη ἐπὶ τῆς Κῶ. 132. Ἀμύντιχος] ὁ ἐν Ἀρχῇ Ἀμύντας. 140. Ὀλολυγὼν] ἄγνωστον πτηνὸν, εἰ μή τις εἴποι τὴν τὸν Ἴτυν ὀλολύζουσαν ἀηδόνα. Κόρυδοι δὲ οἱ κορυδαλοί. Ἀκανθίδες δ' αὖ τὰ ἐν ταῖς λευκακάνθαις περιτρύζοντα ποικίλα ὀρνιθίδια. 144. Ὄχναι μὲν παρὰ ποσὶ] ἐμιμήσατο μ Ὅμηρον, ἐφικέσθαι δὲ τοῦ ὑψηλοῦ ἅμα καὶ γλα-

κοκκύζων, ἕτερον τοιαύταις ἀνιαραῖς περιπλεξάτω μαλακίαις· καὶ ὁ Μόλων ἀπαγχέσθω ταῖς περὶ ταῦτα ἀγρυπνίαις· ἡμεῖς δ' ἀτρεμοῦντες, ἀπεχώμεθα τῶν τοιούτων, ἔχοντες τὴν γραίαν, τῇ ἐς τὸν κόλπον ἀποπτύσει ἀπερύκουσαν ἡμῖν τὰ κακά· Ταῦτα κἀμοὶ εἴρηται.

Ὁ δὲ προσμειδιάσας, ὡς καὶ πρότερον, ἀπέδωκέ μοι δῶρον φιλικὸν τῆς ᾠδῆς, ὃ προὐπέσχετο ῥόπαλον, καὶ ἀποκλίνας πρὸς τὸ εὐώνυμον, ἤνυτεν τὴν ἐπὶ τὰς Πύξας· ἐγὼ δὲ σὺν Εὐκράτῳ καὶ τῷ καλῷ Ἀμύντᾳ, παρεγκλίναντες, παρεγενόμεθα εἰς τὴν τοῦ Φρασιδάμου οἰκίαν, ὅπου καθεσθέντες ἐν ἐκ σχοίνου μαλακῆς καὶ νεοδμήτων φύλλων ἀμπέλου εὐναῖς, εὐθυμοῦμεν ὑπ' αἰγείροις τε καὶ πτελέαις ἄνωθεν ἐαριζομέναις ἐπὶ κεφαλῆς· τὸ δὲ ἱερὸν αὖθις ὕδωρ ἐκ τοῦ ἐγγυτάτω καταλειβόμενον ἀπὸ τοῦ ἄντρου τῶν Νυμφῶν, ἐκελάρυζε· καὶ ἔνθεν μὲν οἱ αἰθαλίωνες τέττιγες ὑπὸ σκιαροῖς τοῖς κλάδοις ἁμιλλώμενοι, ᾠδῇ ἐτερέτιζον· ἔνθα δ' ἡ ὀλολυγὼν προσωτέρω ἐν βαθείᾳ τῶν βάτων ἀκάνθῃ ἠκούετο τρύζουσα· ἐκεῖ δ' αὖ κορυδαλίδων καὶ ἀκανθίδων μέλος τι ἐναρμόνιον περιήχει· ἄλλη δὲ κέλαδος ἦν τρυγόνων συχνῶν· καὶ περὶ τὰς κρήνας αἱ ξανθαὶ περιίπταντο μέλισσαι· καὶ πάνθ' ὡς εἰπεῖν εὐθηνοῦς θέρους ἡδέως ὦζεν· ὦζε δ' οὐχ ἧττον καὶ ὀπώρας, ὄχνων μὲν παρὰ ποσὶν ἐπικαλινδουμένων, μήλων δὲ παρὰ ταῖς πλευραῖς ἡμῶν περικεχυμένων

---

φυροῦ κάλλους ἐκείνου οὐ δεδύνηται· ἐποίησε γάρ. Ὀδ. Η'. 120.

» Ὄχνη ἐπ' ὄχνῃ γηράσκει, μῆλον δ' ἐπὶ μήλῳ,

» Αὐτὰρ ἐπὶ σταφυλῇ σαφυλὴ, σσῦκον δ' ἐπὶ σύκῳ.

Λαψιλέως ἄμμιν ἐκυλίνδετο· τοὶ δ' ἐκέχυντο
Ὄρπακες βραβύλοισι καταβρίθοντες ἔρασδε·
Τετράενες δὲ πίθων ἀπελύετο κρατὸς ἄλειφαρ.
Νύμφαι Κασταλίδες Παρνάσιον αἶπος ἔχοισαι,
Ἆρά γέ πα τοιόνδε Φόλω κατὰ λάϊνον ἄντρον
Κρητῆρ' Ἡρακλῆϊ γέρων ἐστάσατο Χείρων;
Ἆρά γέ πα τῆνον τὸν ποιμένα τὸν ποτ' Ἀνάπῳ
Τὸν κρατερὸν Πολύφαμον, ὃς ὤρεσι νᾶας ἔβαλλε,
Τοῖον νέκταρ ἔπεισε κατ' αὔλια ποσσὶ χορεῦσαι,
Οἷον δὴ τόκα πῶμα διεκρανώσατε, Νύμφαι,
Βωμῷ πὰρ Δάματρος ἁλωάδος; ἇς ἐπὶ σωρῷ
Αὖθις ἐγὼ πάξαιμι μέγα πτύον· ἁ δὲ γελάξαι,
Δράγματα καὶ Μάκωνας ἐν ἀμφοτέρῃσιν ἔχοισα.

---

146. Βραβύλοισι] βράβυλα τὰ λεγόμενα παρ' ἡμῖν Δαμάσκινα, ἢ ἄγρια κορώμηλα. 147. Τετράενες] ἔνος, ἔτος κατὰ διάλεκτον· ἀπορεῖται δὲ ὅπως τὸ Ἄλειφαρ κρατὸς ἀντὶ τοῦ χρίσμα τῆς κεφαλῆς λαμβανόμενον, ἐνταῦθα εἴληπται ἀντὶ Οἴνου· διὰ τὸ παλαιὸν εἶναι, ὡς ἔοικεν. 149. Φόλω] ὅμοιος οὗτος τῷ Χείρωνι· ἐν οὗ τῷ ἄντρῳ ἐδέξατο ὁ Χείρων Ἡρακλέα, καὶ οἶνον αὐτῷ δέδωκε, δοθέντα τῷ Φόλῳ παρὰ Διονύσου, ὅτι δικάσας αὐτῷ ὁ Φόλος περὶ τῆς Νάξου, ἐπέτρεψεν οἱ αὐτήν. 152. Νᾶας] τὰς νῆας τοῦ Ὀδυσσέως· ἀποθραύσας γὰρ τῆς ἀπορρῶγος πέτρας τὸ ἥμισυ, ἔβαλεν αὐτὸ

ἀφθόνων· οἱ δ' Ὄρπακες αὖθις καταβρίθοντες τοῖς βραβύλοις, κατεβαρύνοντο ἔςτ' ἐπὶ τὴν γῆν· ἡμῖν δὲ πίθος ὅλος, τετραετῆ περιέχων οἶνον, ἠνοίγη· Ἀλλ' ὦ Νύμφαι Κασταλιάδες (πρὸς γὰρ ὑμᾶς νῦν μέτεισιν ὁ λόγος) αἱ τὸν Παρνασὸν οἰκοῦσαι, ἆρ' ὁ γέρων Χείρων παρέσχε τοιοῦτον οἶνον Ἡρακλεῖ, ὁπότ' ἐξένισεν αὐτὸν ἐν τῷ τοῦ Φόλου ἄντρῳ; ἆρά γε Πολύφημον τὸν παρὰ τὸν Ἄναπον νέμοντα τὰς ὄϊς, καὶ αὐτοῖς ὄρεσι βάλλοντα τὰς νῆας, τοιοῦτον νέκταρ ἔπεισεν ἐν τῷ σταθμῷ ποτε χορεῦσαι, οἷον ὑμεῖς, ὦ πότνιαι, ἐκεράσατε ἐν τῷ βωμῷ τῆς Δήμητρος τῆς Ἀλωάδος; Ἀλλ' εἴθ' ἔγωγ' αὖ πήξαιμι ἐπὶ τοῦ σωροῦ τὸ μέγα πτύον· ἡ δὲ θεὸς γελάσειεν ἡμῖν εὐμενῶς, δράγματα σίτου καὶ μηκώνων ἐν ἀμφοτέραις φέρουσα ταῖς χερσί.

---

ἐπὶ πολὺ εἰς τὴν θάλασσαν ἐπὶ τὴν ναῦν. Τὸ δὲ χορεῦσαι οὐκ ἐκ τῶν Ὁμήρου δοκεῖ λαβεῖ, ἀλλ' ἐκ τοῦ Σατυρικοῦ μᾶλλον τοῦ Εὐριπίδου. 154. Διεκρανώσατε] διεκεράσατε· ἢ ἀπὸ τοῦ Κεράννυμι, ἢ ἀπὸ τοῦ Κρήνη ἀντὶ τοῦ διεχύσατε. 155. Ἀλωάδος] παρὰ τὴν ἀλωὴν, ἅλωνα· ἐν ᾗ οἱ λικμίζοντες τὸν σῖτον, ἐπειδὰν τάχιστα καθαρίσωσιν αὐτὸν, πηγνύουσι τὸ πτύον ἐν τῷ σωρῷ. 156. Γελαξαι] εἴθε εὐνοοίη ἡμῖν, εὐμενὴς καὶ γελῶσα πρὸς ἡμᾶς διατεθειμένη. Δράγματα δὲ εἶτουν δέσμην ἀσταχέων σίτου καὶ ἄλλων ἀνθέων ὡς σύμβολον εὐφορίας τὴν Δήμητραν, γράφουσι φέρουσαν ἐν χερσί.

## ΥΠΟΘΕΣΙΣ

Τα μὲν πράγματα ἐπὶ Σικελίας· ὁ δὲ λόγος ἐκ τοῦ ποιητικοῦ προσώπου. Εἰσὶ δὲ ἐρίζοντες ἀλλήλοις Δάφνις βουκόλος καὶ Μενάλκας ποιμὴν, εἰληφότες κριτὴν αἰπόλον· ἔπαθλον δὲ τεθείκασι τὰς σύριγγας.

### ΑΛΛΩΣ.

Τὰ μὲν πράγματα ἐν Σικελίᾳ· ὁ δὲ λόγος ἐκ τοῦ ποιητικοῦ προσώπου. Μενάλκας καὶ Δάφνις εἰς ἔριν βουκολικῶν

# ΒΟΥΚΟΛΙΑΣΤΑΙ.

## ΕΙΔΥΛΛΙΟΝ Η'.

### ΔΑΦΝΙΣ, ΜΕΝΑΛΚΑΣ, ΚΑΙ ΑΙΠΟΛΟΣ.

Δαφνιδι τῷ χαρίεντι συνήντετο βωκολέοντι
Μᾶλα νέμων, ὡς φαντὶ, κατ' ὤρεα μακρὰ Μενάλκας.
Ἄμφω τώγ' ἤτην πυῤῥοτρίχω, ἄμφω ἀνάβω,

3. Πυῤῥοτρίχω] Πυῤῥόθριξ καὶ πυῤῥότριχος, ὡς μάρτυς καὶ μάρτυρος, φύλαξ καὶ φύλακος· Ἰώνων τοῦτό ἐστι μάλιστα· τὸ δὲ Ἄνηβοι οὐ πάνυ π-

## ΤΟΥ Η'. ΕΙΔΥΛΛΙΟΥ.

ᾀσμάτων καταςάντες, εἵλοντο δικάσαι αὐτοῖς περὶ μουσικῆς Αἰπόλον τινὰ οὗ τοὔνομα οὐ φαίνεται· τὸ δ' ἔπαθλον ἦσαν αὐτῶν αἱ σύριγγες· γενομένου δὲ τοῦ ἀγῶνος, καὶ πολλῷ μᾶλλον εὐδοκιμήσαντι τῷ Δάφνιδι, δίδωσιν αὐτῷ ὁ Αἰπόλος τὸ ἀριστεῖον, καὶ δεῖται ἔτι, ἵνα προσλαβὼν καὶ αὐτὸν διδάξειε τὴν τέχνην. Ἐντεῦθεν ἄρα μέγας ὁ Δάφνις ἐν ποιμέσι, καὶ Νύμφην ἠξίωται γῆμαι.

# ΒΟΥΚΟΛΙΑΣΤΑΙ.

## ΕΙΔΥΛΛΙΟΝ Η'.

### ΔΑΦΝΙΣ, ΜΕΝΑΛΚΑΣ, ΚΑΙ ΑΙΠΟΛΟΣ,

Μενάλκας, φασὶ, νέμων ἐν ὄρει μακρῷ τὰς ὄϊς, ἐνέτυχε Δάφνιδι τῷ καλῷ· ἦσαν δ' ἄμφω μὲν ξανθοὶ τὴν τρίχα, ἄμφω δὲ παῖδες, οὔπω ἥβης ἐπειλημμένοι· ἄμφω δέ

θανὸν πρὸς ἃ ἔπραξαν· τὸ γὰρ παῖδας ὄντας ἐντὸς τῶν πεντεκαίδεκα ἐτῶν τοιαῦτα πράττειν, ᾄδοντας, καὶ ἐρῶντας, καὶ νέμοντας ποίμνια ὑπερβαίνει

Ἄμφω συρίσδεν δεδαημένω, ἄμφω ἀείδεν.
Πρᾶτος δ' ὦν ποτὶ Δάφνιν ἰδὼν ἀγόρευε Μενάλκας·

ΜΕΝΑΛΚΑΣ.

Μυκητᾶν ἐπίουρε βοῶν Δάφνι, λῇς μοι ἀεῖσαι;
Φαμί τυ νικασεῖν, ὅσσον θέλω αὐτὸς ἀείδων.
Τὸν δ' ἄρα χῷ Δάφνις τοιῷδ' ἀπαμείβετο μύθῳ·

ΔΑΦΝΙΣ.

Ποιμὰν εἰροπόκων οἴων συρικτὰ Μενάλκα,
Οὔποτε νικασεῖς μ', οὐδ' εἴτι πάθοις τύ γ' ἀείδων.

ΜΕΝΑΛΚΑΣ.

Χρῄσδεις ὦν ἐσιδεῖν, χρῄσδεις καταθεῖναι ἄεθλον;

ΔΑΦΝΙΣ

Χρῄσδω τοῦτ' ἐσιδεῖν, χρῄσδω καταθεῖναι ἄεθλον.

ΜΕΝΑΛΚΑΣ.

Ἀλλὰ τί θησεύμεσθ', ὅ κεν ἁμῖν ἄρκιον εἴη;

ΔΑΦΝΙΣ.

Μόσχον ἐγὼ θησῶ· τὺ δὲ θὲς γ' ἰσομάτορα ἀμνόν.

ΜΕΝΑΛΚΑΣ.

Οὐ θησῶ ποκα ἀμνόν· ἐπεὶ χαλεπός θ' ὁ πατήρ μευ
Χ' ἁ μάτηρ· τὰ δὲ μᾶλα ποθέσπερα πάντ' ἀριθμεῦντι.

ΔΑΦΝΙΣ.

Ἀλλὰ τί μὰν θησεῖς; τί δὲ τὸ πλέον ἑξεῖ ὁ νικῶν;

---

τὸ δυνατόν. 6. Ἐπίουρε] ἔφορε. ἐπιστάτα· γίγνεται παρὰ τὸ ὡρᾶν τὸ φροντίζειν. 7. Ὅσον θέλω] ὅ ἐστι ἐπ' ἐμοὶ κεῖται νικῆσαι, ὅπου θέλω. 10 Οὐδ' εἴτι πάθοις] φράσις ἐπ' ἀδυνάτων αὕτη· οἷον καὶ αὗται, οὐκ ἂν ποιήσειας τοῦτο, κἂν διαῤῥαγῇς ᾄδων, κἂν ἀπάγξῃ. 11. Ἄεθλον] βραβεῖον· συμπίπτει δὲ τοῦτο πρὸς ὃ ἡ συνήθεια λέγει στοίχημα. 12. Χρῄζω.] ἡ ἐ·

συρίσδειν καὶ ᾄδειν εἰδήμονες· Τούτων δ' οὖν Μενάκλας πρῶτος, ἀπιδὼν πρὸς Δάφνιν, εἶπε τοιάδε·

ΜΕΝΑΛΚΑΣ.

Δάφνι, ἐπιστάτα βοῶν μυκάδων, θέλεις ἁμιλλᾶσθαι πρὸς ἐμὲ ἐν τῷ ᾄδειν; ἐγὼ γὰρ πέποιθα ἐμαυτῷ νικήσειν σε ᾄδων, ὅσον ἂν βούλωμαι· δάφνις δὲ ἀπεκρίνατο πρὸς ταῦτα οὕτω.

ΔΑΦΝΙΣ.

Συρικτὰ Μενάλκα, Ποιμὴν βαθυμάλλων οἴων, οὐκ ἄν, οἶμαι, κρείττων σὺ ἐν ᾠδαῖς μου γένοιο, κἂν ᾄδων καὶ προσᾴδων διαῤῥαγῇς.

ΜΕΝΑΛΚΑΣ.

Θέλεις οὖν ἰδεῖν τοῦτο; θέλεις δὲ καταθεῖναι καὶ ἆθλον;

ΔΑΦΝΙΣ.

Θέλω τοῦτ' ἰδεῖν, θέλω δὲ καταθεῖναι καὶ ἆθλον.

ΜΕΝΑΛΚΑΣ.

Τίποτ' οὖν βούλει καταθεῖναι ἡμᾶς ἀγαπητὸν ἀμφοτέροις;

ΔΑΦΝΙΣ.

Μόσχον μὲν ἐγὼ θήσω, σὺ δ' ἂν καταθείης ἀμνὸν τῇ μητρὶ ἰσομεγέθη.

ΜΕΝΑΛΚΑΣ.

Οὐκ ἄν ποτ' ἔγωγε· ὁ γὰρ πατὴρ καὶ ἡ μήτηρ, ὡς κατὰ πᾶσαν ἑσπέραν ἐναριθμοῦντες τὰς ὄϊς, χαλεπανοῦσι.

ΔΑΦΝΙΣ.

Τί οὖν καταθήσεις, ὅπερ ὁ νικήσας λαβὼν, βεβαιώσει ἑαυτῷ τὴν νίκην;

---

*ανάληψις τῶν αὐτῶν ὀνομάτων τὴν προθυμίαν τοῦ Δάφνιδος οὖν οὐκ ὀλί-

ΜΕΝΑΛΚΑΣ.

Σύριγγ', ἂν ἐποίησα καλὰν ἐγὼ ἐννεάφωνον,
Λευκὸν καρὸν ἔχοισαν, ἴσον κάτω, ἶσον ἄνωθεν,
Ταύταν κατθείην· τὰ δὲ τῶ πατρὸς οὐ καταθησῶ.

ΔΑΦΝΙΣ.

Ἦ μάν τοι κἠγὼ σύριγγ' ἔχω ἐννεάφωνον,
Λευκὸν καρὸν ἔχοισαν, ἴσον κάτω, ἶσον ἄνωθεν.
Πρῴαν νιν συνέπαξ'· ἔτι καὶ τὸν δάκτυλον ἀλγῶ
Τοῦτον, ἐπεὶ κάλαμός γε διασχισθεὶς διέτμαξεν.
Ἀλλὰ τίς ἄμμε κρινεῖ; τίς ἐπάκοος ἔσσεται ἀμέων;

ΜΕΝΑΛΚΑΣ.

Τῆνόν πως ἐνταῦθα τὸν αἰπόλον ἢν καλέσωμες,
Ὧ ποτὶ ταῖς ἐρίφοις ὁ κύων ὁ φαλαρὸς ὑλακτεῖ.

Χ' οἱ μὲν παῖδες ἄϋσαν, ὁ δ' αἰπόλος ἦνθ' ἐπακούσας·
Χ' οἱ μὲν παῖδες ἄειδον, ὁ δ' αἰπόλος ἤθελε κρῖναι·
Πρᾶτος δ' ὦν ἄειδε λαχὼν ἰϋκτὰ Μενάλκας.
Εἶτα δ' ἀμοιβαίην ὑπελάμβανε Δάφνις ἀοιδὰν
Βωκολικάν· οὕτω δὲ Μενάλκας ἄρξατο πρᾶτος·

ΜΕΝΑΛΚΑΣ.

Ἄγκεα καὶ ποταμοί, θεῖον γένος, αἴ τι Μενάλκας
Πᾷ ποχ' ὁ συρικτὰ προσφιλὲς ᾆσε μέλος,

---

γῃ χάριτι παριστᾷ· 18. Σύριγγα ἐννεάφωνον ὑπὸ ἐννέα καλάμων συμπηγνυμένην. ἴδε Εἰδ. Α'. στίχ. 128.—24. Διέτμαξεν] τάμνω, τμήσω, καὶ τμηξῶ, ἔτμηξα· βούλεται δὲ δεῖξαι τὸ ἔργον νεαρὸν τῇ παραστάσει τοῦ συμβεβηκότος περὶ τὸν δάκτυλον. 27. Ὑλακτεῖ] πρὸς Δοτικὴν συνέταξε τοῦτο, δέον πρὸς Αἰτιατικὴν, ὡς καὶ Ἰσοκράτης, Τοὺς τυχόντας ὑλακτοῦσιν. 30. Ἰϋκτὰ] παρὰ τὸ ἰΰζειν τὸ μέλπειν ἰηκτὴς, καὶ κατὰ διάλεκτον ἰϋκτὰ ὡς

ΜΕΝΑΛΚΑΣ.

Σύριγγα καλὴν ταυτηνὶ, ἣν αὐτὸς κηρῷ λευκῷ ἔπηξα ἐννεάφωνον, ἴσα τὰ ἄνω τοῖς κάτω· ταύτην μὲν ὡς ἐμαυτοῦ οὖσαν καταθήσω. ἐν δὲ τοῖς τοῦ πατρὸς οὐκ ἂν ἀποκινδυνεύσαιμι.

ΔΑΦΝΙΣ.

Ἦ μὴν κἀγὼ ταὐτό σοι ποιήσω, ὁμοίαν καταθεὶς ἐννεάφθογκον, κηρὸν λευκὸν ἔχουσαν ἑκατέρωθεν ἴσον· πρῴην γὰρ αὐτὴν τυγχάνω συμπεπηχὼς, ὡς καὶ τὸν δάκτυλον ἔτι πάσχειν, ὑπὸ τοῦ καλάμου ἐν τῇ κατασκευῇ διατμηθέντα. Ἀλλὰ τίς ποθ' ὑμῖν, ἡμῶν διακούσας ἐς τέλος, γένοιτο δικαστής;

ΜΕΝΑΛΚΑΣ.

Ἐκεινοσὶ (ὁρᾷς γὰρ τὸν Αἰπόλον, ὃν ὁ λευκὸς κύων ὑλακτεῖ παρὰ τοῖς ἐρίφοις) ἐκεῖνος, ἣν καλῶμεν, ἡμῖν ὁ δικάσων ἔσται.

Οὕτως οὖν, καλεσάντων τῶν παίδων, ἦλθεν ὁ Αἰπόλος ἐπακούσας· καὶ οἱ μὲν παῖδες ᾖδον, ὁ δὲ ὥρμηται δικάσαι. Πρῶτον δ' οὖν Μενάλκας ὁ λιγύφθογγος ᾖδε λαχών· ἐπὶ δὲ τούτῳ διεδέχετο Δάφνις τὴν ᾠδὴν βουκολικῶς ἐν μέρει· ἤρξατο δὲ Μενάλκας πρῶτος ᾠδί.

ΜΕΝΑΛΚΑΣ

Ὦ κοιλάδες καὶ νάπη ἀειθαλῆ, καὶ ποταμοὶ θεῶν παῖδες· εἴτι ποτὲ Μενάλκας ὁ συρικτὴς λυγρὸν ἦσε μέλος, νέμετε

καὶ παρ' Ὁμήρῳ Ἱππότα Νέστωρ, καὶ νεφεληγερέτα Ζεὺς, τοιοῦτο δὲ μικρὸν κατωτέρω καὶ τὸ Συρικτά. 33. Θεῖον γένος] πάντες γὰρ οἱ ποταμοὶ ἐκ τοῦ Ὠκεανοῦ, θεοῦ ὄντος Ἀρχαίου, τὴν ἀρχὴν κλυΐζονται ἔχειν· τὸ δὲ Αἴτι ἀντὶ τοῦ, Εἴτι. 34. Πᾶ ποχ'] πῆποτε· ὡς δ' ἐν ἀρχῇ στίχου ταχθὲν, ἐδέ-

Βόσκοιτ' ἐκ ψυχᾶς τὰς ἀμνίδας· ἢν δέ ποκ' ἔνθη
Δάφνις ἔχων δαμάλας, μηδὲν ἔλασσον ἔχοι.

ΔΑΦΝΙΣ.

Κρᾶναι καὶ βοτάναι, γλυκερὸν φυτὸν, αἴπερ ὁμοῖον
Μουσίσδει Δάφνις ταῖσιν ἀηδονίσι,
Τοῦτο τὸ βωκόλιον πιαίνετε· κἢν τι Μενάλκας
Τῇδ' ἀγάγῃ, χαίρων ἄφθονα πάντα νέμοι.

ΜΕΝΑΛΚΑΣ.

Παντᾶ ἔαρ, παντᾶ δὲ νομοὶ, παντᾶ δὲ γάλακτος
Οὔθατα πλήθουσιν, καὶ τὰ νέα τρέφεται,
Ἔνθ' ἁ καλὰ παῖς ἐπινίσσεται· αἱ δ' ἂν ἀφέρποι,
Χὡ ποιμὰν ξηρὸς τηνόθι, χ' αἱ βοτάναι.

ΔΑΦΝΙΣ.

Ἔνθ' ὄϊς, ἔνθ' αἶγες διδυματόκοι, ἔνθα μέλισσαι
Σμάνεα πληροῦσιν, καὶ δρύες ὑψίτεραι,
Ἔνθ' ὁ καλὸς Μίλων βαίνει ποσίν· αἰδ' ἂν ἀφέρπῃ
Χὡ τὰς βῶς βόσκων, χ' αἱ βόες αὐότεραι.

ΜΕΝΑΛΚΑΣ.

Ὦ τράγε, τᾶν λευκᾶν αἰγᾶν ἄνερ, ὦ βάθος ὕλας
Μυρίον, ὦ σιμαὶ δεῦτ' ἐφ' ὕδωρ ἔριφοι·
Ἐν τήνῳ γὰρ τῆνος· ἴθ', ὦ κόλε, καὶ λέγε Μίλων',

---

ξατο τόνον, ἀόριστον ἄλλως ὄν. εἰ μὴ γραπτέον εἴη Εἰ ἀντὶ τοῦ Πᾷ, ὡς καὶ παρέφρασα. 43. Ἐπινίσσεται] συμπεριπατεῖ τῷ ποιμένι. Παῖδα δὲ τὴν ἐρωμένην λέγει, ὡς καὶ κατωτέρω ἐρώμενον τὸν Μίλωνα. 49. Ἄνερ.] ἀπὸ μεταφορᾶς τῶν ἀνθρώπων, ἀντὶ τοῦ ὀχευτά. 50. Σιμαὶ ἔριφοι.] οὐ χρὴ ἐνταῦθα παραβιβάζειν τὸ Σιμαὶ πρὸς τὰς μελίσσας· ἀποδίδοται

αὐτῷ προθύμως τὰς ἀμνάδας· ἢν δὲ καὶ Δάφνις ἐπὶ τὸ αὐτὸ ἐλάσῃ τὰς ἑαυτοῦ δαμάλας, μηδὲν κἀκεῖνος ἔλαττον ἐχέτω.

ΔΑΦΝΙΣ.

Ὦ κρῆναι καὶ βοτάναι γλυκερὸν ταῖς ἐμαῖς βουσὶ φυτὸν, εἴτι Δάφνις ὅμοιον ταῖς ἀηδόσιν ᾄδει, πιαίνετε αὐτῷ τὸ βουκόλιον τοῦτο· ἢν δὲ καὶ Μενάλκας τὰς ὄϊς πρὸς ταὐτὰ ἐλάσῃ, πάντα κἀκεῖνος ἄφθονα ἀπολαυέτω χαίρων.

ΜΕΝΑΛΚΑΣ.

Πανταχοῦ μὲν ἔαρ, πανταχοῦ δὲ νομοὶ, πανταχοῦ δὲ τὰ τῶν θρεμμάτων οὔατα σφιγῶσι τῷ γάλακτι, καὶ τἀρτιγενῆ αὔξεται, ὅπῃ ἂν ἡ καλὴ παῖς διατρίβῃ· ἔνθ' ὅμως ἄπεστιν ἐκείνη, ὅ,τε ποιμὴν αὐτὸς καὶ αἱ βοτάναι ἀποβαίνουσιν ξηροὶ καὶ αὖοι.

ΔΑΦΝΙΣ.

Ἐκεῖ ὄϊς, ἐκεῖ αἶγες δίδυμα τίκτουσαι, ἐκεῖ μέλισσαι τὰ ἑαυτῶν σύμβλα μέλιτος πληροῦσαι, καὶ δρύες ὑψίκομοι, ὅπου ἂν ὁ Μίλων παρῇ· εἰδ' ἄπεστιν, ὅ,τε βουκόλος αὐτὸς καὶ αἱ βόες ἀποτελοῦνται αὖοι.

ΜΕΝΑΛΚΑΣ.

Ὦ τράγε τῶν λευκῶν ταξίαρχε αἰγῶν· ὦ βάθος ὕλης ἀπέραντον, ὦ σιμαὶ ἔριφοι δεῦτε ἐπὶ τὸ ὕδωρ· ἐκεῖ γάρ ἐστιν ἐκεῖνος· ἴθι, ὦ μίτυλε σὺ τράγε, καὶ λέγε τῷ Μίλωνι, ὅτι

---

γὰρ ἐπίσης καὶ ταῖς αἰξί. 51. Κόλε] κολιβέ· οὐ μᾶλλον δὲ ὁ μὴ ἔχων οὐρὰν, ἢ ἄκερως· ὃν κατωτέρω (στίχ. 86) Μίτυλον καλεῖ. Τὸ δὲ Μίλων' ἐν

Ὡς Πρωτεὺς φώκας, καὶ θεὸς ὤν, ἔνεμε.

ΔΑΦΝΙΣ.

Μή μοι γᾶν Πέλοπος, μή μοι χρύσεια τάλαντα
Εἴη ἔχεν, μηδὲ πρόσθε θέειν ἀνέμων·
Ἀλλ' ὑπὸ τᾷ πέτρᾳ τᾷδ' ᾄσομαι ἀγκὰς ἔχων τυ,
Σύννομα μᾶλ' ἐσορῶν, τὰν Σικελὰν ἐς ἅλα.

ΜΕΝΑΛΚΑΣ.

Δένδρεσι μὲν χειμὼν φοβερὸν κακὸν, ὕδασι δ' αὐχμὸς,
Ὄρνισιν δ' ὕσπλαξ, ἀγροτέροις δὲ λίνα.
Ἀνδρὶ δὲ, παρθενικᾶς ἁπαλᾶς πόθος. ὦ πάτερ, ὦ Ζεῦ,
Οὐ μόνος ἠράσθην. καὶ τὺ γυναικοφίλας.
Ταῦτα μὲν ὦν δι' ἀμοιβαίων οἱ παῖδες ἄεισαν.
Τὰν πυμάταν δ' ᾠδὰν οὕτως ἐξᾶρχε Μενάλκας·

ΜΕΝΑΛΚΑΣ

Φείδευ τᾶν ἐρίφων. φείδευ, λύκε, τῶν τοκάδων μευ,
Μηδ' ἀδίκει μ', ὅτι μικκὸς ἐὼν πολλαῖσιν ὁμαρτέω.
Ὦ Λάμπουρε κύων, οὕτω βαθὺς ὕπνος ἔχει τυ;

---

ἄλλοις Μίλῳ γράφεται, ὁ Μίλος, ἰσοσυλλάβως. 52. Πρωτεὺς] Θαλάσσιος θεὸς οὗτος, τὰς τοῦ Ποσειδῶνος ἐν Αἰγύπτῳ ἀγέλας φυλάττων, μαντικὸς, καὶ οἷος εἰς πολλὰς μορφὰς μεταβάλλεσθαι· ὁποῖος ἐφάνη καὶ Μενελάῳ. Ὁμ. Ὀδ. Δ'. στίχ. 456.

» Ἀλλ' ἤτοι πρώτιστα λέων γένετ' ἠϋγένειος,
» Αὐτὰρ ἔπειτα δράκων καὶ πάρδαλις, ἠδὲ μέγας σῦς.
» Γένοιτο δ' ὑγρὸν ὕδωρ καὶ δένδρεον ὑψιπέτηλον.

Φῶκαι δ' ἦσαν θαλάσσια ζῶα ἀμφίβια, ὀσμὴν βαρεῖαν ἀποπέμπουσαι, ὡς Ὅμηρος αὖ αὐτόθι. 441·

» . . . . . . . Τεῖρε γὰρ αἰνῶς
» Φωκάων ἁλιοτρεφέων ὀλοώτατος ὀδμή.
» Τίς γάρ κ' εἰναλίῳ παρὰ κήτεϊ κοιμηθείη;

καὶ Πρωτεύς, θεὸς ὢν, τὰς δυσόδμους νέμει φώκας.

ΔΑΦΝΙΣ.

Μήτε Πέλοπος πᾶσαν εἴη μοι κτᾶσθαι γῆν, μήτε μὴν ἄπλετα χρυσοῦ τάλαντα ἔχειν, μήτε καὶ τῶν ἀνέμων τάχιον θεῖν· ἑλοίμην γὰρ ἂν μᾶλλον ἀντὶ πάντων ᾄδειν ὑπὸ τῇ πέτρᾳ ταύτῃ, ἔχων σε, ὦ Μίλων, ἐν ἀγκάλαις, καὶ τὰ ποίμνια ὁρῶν συννεμόμενα ἐν τοῖς τῆς Σικελίας παραλίοις.

ΜΕΝΑΛΚΑΣ.

Δένδροις μὲν πολέμιος ὁ χειμὼν, ὕδασι δ' ἀνομβρία, ὄρνισι δὲ παγὶς, τοῖς δ' αὖ χερσαίοις αἱ ἄρκυς· ἀνδρὶ δὲ μέγιστον κακὸν παρθένου ἔρως· ὦ Ζεῦ πάτερ, μῶν ἐγὼ μόνος ἑάλωκα τῷ πάθει; οὐ καὶ σὺ αὐτὸς θηλυμανής τις ὤν τυγχάνεις; Τοιαῦθ' οἱ παῖδες ᾖσαν ἀμοιβαδόν· τῆς δ' αὖ μετὰ ταῦτα ᾠδῆς Μενάλκας ἐξῆρχεν αὖθις οὕτως·

ΜΕΝΑΛΚΑΣ.

Φείδου μοι, ὦ λύκε, τῶν ἐρίφων, ἀπέχου τῶν ἐμῶν τοκάδων πάμπαν, μηδὲ βλάψῃς παῖδα μικρὸν νέμοντα μεγάλην ποίμνην· Σὺ δ' ὦ Λάμπυρε κύων, τί ποθ' οὕτω βαθὺν ὑπνώτ-

---

55. Ἀγκὰς ἔχων τυ] ἔχων σε ἐν ἀγκάλαις· πότερον δὲ, τὸν Μενάλκαν, ἢ τὸν Μίλωνα ὡς παρόντα καλεῖ; τοῦτον φήμ' ἔγωγε; ὁ γὰρ Μενάλκας ἀνωτέρω τῷ Δάφνιδι, ὡς ἔοικε, χαριζόμενος, καλεῖ Μίλωνα· αὐτὸς δὲ τῆς παρθένου ἐρᾷ. 56. Σύννομα] μεμιγμένα τὰ ποίμνια ἐν τοῖς περὶ τὴν Σικελίαν αἰγιαλοῖς 57. ὕδασι δ' αὐχμὸς] μὴ ὄντος γὰρ ὄμβρου, ἐκλείπουσιν αἱ πηγαὶ καὶ τὰ φρέατα. 62. Πυμάτην] ἐσχάτην· ἄλλην γὰρ νῦν ὑπόθεσιν ἐνίστανται ᾠδῆς, ἀπὸ τοῦ Ἡροελεγείου εἰς τὸ Ἐπικὸν ἐπανελθών. 63. Τῶν τοκάδων] πότερον τῶν ἐπιτόκων, ἢ τῶν πολυτόκων, ἢ ἁπλῶς τῶν γεγεννη-

Οὐ χρὴ κοιμᾶσθαι βαθέως, σὺν παιδὶ νέμοντα.
Ταὶ δ' ὄϊες, μηδ' ὔμμες ὀκνεῖθ' ἁπαλᾶς κορέσασθαι
Ποίας· οὔτι καμεῖσθ, ὄκκα πάλιν ἅδε φύηται·
Σίττα νέμεσθε, νέμεσθε· τὰ δ' οὔθατα πλήσατε πᾶσαι,
Ὡς τὸ μὲν ὤρνες ἔχωντι, τὸ δ' ἐς ταλάρως ἀπόθωμαι.
Δεύτερος αὖ Δάφνις λιγυρῶς ἀνεβάλετ' ἀείδεν.

ΔΑΦΝΙΣ.

Κἄμ' ἐκ τῶ ἄντρω σύνοφρυς κόρα ἐχθὲς ἰδοῖσα
Τὰς δαμάλας παρελεῦντα, καλὸν καλὸν ἦμες ἔφασκεν·
Οὐ μὰν οὐδὲ λόγον ἐκρίθην ἄπο τὸν πικρὸν αὐτᾷ,
Ἀλλὰ κάτω βλέψας τὰν ἁμετέραν ὁδὸν εἷρπον.
Ἁδεῖ' ἁ φωνὰ τᾶς πόρτιος, ἁδὺ τὸ πνεῦμα·
Ἁδὺ δὲ χὠ μόσχος γαρύεται, ἁδὺ δὲ χ' ἁ βῶς·
Ἁδὺ δέ τω θέρεος παρ' ὕδωρ ῥέον αἰθριοκοιτῆν.
Τᾷ δρυῒ ταὶ βάλανοι κόσμος, τᾷ μαλίδι μᾶλα·
Τᾷ βοῒ δ' ἁ μόσχος, τῷ βωκόλῳ αἱ βόες αὐταί.
Ὣς οἱ παῖδες ἄεισαν, ὁ δ' αἰπόλος ὧδ' ἀγόρευεν·

ΑΙΠΟΛΑΣ.

Ἁδύ τι τὸ στόμα τοι, καὶ ἐφίμερος, ὦ Δάφνι, φωνά.
Κρέσσον μελπομένω τεῦ ἀκουέμεν, ἢ μέλι λείχεν.
Λάσδεο τὰς σύριγγος· ἐνίκησας γὰρ ἀείδων.
Αἰ δέ τι λῆς με καὶ αὐτὸν ἅμ' αἰπολέοντα διδάξαι,

---

μένων μητέρων; τοῦτο μᾶλλον· 66 Σὺν παιδὶ νέμοντα] ὡς εἰ ἔλεγε χρὴ ἀγρυπνεῖν τοσοῦτον, ὅσον ἐγώ, παῖς ὤν, οὐκ ἐξαρκῶ τοσαύτην ποίμνην φυλάττειν. 70. ὤρνες] οἱ ἄρνες· Τὸ δὲ Ἀπόθωμαι, ὡς μέσον ἀνεβιβάσετο τὸν τόνον. 72. Σύνοφρυς] ἢ τὸ πεπυκνωμένον καὶ σκεπτικὸν τῆς ψυχῆς ἐννοεῖ, ἢ ὅτι ἡνωμένας τὰς ὀφρῦς καὶ πυκνὰς εἶχε. 73, Παρελεῦντα] ἴδε ἀνωτέρω Εἰδ. Ε'. στίχ. 48· — 74. Ἐκρίθην ἄπο] ἀπεκρίθην· ἀντὶ τοῦ

τεις; οὐ γὰρ οὕτω χρὴ καθεύδειν κύνα, ὃς μετὰ παιδὸς τὰ θρέμματα συννέμει· Ὑμεῖς δ', ὦ ὄϊς, μὴ ἀμελεῖτε ποίας ἁπαλῆς ἐς κόρον ἐμπλησθῆναι· μηδὲ φείδεσθε, ὁπόθ' αὕτη ἀναφύεται ἐκ νέου· Σίττα, νέμεσθε, βόσκεσθε, καὶ τὰ ἑαυτῶν ἑκάστη οὔθατα πληροῦτε πᾶσαι, ὅπως ἂν τὸ μὲν τοῦ γάλακτος θηλάσωσιν οἱ ἄρνες, τὸ δ' αὐτὸς ἀπόθωμαι ἐν τοῖς ταλάροις· Ἐντεῦθεν δὲ δεύτερος ὁ Δάφνις λυγηρὸν ἀνεβάλλετο ᾆσμα.

ΔΑΦΝΙΣ.

Παρθένος τὶς σύνοφρυς, ἰδοῦσά με χθὲς ἐξ ἄνδρου παρελαύνοντα τὰς βοῦς. καλὸν καλὸν εἶναί με εἶπεν· ἐγὼ δ' ἀπεκρινάμην οὐδὲν, οὐχ ἡδὺ, οὐ πικρὸν, ἀλλ' ἐρείσας τὰ ὄμματα ἐς τὴν γῆν, ἐβάδιζον ἠρέμα, ἔνθ' ὡρμήμην· Ὡς ἡδεῖα μὲν ἡ τῆς πόρτιος φωνὴ, ἡδὺ δὲ καὶ τὸ πνεῦμα· ἡδὺ δὲ βοᾷ καὶ ὁ μόσχος, καθάπερ αὖ καὶ ἡ βοῦς· ἡδὺ δὲ καὶ ὥρᾳ θέρους καθεύδειν αἴθριον παρ' ὑδάτιον κελαρύζον· τῇ δὲ δρυῒ ἐμπρέπουσιν οἱ βάλανοι, περισειόμενοι ἐν φύλοις, ὡς καὶ τῇ μηλέᾳ κόσμον φέρει μάλιστα τὸ μῆλον· οὐχ ἧττον δὲ τῇ βοῒ καὶ ὁ μόσχος· τὸ δ' αἰπόλιον σύμπαν ἀγαλλίαμα καὶ σέμνωμά ἐστιν αἰπόλῳ· καὶ ταῦτα μὲν οἱ παῖδες ᾖσαν· ὁ δ' Αἰπόλος πρὸς ταῦτα.

ΑΙΠΟΛΟΣ.

Ἡδύ σοι τὸ στόμα, Δάφνι, καὶ ἡ φωνὴ λίαν γλυκερά· κρεῖττον γάρ σου ἀκούειν, ἢ μέλι λείχειν· Ἴθι τοίνυν λάβε τὴν σύριγγα· νενίκηκας γὰρ ᾄδων· Ἀλλ' εἴγ' ἐθελήσειας διδάξαι κἀμὲ Αἰπόλον ὄντα, ἀποδώσω σοι δίδακτρα τὴν ἀκε-

Ἀπεκρινάμην. ἀποκριθῆναι γάρ ἐστιν ἀποχωρισθῆναι. 76. Τὸ πνεῦμα]

Τήναν τὰν μιτύλαν δωσῶ τὰ δίδακτρά τοι αἶγα,
Ἅτις ὑπὲρ κεφαλᾶς ἀεὶ τὸν ἀμολγέα πληροῖ.
Ὡς μὲν ὁ παῖς ἐχάρη, καὶ ἀνάλατο, καὶ πλατάγησε
Νικήσας· οὕτως ἐπὶ ματέρα νεβρὸς ἅλοιτο.
Ὡς δὲ κατεσμύχθη καὶ ἀνετράπετο φρένα λύπᾳ
Ὥτερος· οὕτω καὶ νύμφα γαμηθεῖσ' ἀκάχοιτο.
Κὴκ τούτω Δάφνις παρὰ ποιμέσι πρᾶτος ἔγεντο,
Καὶ νύμφαν, ἄκρηβος ἐὼν ἔτι, Ναΐδα γᾶμεν.

---

τὴν τῶν μόσχων ἐκπνοὴν μᾶλλον ἔοικε λέγειν. 86. Μιτύλαν] λέγεται δὲ ἡ αἶξ μιτύλη, ἥτις οὐκ ἔχει κέρατα· ὃ ἀνωτέρω (στίχ. 5ι.) Κόλον ἔφη τὸν τράγον. 87. Ἀμολγέα] ἀμολγεὺς (παρὰ τὸ ἀμέλγειν ἐν αὐτῷ, καὶ Τά-

ρων ἐκείνην αἶγα· ἥτις μέχρι τῶν χειλέων ἐμπίπλησι τὸν ἀμολγέα· Ὁ δὲ παῖς ἀνασκιρτήσας ἐκ χαρᾶς, ἀνεβόησεν ἐπὶ τῇ νίκῃ, ὥσπερ ὁ νεβρὸς ἀναπηδᾷ πρὸς τὴν μητέρα· ὁ δ' ἕτερος ἐτάκη, ὑποβρύχιος γενόμενος τῇ λύπῃ, καθάπερ παρθένος ἡ ἄρτι εἰς γάμον ἐρχομένη. Κἀκ τούτου Δάφνις πρόσηβος ὢν ἔτι, πρῶτος ἐγένετο παρὰ ποιμέσι, καὶ γάμου Νηρηΐδος ἠξίωται.

---

λαρος, καὶ Πέλλα. καὶ Κισσύβιον, πάντα ταῦτα ἀγγεῖα ποιμενικὰ πρὸς ὑποδοχὴν τοῦ γάλακτος. 90. Κατεσμύχθη] ἴδε ἀνωτέρω· Εἰδ. Γ'. στίχ. 17. — 91. Ἀκάχοιτο] ὅτι ἐχωρίσθη ἴσως τῆς μητρός· 93. Ναΐδα] θυγατέρα Νηρέως· τὴν Ξενέαν ἐννοεῖ· ἴδε. Εἰδ. ζ'. στίχ. 73. λέγεται δὲ ἡ Ξενέα καὶ ἁπλῶς ποιμενικὴ παρθένος εἶναι ἐρωμένη τῷ Δάφνιδι.

## ΥΠΟΘΕΣΙΣ

Τα μὲν πράγματα ἐν Σικελίᾳ ὑφίστανται· Νομεὺς δέ ἐστιν, ὃς δεῖται Δάφνιδος καὶ Μενάλκου, ὅπως ἀλλήλοις ἀντᾴσωσιν. Οὐδὲν δὲ ἔχει πρὸς τὸν Μενάλκαν τοῦτον ὄντα Σικελὸν ὑπὲρ Μενάλκου Χαλκιδέως, ὃν φησὶν Ἑρμησιάναξ ἐρα-

# ΝΟΜΕΥΣ η ΒΟΥΚΟΛΟΙ.

## ΕΙΔΥΛΛΙΟΝ Θʹ.

### ΔΑΦΝΙΣ ΚΑΙ ΜΕΝΑΛΚΑΣ

Βωκολιασδεο Δάφνι· τὺ δ' ᾠδᾶς ἄρχεο πρᾶτος,
Ὠδᾶς ἄρχεο πρᾶτος, ἐφεψάσθω δὲ Μενάλκας.
Μόσχως βωσὶν ὑφέντες, ὑπὸ στείραισι δὲ ταύρως.
Χ' οἱ μὲν ἅμα βόσκοιντο, καὶ ἐν φύλλοισι πλανῷντο,
Μηδὲν ἀτιμαγελεῦντες· ἐμῖν δὲ τὺ βωκολιάσδευ

1. Ὠδᾶς ἄρχετο πρῶτος] ἐπαναφορὰ τὸ σχῆμα δὶς λαμβανόμενον. ἔχει δὲ χάριν, ὡς καὶ παρ' Ὁμήρῳ.

» Τοῦδ' ἐγὼ ἀντίος εἶμι, καὶ εἰ πυρὶ χεῖρας ἔοικε,
» Εἰ πυρὶ χεῖρας ἔοικεν, μένος δ' αἴθωνι σιδήρῳ.

σθῆναι τῆς Κυρηναίας Εὐΐππης, καὶ διὰ τὸ μὴ ἐπιτυγχάνειν αὐτῆς κατακρημνισθῆναι.

Προλογίζει ὁ ποιμήν. Ἰςέον δὲ, ὅτι ἢ τὸν αὐτὸν, ὃν προεῖπε Μενάλκαν πάλιν φησί· τότε γὰρ ἴσως ἔνεμε μῆλα, νῦν δὲ βόας· ἢ ἕτερον Μενάλκαν βουκόλον.

# ΝΟΜΕΥΣ Η ΒΟΥΚΟΛΟΙ.

## ΕΙΔΥΛΛΙΟΝ Θ'.

### ΔΑΦΝΙΣ ΚΑΙ ΜΕΝΑΛΚΑΣ.

Δευρ' ᾆσον, ὦ Δάφνι· σὺ ᾠδῆς βουκολικῆς ἄρχου πρῶτος, σὺ ᾠδῆς ἄρχου πρῶτος· Μενάλκας δὲ δεύτερος ἔστω, ὑφέντες νῦν τοὺς μὲν μόσχους τὰ τῶν μητέρων οὔθατα ἕλκειν· τοὺς δὲ ταύρους, τῶν μήπω ἐν γαστρὶ συλλαβουσῶν ἐπιβαίνειν· κἀκεῖνα μὲν νεμέσθων ἀναμὶξ περιόντα καὶ μηδὲν τῆς κοινῆς ἀποπλανώμενα ἀγέλης· σὺ δ' οὖν ἄρχου ἡμῖν ᾠδῆς

---

5. Ὑπὸ στείραις] ἀτιμαγελᾶν καὶ ἀτιμαγέλης λέγεται, ὅςτις τῶν ταύρων καταλιπὼν ἀναξίως τὴν ἀγέλην, ἀποπλανᾶται. — Ἐμὶν] τίνι; ἢ αὐτῷ τῷ

Ἔμπροσθεν· ἄλλοθε δ' αὖθις ὑποκρίνοιτο Μενάλκας.

ΔΑΦΝΙΣ.

Ἁδὺ μὲν ἁ μόσχος γαρύεται, ἁδὺ δὲ χ' ἁ βῶς,
Ἁδὺ δὲ χ' ἁ σύριγξ, χῳ βωκόλος· ἁδὺ δὲ κἠγών.
Ἐντὶ δέ μοι παρ' ὕδωρ ψυχρὸν στιβάς· ἐν δὲ νένασται
Λευκᾶν ἐκ δαμαλᾶν καλὰ δέρματα, τάς μοι ἁπάσας
Λὶψ κόμαρον τρωγοίσας ἀπὸ σκοπιᾶς ἐτίναξε.
Τῶ δὲ θέρευς φρύγοντος ἐγὼ τόσσον μελεδαίνω,
Ὅσσον ἐρῶντε πατρὸς μύθων, ἢ ματρὸς ἀκούειν.
Οὕτω Δάφνις ἄεισεν ἐμίν· οὕτω δὲ Μενάλκας.

ΜΕΝΑΛΚΑΣ

Αἴτνα μᾶτερ ἐμὰ, κἠγὼ καλὸν ἄντρον ἐνοικέω
Κοίλαις ἐν πέτραισιν· ἔχω δέ τοι ὅσσ' ἐν ὀνείρῳ
Φαίνονται, πολλὰς μὲν ὄϊς, πολλὰς δὲ χιμαίρας·
Ὧν μοι πρὸς κεφαλᾷ καὶ πὰρ ποσὶ κώεα κεῖνται.
Ἐν πυρὶ δὲ δρυΐνῳ χορία ζέει, ἐν πυρὶ δ' αὖαι
Φαγοὶ χειμαίνοντος· ἔχω δέ τοι οὐδ' ὅσον ὤραν
Χείματος, ἢ νωδὸς καρύων, ἀμύλοιο παρόντος.

---

ποιητῇ Θεοκρίτῳ. 6. Ὑποκρίνοιτο] ἀντὶ τοῦ Ἀποκρίνοιτο· τούτῳ γὰρ τῷ Ὑποκρίνασθαι καὶ Ὅμηρος ἐχρήσατο πανταχοῦ. 9. Νένασται] νήθω, καὶ νάω, τὸ σωρεύω. μέλ. νήσομαι καὶ νάσομαι, νένασμαι, νένασται, σεσώρευται. 11. Κόμαρον] τὸν καρπὸν τῆς κομάρου, ὃ ἄλλως Μιμαίκυλον καὶ μιμάκυλον, καὶ μαιμάκυλον καλεῖται. 12 Φρύγοντος] καταξηραίνοντος τὰ φρύγανα· οὐ γὰρ φροντίζει τοῦ καύματος, ὡς παρὰ ψυχρῷ διαιτώμενος ὕδατι, ὅσον οὐδ' ὅστις ἐρᾷ τινος, φροντίζει, ὧν ἂν αὐτὸν διδάσκωσιν οἱ γονεῖς, ἀποτρέποντες αὐτὸν τῆς ἐρωμένης· τὸ δὲ Ἐρῶντε ἔστω δυϊκὸν ἀντὶ πληθυντικοῦ Ἐρῶντες διὰ τὸ μέτρον ἴσως· πολλάκις δ' οὕτως ἐχρήσατο καὶ Ὅμηρος· γράφεται ἀλλ' οὖν καὶ Ἐρῶντι (ἀντὶ ἐρῶσι) καὶ ἐρῶν τι· 19. Χορία] ἃ καὶ Χόρια λέγεται. ἔντερά τινα ἐοίκασιν εἶναι, ἃ γεμίζοντες γάλακτος, ἢ οὔ-

Βουκολικῆς· ἔπειτά σε Μενάλκας ἀμείψεται τοῖς ἴσοις.

ΔΑΦΝΙΣ.

Ἡδεῖα μὲν μόσχου βοὴ, ἡδεῖα δὲ καὶ βοός· ἡδὺ δὲ καὶ ἡ σύριγξ συρίζει, καὶ βουκόλος ὁμοίως, ἡδὺ δὲ κᾀγώ· Ἔστι δέ μοι στιβὰς παρ' ὕδατι ψυχρῷ, ἐφ' ἧς δέρματα καλὰ λευκῶν ἐντετάνυσται δαμαλῶν, ἃς ὁ Λὶψ καταβαλὼν ἄνωθεν ἀπὸ τῆς σκοπιᾶς, ἔνθα ἐτύγχανον τρώγουσαι κόμαρα, ἐξετραχήλισε συναρπάσας· τοῦ δὲ καύματος ἐν θέρει τοσοῦτον ποιοῦμαι λόγον, ὅσον οἱ ἔρωτι κεκρατημένοι τῶν τῆς μητρὸς ἢ πατρὸς ἀκούουσι παραγγελμάτων· Τοιαῦτα μὲν ὁ Δάφνις, Μενάλκας δὲ μετ' αὐτόν.

ΜΕΝΑΛΚΑΣ.

Μήτηρ μὲν ἐμοί ἐστιν ἡ Αἴτνη, ἔνθ' ὑπὸ ταῖς κοίλαις πέτραις ἐν καλῷ ἐνδιαιτῶμαι ἄντρῳ· Ἔστι δέ μοι, ὅσα καὶ ἄλλῳ τῳ ὑφίστανται ἐν ταῖς καθ' ὕπνον φαντασίαις, πολλαὶ μὲν ὄϊες, πολλαὶ δὲ καὶ αἶγες· ὧν δέρματα μὲν ἐκκέχυνται πρὸς τῇ κεφαλῇ, δέρματα δὲ παράκειται τοῖς ποσί· τὰ δὲ χορία, ἐκ δρυΐνων ξύλων ἕψεται πυρί· ὥσπερ αὖ καὶ αἱ ξηραὶ φηγοὶ χειμῶνος ὥρᾳ· οὐδὲ μᾶλλον φροντίζω τοῦ χειμῶνος, ἢ ὅσον ὁ νωδὸς καρύων, ἁπαλῆς αὐτῷ τροφῆς παρακειμένης ἐξ ἀμύλου.

---

τινος ἄλλου, ἕψουν· οἷός ἐστι καὶ ὁ Ἀλλᾶς. Ἄλλως· χορίας ὁ ὑμὴν ὁ ἐν τῇ γαστρὶ τῶν γυναικῶν περιέχον τὸ ἔμβρυον, ἔμβρυον δὲ τὸ ἔντινι τὴν τροφὴν ἔχον· οὕτως οὖν ἐκ μεταφορᾶς καταῦθα χορία ἂν εἴη τὰ ἐν ἑαυτοῖς ἔχοντα τὴν τροφήν· ἃ καί ἔμβρυα λέγοιντ' ἄν. 20. Ὥραν, φροντίδα, φησὶ, χειμῶνος τοσαύτην ἔχω, ὅσην οὐδὲ νωδὸς τῶν καρύων (ἃ οὐ δύναται τρώγειν), ὁπότε παρείη αὐτῷ μάζα μαλακὴ ἐξ ἀμύλου· ἄμυλος δὲ τὸ μὴ διὰ μύλου γενόμενον ἄλευρον, ἀλλὰ διὰ σήψεως σίτου πρῶτον ἐκπιεσθὲν εἰς χυ-

Τοῖς μὲν ἐπεπλατάγησα, καὶ αὐτίκα δῶρον ἔδωκα,
Δάφνιδι μὲν κορύναν, τάν μοι πατρὸς ἔτραφεν ἀγρὸς,
Αὐτοφυᾶ, τὰν οὐδ᾽ ἂν ἴσως μωμάσατο τέκτων·
Τήνῳ δὲ στρόμβω καλὸν ὄστρακον, οὗ κρέας αὐτὸς
Σιτήθην, πέτραισιν ἐν Ἰκαρίαισι δοκεύσας,
Πέντε ταμὼν πέντ᾽ οὖσιν· ὁ δ᾽ ἐγκαναχήσατο κόχλῳ.
Βωκολικαὶ Μῶσαι, μάλα χαίρετε, φαίνετε δ᾽ ᾠδὰν,
Τάν ποκ᾽ ἐγὼ τήνοισι παρὼν ἄεισα νομεῦσι·
Μηκέτ᾽ ἐπὶ γλώσσας ἄκρας ὀλοφυγδόνα φύσῃς·
Τέττιξ μὲν τέττιγι φίλος, μύρμακι δὲ μύρμαξ,
Ἴρηκες δ᾽ ἴρηξιν· ἐμὶν δ᾽ ἁ Μῶσα καὶ ᾠδά.
Τᾶς μοι πᾶς εἴη πλεῖος δόμος· οὔτε γὰρ ὕπνος,
Οὔτ᾽ ἔαρ ἐξαπίνας γλυκερώτερον, οὔτε μελίσσαις
Ἄνθεα, ὅσσον ἐμὶν Μῶσαι φίλαι· οὓς γὰρ ὁρεῦντι
Γαθεῦσαι, τώσδ᾽ οὔτι ποτῷ δαλήσατο Κίρκα.

---

λὸν, ἔπειτα δὲ ξηρανθὲν ἐν τῷ ἡλίῳ, καὶ ἐκτριβὲν εἰς λεπτότατον. 22. Ἐπεπλατάγησα] συνέκρουσα τὰς χεῖρας. Λέγει δὲ ταῦτα αὐτὸς Θεόκριτος. 23. Κορύνην] ῥόπαλον. διαφέροιεν δ᾽ ἄν, ὅτι ἡ μὲν κεφαλὴν σφαιρικὴν ἔχει κατὰ τὴν ἑτέραν τῶν ἀρχῶν· τὸ δὲ ἠρέμα προϊὸν, τὸ ἑαυτοῦ πάχος αὔξει. 25. Στρόμβῳ] Κοχλίας ὁ στρόμβος, οὐ μᾶλλον ἡδὺς διὰ τὸ κοχλιῶδες σχῆμα, ἢ καὶ θαυμαστὸς διὰ μέγεθος· πέντε γὰρ τὸ κρέας αὐτοῦ μερισάμενοι, ἐχορτάσθησαν. 27. Ἐγκαναχήσατο] καναχῶ, σφοδρῶς γελῶ. 28. Βωκολικαὶ Μοῦσαι] τίς ταῦτα ᾄδει, πότερον, Μενάλκας, ἢ ὁ ποιητής; ὁ Μενάλκας ἔοικεν, ὑπὸ τῆς χαρᾶς ἐπαρθείς. Εἰδὲ ἐν τῷ, Τήνοισι, (ἴδε ἐν τῷ ἑπομένῳ στίχῳ] ἐννοοῖμεν Δάφνιν καὶ Μενάλκαν, ἔστω ὁ ποιητής. 30. Ὀλοφυγδόνα φύσῃς.] ὀλοφυγδὼν καὶ ὀλοφλυκτὶς λέγεται φύσκα τὶς, ἢ φλυκταίνα ἐν γλώσσῃ ἀναφυομένη· τὸδὲ Φύσῃς πρὸς τίνα ἀποτείνεται; πότερον, πρὸς τὸν Δάφνιν, ἢ πρὸς τὴν Μοῦσαν, ἄδηλον. 34. Ἐξαπίνης] εἰ πρὸ καιροῦ καὶ αἴφνης παρείη. 36. Ὁρεῦντι γαθεῦσαι] ὁρῶσι γηθοῦσαι· εὕρηται δὲ καὶ Ὁρῶσαι γηθεῦσιν.—Τώσδ᾽] τούτους. 36. Κίρκα.] Κίρκη ὑποδεξαμένη, τοὺς ἑταίρους τοῦ Ὀδυσσέως. καὶ φαρμάξασα αὐτοὺς κυκεῶνι, εἶτα θέλξασα ῥάβδῳ, μετέβαλε πάντας ἐς χοίρους, καὶ καθεῖρξε τοῖς συφεοῖς, κρανείοις τρέφουσα Ὁμ. Ὀδ. Κ΄. στίχ. 234.

Τούτοις οὖν ἐγὼ ἐπεκρότησα τὰς χεῖρας, καὶ ἀπέδωκα Δάφνιδι μὲν κορύνην· ἣ αὐτοφυὴς ἐν τῷ πατρῴῳ μοι ἀναβεβλαστήκει ἀγρῷ, ἣν οὐδὲ τέκτων καταμέμψαιτ' ἂν δικαίως· τῷ δ' αὖ Μενάλκᾳ, ὄστρακον καλὸν ἐπιδέδωκα στρόμβου· οὗ τὸ κρέας ἐγὼ, ὑπὸ πέτραις ἐν τῷ Ἰκαρίῳ ἑλὼν πελάγει, πρὸς τέσσαρας ἄλλους ἐπιμερισάμενος παρόντας, σεσίτημαι· Μενάλκας δ' ἥδιστα διατεθεὶς τῷ κόλχῳ, ἐπεγέλασεν ὡς μέγα.

Βουλολικαὶ χαίρετε Μοῦσαι, χαίρετέ μοι μάλα· ἀναμέμνησθε δέ μοι, ἣν ἐγὼ παρὼν τοῖς νομεῦσιν ἐκείνοις ἦσά ποτε ᾠδήν· μηκέτι φύσῃς ἐπὶ τῆς γλώσσης ὀλοφλυκτίδα· τέττιγι μὲν γὰρ φίλος τέττιξ, μύρμηκί τε μύρμηξ, καὶ ἱέρακι ἱέραξ· ἐμοὶ δὲ φίλα μόνα Μοῦσα καὶ ᾠδή· ἧς γένοιτό μοι ἐμπλησθῆναι τὴν οἰκίαν πᾶσαν· οὔτε γὰρ ὕπνος, οὔτε ἔαρ γένοιτ' ἂν γλύκιον, οὔτε μελίσσαις αὐταῖς ἄνθη πάντα, ὅσον ἔμοιγε Μοῦσαι, φίλαι· οὓς γὰρ αὗται ὁρῶσιν εὐμενῶς, τούτους οὐκ ἂν καταθέλξειεν ἡ Κίρκη, φαρμάξασα κυκεῶνι.

---

» Ἐν δέ σφιν τυρόν τε καὶ ἄλφιτα καὶ μέλι χλωρὸν  
» Οἴνῳ Πραμνείῳ ἐκύκα· ἀνέμισγε δὲ σίτῳ  
» Φάρμακα λύγρ', ἵνα πάγχυ λαθοίατο πατρίδος αἴης.  
» Αὐτὰρ ἐπεὶ δῶκέν τε καὶ ἔκπινον, αὐτίκ' ἔπειτα  
» Ῥάβδῳ πεπληγυῖα κατὰ συφερτὸν ἐέργνυ.  
» Οἱ δὲ συῶν μὲν ἔχον κεφαλὰς, φωνήν τε, τρίχαν τε,  
» Καὶ δέμας, αὐτὰρ νοῦς ἦν ἔμπεδος, ὡς τὸ πάρος περ.  
» Ὡς οἱ μὲν κλαίοντες ἐέρχατο.

Ἀλλ' οὐκ ἠδυνήθη μεταβαλεῖν καὶ τὸν σώφρονα Ὀδυσσέα· ἀνασείσαντος γὰρ τὸ μέγα ξίφος ἐπ' αὐτὴν, ὥστε κτάμεναι μενεαίνων.

» Ἡ δὲ μέγα ἰάχουσα, ὑπέδραμε, καὶ λάβε γούνων,  
» Καὶ μ' ὀλοφυρομένη, ἔπεα πτερόεντα προσηύδα.

Ἦν γὰρ Ὀδυσσεὺς ἀνὴρ ἀκαταπόνητος μὲν πόνοις, ἄκαμπτος δ' ἡδοναῖς· διὸ καὶ καταθέλξαι αὐτὸν οὐ δεδύνηται· τοὺς δ' ἑταίρους αὐτοῦ ἀνοήτους ὄντας καὶ ἀπερισκέπτους μετέβαλεν εὐθὺς τῷ ποτῷ εἰς θηρία.

## ΥΠΟΘΕΣΙΣ.

Επιγραφεται μὲν τὸ εἰδύλλιον Ἐργατίναι ἢ Θερισταί· ἄδηλον δὲ, ἐν ᾧ χωρίῳ διάκεινται τὰ πράγματα. Μίλων δέ ἐστι καὶ Βάττος ἐν τῷ θερίζειν προσδιαλεγόμενοι ἀλλήλοις· ἐρᾷ δὲ ὁ Βάττος Βομβύκας αὐλητρίδος, Μολυβώτου τινὸς εἴτε θεραπαινίδος, εἴτε θυγατρός· καὶ ἐπὶ τούτῳ ὁ Μίλων θερίζων, αὐτὸν ὡς βραδέως θερίζοντα ἔσκωπτε. Τοῦ δὲ Βάττου τὴν αὐτοῦ δυσθυμίαν εἰπόντος, ὅτι Βομβύκας ἐρῶ, καὶ διὰ τοῦτο κάμνω τὴν ψυχὴν, ὁ Μίλων προσπαίζων αὐτῷ, τὴν φίλην αὐτοῦ μάντιν καλαμαίαν φησὶν, ἐπεὶ καὶ μέ-

# ΕΡΓΑΤΙΝΑΙ Η ΘΕΡΙΣΤΑΙ.

## ΕΙΔΥΛΛΙΟΝ Ι΄.

### ΜΙΛΩΝ ΚΑΙ ΒΑΤΤΟΣ.

Εργατινα βουκαῖε, τί νῦν, ὦ 'ζυρὲ, πεπόνθης;
Οὔτε τὸν ὄγμον ἄγειν ὀρθὸν δύνᾳ, ὡς τὸ πρὶν ἆγες·
Οὔθ' ἅμα λαιοτομεῖς τῷ πλατίον, ἀλλ' ὑπολείπῃ,

1. Ἐργατίνα βουκαῖε] ὡς μὲν νῦν θερίζων ἐργάτης, ὡς δὲ γεωργὸς καλεῖται βουκαῖος, καὶ βοῦκος, κἀντεῦθεν βῶκος.—Ὦ 'ζυρὲ] τὸ δὲ τέλειον, ὦ οἰζυρέ· εἰ δὲ λέγοιμεν ἄνευ τοῦ Ω κλητικοῦ, Ὀϊζυρὲ, γραφέσθω, Ὠζυρέ· ὅ ἐστι ταλαίπωρε.—Πεπόνθης] οὕτω καὶ ἤδης καὶ ἄλλα (στίχ. 38.) κατὰ τὴν

λαινα καὶ ἀνάκωλος. Βάττος δ᾽ ἐπὶ τούτοις μὴ μεγαλοῤῥημονῶν ἔφη αὐτῷ, τυφλὸν οὐ μόνον τὸν Πλοῦτον εἶναι, ἀλλὰ καὶ τὸν Ἔρωτα. Ἔπειτα δὲ παρακληθεὶς ὑπὸ Μίλωνος εἰς τὴν ἐρωμένην αὐτοῦ, ᾖσεν ᾠδήν, ἣν ὁ Μίλων διαπαίξας, ἑτέραν αὐτὸς ἀναβάλλεται, περιέχουσαν τὰ περὶ τοῦ Λιτυέρσου τοῦ θείου, ὃν Ἡρακλῆς ἀνεῖλε, πολλοὺς ἀναιροῦντα ἐν τῷ θερίζειν. Ἐπὶ τέλει δὲ παραινεῖ αὐτῷ τοιαῦτα δεῖν ᾄδειν τοὺς ἐργάτας, τὸν δ᾽ αὐτοῦ ἔρωτα διηγεῖσθαι τῇ μητρὶ κατὰ τὸν ὄρθρον. Προλογίζει Μίλων.

# ΕΡΓΑΤΙΝΑΙ Η ΘΕΡΙΣΤΑΙ

## ΕΙΔΥΛΛΙΟΝ Ι΄.

### ΜΙΛΩΝ ΚΑΙ ΒΑΤΤΟΣ.

Ἐργατα ἀροτὴρ, τί ποτε νῦν, ὦ τάλαν, τυγχάνεις πεπονθώς; μήτε γὰρ τὸν ὄγμον οἷός τε εἶ, ὥσπερ πρότερον διευθύνειν, μήτε μὴν ἀμῶν, ἰσοζυγεῖς τῷ παραστάτῃ, ἀλλ᾽

ἀρχαίαν γλῶσσαν ἐν ὑπερσυντελικῷ χρόνῳ ἀντὶ τοῦ ἐπεπόνθεις καὶ ᾔδεις. 2. Ὄγμον.] στιχηδὸν χωρούντων τῶν θεριστῶν, ἔστιν ἑκάστῳ πλάτος τοῦ ἔργου ἴσον· καὶ τοῦτό φησιν ἐνταῦθα ὄγμον, τὸν στίχον· ὃ νῦν ἡ συνήθεια τὸν Ἔργον ἀρσενικῶς ὀνομάζει. 3. Λαιοτομεῖς] τὸ λαῖον, ἢ λήϊον τέμνεις, θε-

Ὥςπερ ὄϊς ποίμνας, τᾶς τὸν πόδα κάκτος ἔτυψεν.
Ποῖός τις δείλαν τὺ καὶ ἐκ μέσω ἄματος ἐσσῆ,
Ὅς νῦν ἀρχόμενος τᾶς αὔλακος, οὐκ ἀποτρώγεις;

ΒΑΤΤΟΣ.

Μίλων ὀψαμάτα, πέτρας ἀπόκομμ' ἀτεράμνω,
Οὐδαμά τοι συνέβα ποθέσαι τινὰ τῶν ἀπεόντων;

ΜΙΛΩΝ.

Οὐδαμά· τίς δὲ πόθος τῶν ἔκτοθεν ἐργάτᾳ ἀνδρί;

ΒΑΤΤΟΣ.

Οὐδαμά νυν συνέβα τοι ἀγρυπνῆσαι δι' ἔρωτα;

ΜΙΛΩΝ.

Μηδέ γε ξυμβαίη· χαλεπὸν χορίω κύνα γεῦσαι.

ΒΑΤΤΟΣ.

Ἀλλ' ἐγὼ, ὦ Μίλων, ἔραμαι σχεδὸν ἑνδεκαταῖος.

ΜΙΛΩΝ.

Ἐκ πίθω ἀντλεῖς δῆλον· ἐγὼ δ' ἔχω οὐδ' ἅλις ὄξος.

ΒΑΤΤΟΣ.

Τοιγάρτοι πρὸ θυρᾶν μευ ἀπὸ σπόρω ἄσκαλα πάντα.

---

ρίζεις. 4. Κάκτος] θάμνος τις ἀκανθωτός. 5. Δείλαν] δείλη ἔοικεν εἶναι· τὸ τῆς ἡμέρας διάστημα ἀπὸ πληθούσης ἀγορᾶς μέχρι βουλυτοῦ· διῄρουν δὲ τοῦτο τριχῇ εἰς δείλην ἑώαν, εἰς μεσημβρινὸν θάλπος, καὶ εἰς δείλην ὀψίαν. 6. Οὐκ ἀποτρώγεις] οὐκ ἐλαττοῖς τὸ ἀθέριστον, προστιθεὶς τῷ τεθερισμένῳ. 7. Ὀψαμάτα] παρὰ τὸ ὀψὲ καὶ ἀμᾶσθαι, ὁ μέχρις ὀψὲ ἀμώμενος. 11. Χαλεπὸν χορίω κύνα γεῦσαι.] παροιμία ἐπὶ τῶν γευσαμένων μὲν ἑφθοῦ τινος, δυσαποσπάστως δ' ἀπὸ τῆς συνηθείας ἐχόντων, ὃ καὶ ἄλλως ἐκφέρεται· χαλεπὸν, φασὶ, μαθοῦσα κύων σκυτοφαγεῖν, ὅ ἐστι χοριοφαγεῖν·

ὑπολείπῃ ἀεὶ, καθάπερ ὄϊς, ἧς ἂν τῷ ποδὶ ἐμπαγῇ τις τῶν ἀκανθῶν, καθυστερεῖ τῆς ποίμνης· ποῖος γὰρ ἔσῃ, μεσουρανοῦντος τοῦ ἡλίου, ὃς νῦν ἔτι ἀρχόμενος τοῦ ὄγμου, οὐ προστίθης τι αὐτοῦ μάλιστα τῷ τεθερισμένῳ;

ΒΑΤΤΟΣ.

Μίλων, ὃς ἐς ὀψίαν ὑπερτείνεις τοὺς πόνους, ὥσπερ ἂν εἰ ἀπὸ σκληρᾶς ἐξέφυς πέτρας, οὐ συνέβη σοί ποτε ἁλῶναι ἔρωτί τινος τῶν μὴ παρόντων;

ΜΙΛΩΝ.

Οὐδέ ποτ' ἔμοιγε· τίς γὰρ ἔρως τῶν ἀπόντων ἀνδρὶ ἐργάτῃ;

ΒΑΤΤΟΣ.

Οὐδέ ποτε συνέβη σοι ἐξ ἔρωτος ἐν ἀπορίᾳ εἶναι;

ΜΙΛΩΝ.

Μηδὲ συμβαίη μοί ποτε· χαλεπὸν γὰρ κυνὶ χορίου γεύσασθαι.

ΒΑΤΤΟΣ.

Ἀλλ' ἐγὼ, ὦ βέλτιστε Μίλων, ἐρῶ ἑνδεκάτῃ ἡμέρᾳ τῇδε.

ΜΙΛΩΝ.

Δῆλον ὅτι ἐκ πίθου ἄφθονον ἀντλεῖς· ἐμοὶ οὐδ' ὄξος πρόσεστιν ἅλις.

ΒΑΤΤΟΣ.

Ἐκ δὲ τούτου μήτε τὰ πρὸ τῶν θυρῶν μοι τῆς προσηκούσης μετὰ τὸν σπόρον σκαλείας τετύχηκε.

---

ἴδε ἀνωτέρω Εἰδ. Θ'. στίχ. 19.—13. Ἐκ πίθου ἀντλεῖς] παροιμία ἐπὶ τῶν εὐτυχῶς καὶ ἐν περιουσίᾳ ζώντων. ὥστε καὶ εἰς ἔρωτας ἐντεῦθεν ἐκτρέπεσθαι· πρὸς ὃ ἀπαντῶν ὁ Βάττος, φησίν· ἦν μέν μοι ποτὲ εὐτυχῆ· νῦν δὲ διὰ τοὺς ἔρωτας οὐ μόνον τὰ πόῤῥω ἠμέληταί μοι, ἀλλὰ καὶ τὰ πλησίον· ἐξ οὗ γὰρ ἔσπειρα αὐτὰ, οὐκέτι ἐθεράπευσα. Τὸ δὲ Σπόρῳ, σποδῷ τις ἀξιοῖ γρά-

ΜΙΛΩΝ.

Τίς δέ τυ τᾶν παίδων λυμαίνεται;

ΒΑΤΤΟΣ.

Ἁ Πολυβώτα,

Ἃ πρὰν ἀμώντεσσι παρ' Ἱπποκόωντι ποταύλει.

ΜΙΛΩΝ.

Εὗρε θεὸς τὸν ἀλιτρόν· ἔχεις πάλαι, ὧν ἐπεθύμεις.
Μάντις τοι τὰν νύκτα χροΐξεται ἁ καλαμαία.

ΒΑΤΤΟΣ.

Μωμᾶσθαι μ' ἄρχῃ τύ. τυφλὸς δ' οὐκ αὐτὸς ὁ Πλοῦτος,
Ἀλλὰ καὶ ὠφρόντιστος Ἔρως. μηδὲν μέγα μυθεῦ.

ΜΙΛΩΝ.

Οὐ μέγα μυθεῦμαι· τὺ μόνον κατάβαλλε τὸ λαῖον,
Καί τι κόρας φιλικὸν μέλος ἀμβάλευ· ἅδιον οὕτως
Ἐργαξῇ· καὶ μὰν πρότερόν ποκα μουσικὸς ἦσθα·

ΒΑΤΤΟΣ.

Μῶσαι Πιερίδες, συναείσατε τὰν ῥαδινάν μοι
Παῖδ'· ὧν γάρ χ' ἅψησθε, θεαὶ, καλὰ πάντα ποιεῖτε.
  Βομβύκα χαρίεσσα, Σύραν καλέοντί τυ πάντες,

---

φεσθαι. 16. Ἱπποκόωντι] ἴδε ἀνωτέρω. Εἰδ. ς'. στίχ. 41.—17. Εὗρε
θεὸς τὸν ἀλιτρὸν] ὡς παροιμιώδη καὶ ταῦτα· ὧν ἔπραξας, δέδωκας δίκην,
καὶ ὧν ἐπεθύμεις πάλαι κακῶν, ἔχεις νῦν· ὅμοιον τοῦτο τῷ, ἀπέτισας, χοῖ-
ρε, ἃ κατέφαγες γίγαρτα· ἰδού, φησὶ, συνευνασθήσεταί σοι ἡ καλαμαία
Μάντις· ἔστι δέ τι ἀκρίδος εἶδος μακροὺς τοὺς ἐμπροσθίους ἐχούσης τῶν ποδῶν
Μάντις καλουμένης καλαμαία· ᾗ τὴν τοῦ Πολυβώτου ἀπεικάζει κόρην ὡς
ἐπικαλαμωμένην καὶ αὐτήν. 21. Κατάβαλε τὸ λαῖον] λαῖον, ὅθεν δια-

ΜΙΛΩΝ.

Ἀλλὰ τίς σε τῶν παίδων τήκει;

ΒΑΤΤΟΣ.

Ἡ τοῦ Πολυβώτου· ἣ πρῴην προσηύλει τοῖς ἀμῶσι παρὰ τῷ Ἱπποκόωντι ποταμῷ.

ΜΙΛΩΝ.

Ἔχει τοίνυν ὁ θεὸς τὸν ἀλιτήριον· ἀπέτισας γὰρ ἤδη, ἃ κατέφαγες γίγαρτα· ἥξει δέ σοι νυκτὸς ἡ καλαμαία Μάντις συνευνασθησομένη.

ΒΑΤΤΟΣ.

Σὺ τοίνυν ἤρξω με καταμέμφεσθαι· ἀλλ᾽ εἰδὼς μὴ μόνον τὸν πλοῦτον τυφλὸν ὄντα, ἀλλὰ καὶ αὐτὸν τὸν ἀπερίσκεπτον ἔρωτα, μηδὲν περὶ σεαυτοῦ μέγα λέγε.

ΜΙΛΩΝ.

Οὐκ ἂν ἔγωγε· σὺ δὲ νῦν καταβαλὼν, ὃ φέρεις ἐν χερσὶ δρέπανον, ἀναβαλοῦ ἡμῖν μέλος τι ἐρωτικὸν τῆς κόρης· ἥδιστον γὰρ τοῦτ᾽ ἂν ἡμῖν ποιήσαις· καὶ γὰρ ἴσμεν σὲ πάλαι ποτὲ μουσικὴν τέχνην ἐς τὸ τέλειον ἠσκηκότα.

ΒΑΤΤΟΣ.

Μοῦσαι Πιερίδες, συνυμνήσατέ μοι καὶ ὑμεῖς τὴν εὐτράπελον καὶ χαρίεσσαν παρθένον· ὧν ἂν γὰρ ὑμεῖς, ὦ θεαὶ, ἅψησθε, πάντα καλὰ ποιεῖτε. — Βομβύκα χαρίεσσα, πάντες σε κα-

---

λύσει γίγνεται τὸ λήϊον· πότερον δὲ, τὸ δρέπανόν φησιν ἐνταῦτα, ἢ ὁ τοῦ ληΐου φέρει ἐν τῇ δρακὶ δράγμα; ἐγὼ μὲν τὸ πρῶτον οἶμαι. 26. Σύραν]

Ἰσχνὰν, ἁλιόκαυστον· ἐγὼ δὲ μόνος μελίχλωρον.
Καὶ τὸ ἴον μέλαν ἐντὶ, καὶ ἁ γραπτὰ ὑάκινθος·
Ἀλλ' ἔμπας ἐν τοῖς στεφάνοις τὰ πρᾶτα λέγονται.
Ἁ αἴξ τὸν κύτισον, ὁ λύκος τὰν αἶγα διώκει,
Ἁ γέρανος τὤροτρον· ἐγὼ δ' ἐπὶ τὶν μεμάνημαι.
Αἴθέ μοι ἦσαν, ὅσα Κροῖσόν ποκα φαντὶ πεπάσθαι,
Χρύσεοι ἀμφότεροί κ' ἀνεκείμεθα τᾷ Ἀφροδίτᾳ·
Τὼς αὐλὼς μὲν ἔχοισα, καὶ ἢ ῥόδον, ἢ τύγε μᾶλον,
Σχῆμα δ' ἐγὼ καὶ καινὰς ἐπ' ἀμφοτέροισιν ἀμύκλας.
Βομβύκα χαρίεσσ', οἱ μὲν πόδες ἀστράγαλοι τεῦς,
Ἁ φωνὰ δὲ τρύχνα· τὸν μὰν τρόπον οὐκ ἔχω εἰπεῖν.

ΜΙΛΩΝ.

Ἦ καλὰς ἄμμε ποιῶν ἐλελήθη Βῶκος ἀοιδάς.
Ὡς εὖ τὰν ἰδέαν τᾶς ἁρμονίας ἐμέτρησεν.
Ὤ μοι τῶ πώγωνος, ὃν ἀλιθίως ἀνέφυσας.
Θᾶσαι δὴ καὶ ταῦτα τὰ τῶ θείω Λυτιέρσα.
  Δάματερ πολύκαρπε, πολύσταχυ, τοῦτο τὸ λαῖον
Εὔεργόν τ' εἴη καὶ κάρπιμον ὀττιμάλιστα.

---

μέλαιναν, παρὰ τὸ τοὺς Σύρους μέλανας εἶναι. 27. Μελίχλωρον] μέλιτος
χρωρότητα, ἢ χρῶμα ἔχουσαν· ἀποσεμνύει τὸ πάθος τῇ τοῦ μέλιτος ὁμοιότη-
τι. 28. Γραπτὰ] λέγουσι δὲ. ὅτι ἐπὶ τῆς Ὑακίνθου ἐστὶ γεγραμμένον Αἲ,
Αἲ, ἀπὸ τοῦ Αἴαντος· ἀφ' οὗ τοῦ αἵματος ἀνεφύη τὸ ἄνθος τοῦτο, 29.
Λέγονται] ἐκλέγονται μᾶλλον. 31. Τὤροτρον] ὁπότε οἱ ἄνθρωποι σπείρω-
σιν. 35. σχῆμα] τὶ ἄλλο σχῆμα, ἢ χορευτοῦ ἐν θεάτρῳ. 36. Ἀστράγα-
λοι καὶ τοῦτο ἄπορον· ἢ γὰρ εὔστροφοι, ὥσπερ φαίνονται κυλιόμενοι ἐν τοῖς
τῶν παίδων παιγνίοις, ἢ λευκοὶ ὡς τὰ ὀστᾶ τοῦ ἐλέφαντος. Ἡ δὲ φωνὴ αὐ-
τρυφερὰ, λιγεία, ἡδεία· τὴν δὲ τῆς ψυχῆς ἀρετὴν οὐδ' ἂν ἔχοιμι εἰπεῖν, οἷα.

καλοῦσι Σύραν, ἰσχνὴν, ἡλιόκαυστον· ἐγὼ δέ σε μόνον μελίχλωρον προσαγορεύω· καὶ γὰρ καὶ τὸ ἴον, καὶ ἡ γραπτὴ ὑάκινθος ὑπομέλανά εἰσιν· ἀλλὰ ταῦτα πρῶτα ἐκλέγεται ἐν τοῖς στεφάνοις· ἡ μὲν γὰρ αἶξ τὸν κύτισον διώκει· ὁ δὲ λύκος, τὴν αἶγα· ὁ γερανὸς δὲ τὸ ἄροτρον· ἐγὼ δὲ τῷ ἔρωτι ἐκείνης ἑάλων ὅλως. Εἴθε μοι εἴη τὰ Κροίσου τάλαντα κεκτῆσθαι· ἦ γὰρ ἂν ἀμφότεροι ἀνδριάντες ἐκ χρυσοῦ ἀνεκείμεθα τῇ Ἀφροδίτῃ, σὺ μὲν αὐλοὺς, ἢ ῥόδον, ἢ καὶ μῆλον φέρουσα ἐν χερσὶν, ἐγὼ δὲ σχῆμα χορευτοῦ καὶ καινὰς ἀμύκλας ἀμφοτέροις τοῖς ποσί. Βομβύκα χαρίεσσα, οἱ μὲν πόδες οἱ σοὶ ὡς εὐτράπελοι, καὶ ἡ φωνὴ λιγεῖα· τὸ δ' ἦθος αὖ τὸ σὸν τίς ἂν ἀξίως εἴποι;

### ΜΙΛΩΝ.

Ἐλελήθει ἄρ' ἡμᾶς ὁ Βῶκος καλῶς οὕτως ᾄδων· καὶ οὐκ ἴσμεν αὐτὸν τοιαύτην ἁρμονίαν ᾀσμάτων δυνάμενον ἀναβαλέσθαι· Ἀλλ' οἴμοι τοῦ πώγωνος τοῦ σοῦ, ὃν ἀνοήτως φέρεις! Θέασαι τοίνυν καὶ ταῦτ', εἰ τοιαῦτ' εἰσὶν, ἃ ἀναφέρεται πρὸς Λυτιέρσην ἐκεῖνον.

Δήμητερ πολύκαρπε, εὔκαρπε, εἴη μοι τὸ λήϊον τοῦτ' εὐεργές τε καὶ κάρπιμον ὅτι μάλιστα. Σφίγγεθ' ὑμεῖς, ὦ ἀμαλ-

---

38. Ἐλελήθη] ἀντὶ τοῦ Ἐλελήθει. ἴδε ἀνωτέρω στίχ. 10. ὁ δὲ λόγος μετ' εἰρωνείας. 41. Θαῦσαι] θέασαι· ἀντιτάττει δὲ ᾠδὴν, οἵαν ᾄσειεν ἂν ἀνὴρ αὐτουργὸς, μὴ διεφθαρμένος τὸν τρόπον. Λυτιέρσης υἱὸς ἦν τοῦ ἐν Φρυγίᾳ Μίδου, ἀναγκάζων τοὺς παριόντας θερίζειν αὐτῷ τὰ λήϊα· εἶτα δὲ καὶ φονεύων· ὅθεν φονεύεται ὑφ' Ἡρακλέως· οἱ δὲ Φρύγες ᾖδον αὐτῷ ᾠδὰς γεωργικὰς, ὡς ἐπιμελομένῳ γεωργίας· Ἐκ τούτων οὖν πλάττεται καὶ ἡ παροῦσα.

Σφίγγετ', ἀμαλλοδέται, τὰ δράγματα, μὴ παριὼντις
Εἴπῃ, σύκινοι ἄνδρες, ἀπώλετο χ' οὗτος ὁ μισθός.
Ἐς βορέην ἄνεμον τᾶς κόρθυος ἁ τομὰ ὔμμιν,
Ἢ ζέφυρον βλεπέτω. πιαίνεται ὁ στάχυς οὕτως.
Σῖτον ἀλιῶντας φεύγεν τὸ μεσαμβρινὸν ὕπνον·
Ἐκ καλάμας ἄχυρον τελέθει τᾶμος δὲ μάλιστα.
Ἄρχεσθαι δ' ἀμῶντας ἐγειρομένω κορυδαλλῶ·
Καὶ λήγειν, εὕδοντος· ἐλιννῦσαι δὲ τὸ καῦμα·
Εὐκτὸς ὁ τῶ βατράχω, παῖδες, βίος· οὐ μελεδαίνει
Τὸν τὸ πιεῖν ἐγχεῦντα· πάρεστι γὰρ ἄφθονον αὐτῷ.
Κάλλιον, ὦ 'πιμελητὰ φιλάργυρε, τὸν φακὸν ἕψειν·
Μὴ 'πιτάμῃς τὰν χεῖρα καταπρίων τὸ κύμινον.
Ταῦτα χρὴ μοχθεῦντας ἐν ἁλίῳ ἄνδρας ἀείδεν·
Τὸν δὲ τεὸν, Βουκαῖε, πρέπει λιμηρὸν ἔρωτα
Μυθίσδεν τᾷ ματρὶ κατ' εὐνὰν ὀρθρευοίσᾳ.

---

44. Ἀμαλλοδέται] ἀμάω, παρὰ τὸ Ἀμάλη τὸ δράγμα καὶ δεῖν, ἀμαλλοδέτης ὁ δέων τὰ δράγματα. 45. Σύκινοι] κοῦφοι, αὗοι, ὡς ἡ συκή· ὥσπερ καὶ Ὅμηρος τὸ, Πέπονες. 46. Τῆς κόρθυος ἡ τομὴ] τοῦ θημῶνος, ἢ τοῦ σωροῦ ἡ τομὴ ἔξω πρὸς βοῤῥᾶν, ἢ ζέφυρον βλεπέτω· οἷον, λαβὼν δρέπανον ἐν τῇ δεξιᾷ, τέμνε τὸν σίτον δεξιόθεν ἀρχόμενος, καὶ πρὸς τὸ εὐώνυμον χωρῶν· πληρωθείσης δὲ τῆς χειρὸς, ἄφες αὐτοῦ τὸ δράγμα κατὰ τὸν ἀριστερὸν τοῦ ὄγμου ὅρον· τούτου δὲ γενομένου μέχρι τέλους, οἱ ἀμαλλοδέται, συνάγοντες τὰ δράγματα ἀνὰ πεντήκοντα μάλιστα, δεσάτωσαν εἰς ἀμάλλας· εἶθ' οὕτω τὰς ἀμάλλας ταύτας οἰκοδομήτωσαν εἰς θημῶνας κυλινδρικοὺς, τοὺς μὲν ἀστάχυς ἔσωθεν ἔχοντας ἐν τῷ ἀσφαλεῖ, τὴν δὲ τομὴν ἔξω πρὸς βοῤῥᾶν, ἢ πρὸς ζέφυρον· ἢ ὁπωσδήποτε. — Τᾶμος] οὕτως ἔγραψα ἀντὶ τοῦ Ταμός· ἔστι δὲ τὸ Τᾶμος δὲ ἀντὶ τοῦ 51. Ἐλιννύσαι δὲ τὸ καῦμα] τὸ δ' ὅλον οὕτως· ἀμῶντας μὲν ἀποφεύγειν τὸ μεσημβρινὸν θάλπος· ἀλοοῦντας δὲ, τοῦτο αὐτὸ φυλάττειν.

λοδέται, τὰ δράγματα, ἵνα μή τις παριὼν εἴπῃ, πέπονες οἱ ἄνδρες οὗτοι, καὶ ὁ μισθὸς μάτην αὐτοῖς ἔῤῥιπται οὕτως· Ἡ τομὴ τοῦ θημῶνος πρὸς βορέαν ἄνεμον, ἢ πρὸς ζέφυρον τραπέσθω· οὕτω γὰρ ὁ στάχυς ἐμπνεόμενος πιαίνεται μάλιστα. Ἐπειδὰν δ᾽ ἀλωᾶτε, φεύγειν χρὴ τὸν μεσημβρινὸν ὕπνον· τηνικαῦτα γὰρ ἡ κάλαμος εἰς ἄχυρον ἐκτρίβοιτ᾽ ἂν μάλιστα· ἀμητοῦ δ᾽ ἄρχεσθαι, ἐγειρομένου κορυδαλλοῦ· παύεσθαι δὲ, ἐκείνου τρεπομένου εἰς ὕπνον· ὁπότε δὲ τὸ καῦμα κράτιστόν ἐστιν ἑαυτοῦ, ἡσυχίαν ἀπὸ τῶν πόνων ἄγειν· Ἔμοιγε δ᾽ οὖν, ὦ παῖδες, ὁ τῶν βατράχων βίος δοκεῖ εὐδαιμονέστερος εἶναι· οὐδεμία γὰρ αὐτοῖς φροντὶς, εἴτις σφίσιν ἐγχέοι ὕδωρ, ἐς ἀφθονίαν αὐτοῖς περικεχυμένου· Ἀλλὰ σοί γε, ὦ ἐπιστάτα φιλάργυρε, ἄμεινον ἂν εἴη ἕψειν φακὸν, ἵνα μὴ καταπρίων τὸ κύμινον, τὴν χεῖρα διατέμῃς.

Τοιαῦτ᾽, ὦ Βῶκε, χρὴ ἄνδρας ἐν ἡλίῳ ἀμῶντας ᾄδειν· τὸν δὲ σαυτοῦ, ὦ πέπον, πειναλέον Ἔρωτα, ἴθι τῇ σαυτοῦ μητρὶ, ὁπότ᾽ ἐγείρεται τῆς κλίνης, ᾀσόμενος·

---

ἵν᾽ ἡ καλάμη πυρωθεῖσα, ἐκτρίβεται μάλιστα. 54. Τὸν Φακὸν ἕψειν] παραβάλλει τὸν βίον τῶν βατράχων πρὸς τὸν τῶν θεριστῶν, καὶ συνάγει τὸ κρεῖττον ἐκείνοις, ὡς ἐν ἀφθόνοις μὲν τοῖς ὕδασι διαιτωμένοις, αὐτοὺς δὲ ὑπὸ φιλαργύρῳ ἐπιμελετῇ πεινῶντας. 55. Κύμινον] παροιμία ἐπὶ τῶν πάνυ φειδωλῶν, οὓς καὶ κυμινοπρίστας καλοῦσιν· ὁ δὲ φακὸς καὶ οὗτος τὸ φειδωλὸν ἐννοεῖ, ἵνα μὴ εἴπῃ κρέα, ἢ ἄλλο τι· ὅθεν, πρόσχες, φησί, μὴ διελὼν τὸ κύμινον εἰς δύο ἐκ φειδωλίας, διατέμῃς τὸν δάκτυλον. 58. Ὀρθρευοίσᾳ] ὀρθρευούσῃ· ὅταν κατ᾽ ὄρθρον ἐγείρεται ἀπὸ τῆς κοίτης.

## ΥΠΟΘΕΣΙΣ

ΥΠΟΚΕΙΤΑΙ ὁ Κύκλωψ, παρηγορῶν ἑαυτοῦ τὸν ἐπὶ Γαλατείᾳ ἔρωτα δι' ᾠδῆς. Προσδιαλέγεται δὲ ὁ Θεόκριτος ἰατρῷ Νικίᾳ, Μιλησίῳ τὸ γένος, ὅς συμφοιτητὴς γέγονεν Ἐρασιστράτου, ἰατροῦ ὄντος καὶ αὐτοῦ. Μέμνηται δὲ τοῦ Νικίου καὶ ἀλλαχοῦ ὁ Θεόκριτος.

ἌΛΛΩΣ.

Ὑπόθεσις τοῦ πράγματος. Ὑπόκειται Πολύφημος ὁ Κύκλωψ ἐρῶν τῆς Γαλατείας, καὶ ποιῶν τὸν ἐπὶ τῇ Γαλατείᾳ

# ΚΥΚΛΩΨ.

## *ΕΙΔΥΛΛΙΟΝ ΙΑ΄.*

ΟΥΔΕΝ ποττὸν ἔρωτα πεφύκει φάρμακον ἄλλο,
Νικία, οὔτ' ἔγχριστον, ἐμὶν δοκεῖ, οὔτ' ἐπίπαστον,
Ἢ ταὶ Πιερίδες. κοῦφον δέ τι τοῦτο καὶ ἁδὺ
Γίνετ' ἐπ' ἀνθρώποις· εὑρεῖν δ' οὐ ῥᾴδιον ἐντί.
Γινώσκεν δ' οἶμαί τυ καλῶς, ἰατρὸν ἐόντα,
Καὶ ταῖς ἐννέα δὴ πεφιλαμένον ἔξοχα Μοίσαις.

2. Ἔγχριστον καὶ ἐπίπαστον] διαφέροιεν ἂν τὰ καταπλάσματα ταῦτ' ἀλλήλων, ᾗ τὸ μέν ἐστιν ὑγρὸν, τὸ δὲ ἐπίπαστον, ξηρότερον. 3. Πιερίδες]

## ΤΟΥ ΙΑ΄. ΕΙΔΥΛΛΙΟΥ.

ἔρωτα δι' ᾠδῆς. Προσδιαλέγεται δὲ ὁ Θεόκριτος ἰατρῷ Νικίᾳ Μιλησίῳ τὸ γένος, οὗ καὶ ποιημάτιον φέρεται ἀντιγεγραμμένον ὑπὸ Θεοκρίτου Κύκλωπος, οὗ ἡ ἀρχή.

Ἦν ἄρ' ἀληθὲς τοῦτο, Θεόκριτε· οἱ γὰρ Ἔρωτες Πολλοὺς ποιητὰς ἐδίδαξαν τοὺς πρὶν ἀμούσους. Ἐπιγέγραπται δὲ Κύκλωψ ἢ Γαλάτεια. Γέγονε δὲ συμφοιτητὴς Ἐρασιστράτου Μιλησίου, ὡς φησὶ Διονύσιος ὁ Ἐφέσιος ἐν τῇ Ἰατρῶν ἀναγραφῇ.

# ΚΥΚΛΩΨ.

## *ΕΙΔΥΛΛΙΟΝ ΙΑ΄.*

Ουδεν, ὦ Νικία, φάρμακον, ἐμοὶ δοκεῖν, οὔτ' ἐπίχριστον, οὔτ' ἐπίπαστον, πρὸς ἔρωτας πέφυκεν· εἰμήτις εἴποι αὐτὰς τὰς Μούσας· τοῦτο δὲ καὶ ἄρασθαι κοῦφόν ἐστι, καὶ ἔχειν ἡδύ· ἀλλ' οὐ καὶ ῥᾴδιον τῷ παντὶ τυχεῖν τούτου· καί μοι δοκεῖς συνειδέναι, ὅ φημι, ἰατρὸς ὤν, καὶ ταῖς Μούσαις τὰ κράτιστα πεφιλημένος.

---

ἐκ τοῦ ὄρους Πιερία· ἔνθα διητῶντο αἱ Μοῦσαι· ἐννοεῖ δὲ τὴν παιδείαν, δι' ἧς ἔξεστι μάλιστα τὰ τοῦ ἔρωτος καταπαλαίειν πάθη τοὺς τῷ ὀρθῷ λόγῳ

Οὕτω γοῦν ῥάϊστα διᾶγ' ὁ Κύκλωψ ὁ παρ' ἁμῖν,
Ὡρχαῖος Πολύφαμος, ὄκ' ἤρατο τᾶς Γαλατείας,
Ἄρτι γενειάσδων περὶ τὸ στόμα τὼς κροτάφως τε·
Ἤρατο δ' οὔτι ῥόδοις, οὐ μάλοις, οὐδὲ κικίννοις,
Ἀλλ' ὀλοαῖς μανίαις· ἁγεῖτο δὲ πάντα πάρεργα.
Πολλάκι ταὶ ὄϊες ποτὶ ταὔλιον αὐταὶ ἀπῆνθον
Χλωρᾶς ἐκ βοτάνας· ὁ δὲ, τὰν Γαλάτειαν ἀείδων,
Αὐτῶ ἐπ' αἰόνος κατετάκετο φυκιοέσσας
Ἐξ ἀοῦς, ἔχθιστον ἔχων ὑποκάρδιον ἕλκος
Κύπριος ἐκ μεγάλας, ἅ οἱ ἥπατι πᾶξε βέλεμνον.
Ἀλλὰ τὸ φάρμακον εὗρε. καθεζόμενος δ' ἐπὶ πέτρας
Ὑψηλᾶς, ἐς πόντον ὁρῶν ἄειδε τοιαῦτα.

Ὦ λευκὰ Γαλάτεια, τί τὸν φιλέοντ' ἀποβάλλῃ;
Λευκοτέρα πακτᾶς ποτιδεῖν, ἁπαλωτέρα δ' ἀρνὸς,
Μόσχω γαυροτέρα, φιαρωτέρα ὄμφακος ὠμᾶς.
Φοιτῇς δ' αὖθ' οὕτως, ὄκκα γλυκὺς ὕπνος ἔχῃ με,
Οἴχῃ δ' εὐθὺς ἰοῖσα, ὄκα γλυκὺς ὕπνος ἀνῇ με.
Φεύγεις δ', ὥσπερ ὄϊς, πολιὸν λύκον ἀθρήσασα.
Ἠράσθην μὲν ἔγωγα τεοῦς, κόρα, ἁνίκα πρᾶτον
Ἦνθες ἐμᾷ σὺν ματρὶ, θέλοισ' ὑακίνθινα φύλλα

---

θέλοντας ἕπεσθαι. 7. Ὁ παρ' ἡμῖν] τοῖς Σικελιώταις· Συρακούσιος γὰρ ἦν Θεόκριτος, καὶ οἱ Κύκλωπες περὶ τὴν Αἴτναν διῆγον.—Γαλάτεια] θυγάτηρ Νηρέως καὶ Δωρίδος, ἐρασθεῖσα μὲν Ἄκιδος, μὴ ἐνδοῦσα δὲ παντάπασι τῷ τοῦ Κύκλωπος ἔρωτι· ἐπεὶ δὲ Ἄκις ἐφονεύθη, μίξασα τὰ ἑαυτῆς δάκρυα τῷ ἐκείνου αἵματι, ἐποίησεν ἐκ τούτων ποταμὸν Ἄκιν ὁμωνύμως καλούμενον. 10. Κικίννοις] τὸ οὖλον τῶν τριχῶν, ἤτοι φύσει, ἢ πλαστοῖς ὡς ἐκ τῶν βοστρύχων· βούλεται δὲ τούτοις δεῖξαι τὸν ἔρωτα οὐκ ἐλαφρὸν, οἷος

Οὕτω γὰρ καὶ Κύκλωψ, ὁ πολὺς παρ' ἡμῖν ἀρχαῖος ἐκεῖνος Πολύφημος, διῆγε τὸν βίον, ὁπότε πόθῳ Γαλατείας κεκράτηται, ἄρτι καθειμένος περὶ τὰς σιαγῶνας τὸ γένειον· Ἤρα δ' οὖν, οὐχ ὥστε ῥόδοις τε καὶ μήλοις, οὔτε μὴν βοστρύχων συστροφαῖς θεραπεύειν τὸ πάθος, ἀλλ' ὥσπερ ὑπὸ μανικοῦ τινὸς δαίμονος ἐλαυνόμενος, πάντα τἄλλα τιθέμενος δεύτερα· τὰ δὲ θρέμματα ἀφ' ἑαυτῶν πολλάκις ἀπὸ τῆς νομῆς ἐπὶ τοὺς σταθμοὺς ἐπανῆλθον ἐπὶ τῆς ἠϊόνος, ἕωθεν παρὰ τοῖς φυκίοις ἐκείνου τὴν Γαλάτειαν ἄ[illegible]ος, καὶ κατατηκομένου τῷ πάθει, οἷ[illegible]ελος ὑποκάρδιον ἐν τῷ ἥπατι αὐτοῦ ἐμπεπήγει, τοξευθὲν ὑπὸ τῆς Ἀφροδίτης· ἀλλά γε τελευτῶν εὕρατο φάρμακον νηπενθὲς, ἄχολον, κακῶν ἐπίληθον ἁπάντων· καθήμενος γὰρ ἐπὶ πέτρας περιόπτου, ὁρῶν πρὸς τὴν θάλασσαν, ἐμελῴδει τοιαῦτα πρὸς τὸ πάθος.

Ὦ καλλίστη μοι Γαλάτεια, τίποτ' ἄρ' ἀποφεύγεις με φιλοῦντα; σὺ γὰρ καὶ τυροῦ ἀρτιπήκτου λευκοτέρα ἰδεῖν, καὶ ἀρνὸς ἁπαλωτέρα, καὶ μόσχου φυῇ σεμνοτέρα, καὶ ὄμφακος ἁβροτέρα τε καὶ λειοτέρα· φοιτᾷς δ' ὡς ἐμὲ οὕτως ἔχουσα, ὁπότε με γλυκὺς καταλαμβάνει ὕπνος· Οἴχῃ δ' αὖ ἀπιοῦσα, ἅμ' ἐκείνου με καταλιπόντος· φεύγεις δ' οὕτως, ὥσπερ ὄϊς λευκὸν ἰδοῦσα λύκον· Ἠράσθην δ' οὖν ἔγωγέ σου, ὦ παρθένε, ἡνίκα πρῶτον ἦλθες μετὰ τῆς ἐμῆς μητρὸς ἐς τὸ ὄρος, φύλλα ὑακίνθου δρεψαμένη, ἐγὼ δὲ ἡγούμην σοι πρὸς

---

ἂν εἴη ὁ ἐκ ῥόδων καὶ τῶν τοιούτων, ἀλλ' ὅλως μαινόμενος ἐξ ἀρχῆς. 17. Εὗρε φάρμακον] παρὰ τῶν Μουσῶν τὸ ᾄδειν· 21. Φιαρωτέρα] τὸ τρυφε-

Ἐξ ὄρεος δρέψασθαι· ἐγὼ δ' ὁδὸν ἁγεμόνευον.
Παύσασθαι δ' ἐσιδών τυ καὶ ὕστερον οὐδέτι πω νῦν
Ἐκ τήνω δύναμαι· τὶν δ' οὐ μέλει, οὐ μὰ Δί', οὐδέν.
Γινώσκω, χαρίεσσα κόρα, τίνος οὕνεκα φεύγεις·
Οὕνεκά μοι λασία μὲν ὀφρὺς ἐπὶ παντὶ μετώπῳ
Ἐξ ὠτὸς τέταται ποτὶ θὤτερον ὡς μία μακρά.
Εἷς δ' ὀφθαλμὸς ἔπεστι, πλατεῖα δὲ ῥὶς ἐπὶ χείλει.
Ἀλλ' οὗτος τοιοῦτος ἐὼν, βοτὰ χίλια βόσκω.
Κἠκ τούτων τὸ κράτιστον ἀμελγόμενος γάλα πίνω·
Τυρὸς δ' οὐ λείπει μ' οὔτ' ἐν θέρει, οὔτ' ἐν ὀπώρῃ,
Οὐ χειμῶνος ἄκρω· ταρσοὶ δ' ὑπεραχθέες αἰεί·
Συρίσδεν δ' ὡς οὔτις ἐπίσταμαι ὧδε Κυκλώπων,
Τὶν, τὸ φίλον γλυκύμαλον, ἅμα κἠμαυτὸν ἀείδων
Πολλάκι νυκτὸς ἀωρί· τρέφω δέ τοι ἕνδεκα νεβρὼς
Πάσας μαννοφόρως, καὶ σκύμνως τέσσαρας ἄρκτων.
Ἀλλ' ἀφίκευ τὺ ποτ' ἄμμε, καὶ ἑξεῖς οὐδὲν ἔλασσον·
Τὰν γλαυκὰν δὲ θάλασσαν ἔα ποτὶ χέρσον ὀρεχθῆν.
Ἅδιον ἐν τὤντρῳ παρ' ἐμὶν τὰν νύκτα διαξεῖς.
Ἐντὶ δάφναι τηνεὶ, ἐντὶ ῥαδιναὶ κυπάρισσοι,
Ἐντὶ μέλας κισσὸς, ἔντ' ἄμπελος ἁ γλυκύκαρπος·
Ἐντὶ ψυχρὸν ὕδωρ, τό μοι ἁ πολυδένδρεος Αἴτνα
Λευκᾶς ἐκ χιόνος, ποτὸν ἀμβρόσιον, προΐητι.

---

ρὸν, καὶ λεῖον, λιπαρὸν, πῖον τοῦ σώματος δηλοῖ. 29. Τίν] σοι· λαμβάνεται γὰρ ὡς πολύπτωτον. 39. Γλυκύμαλον] λαμβάνεται μὲν κἀπὶ παντὸς μήλου· ἔστι δ' οὖν ἴδιον εἶδος οὕτω καλούμενον· ᾧ οἱ ἐρῶντες προσάγονται, καλοῦντες τὰς ἐρωμένας. 41. Μαννοφόρους] οὕτως ἐδεξάμην τὴν διόρθωσιν ταύτην ἀντὶ τοῦ Ἀμνοφόρους· φέρεται γὰρ, φασὶν, ἡ γραφὴ αὕτη παρὰ τοῖς

ταῦτα. Ἐξ ἐκείνου τοίνυν ἔτι καὶ νῦν οὐχ οἷός τε εἰμὶ εὑρέσθαι τῷ πάθει θεραπείαν· σοὶ δὲ τούτου οὐ μέλει πάμπαν. Οἶδα δὲ καὶ τὴν αἰτίαν, χαρίεσσά μοι κόρη, δι' ἣν ἀποφεύγεις με φιλοῦντα· ἡ γὰρ ἐμὴ ὀφρὺς δασεῖα οὖσα, κἀπ' ὠτὸς ἐς οὖς μονοφυῶς ὑπερτεινομένη, πᾶν τὸ μέτωπον διαγράφει. ὀφθαλμὸς δ' ἐν τῷ μέσῳ εἷς, καὶ ἡ ῥὶς αὐτὴ εὐρυτέρα ἐπικάθηται τοῦ χείλους· Ἀλλ' ἴσθι, ὅτι τοιοῦτος ὤν, θρέμματα νέμω χίλια, ἐξ ὧν γάλα τὸ κράτιστον ἀμελγόμενος, πίνω· τυρὸς δ' αὖ οὐ θέρους, οὐ μετοπώρου, οὐδ' ἐν ἀκροτάτῳ ἐπιλείπει με χειμῶνι· οἱ γὰρ τάλαροι ἀεὶ εἰσὶν ὑπερχειλεῖς· Ἐπὶ δὲ τούτοις καὶ μουσικῆς τέχνης εὖ εἰδὼς τυγχάνω, ὡς οὐδεὶς ἐνταῦθα τῶν Κυκλώπων· ᾄδω δὲ πολλάκις κἀν μέσαις νύκταις, σέτε τὸ φίλον γλυκύμηλον, καὶ ἅμα ἐμαυτὸν ταῖς ᾠδαῖς ἐπιτέρπων· Τρέφω δέσοι καὶ ἕνδεκα νεβροὺς ἐλάφων, κόσμον φέροντας περιτραχηλίους· καὶ σκύμνους ἔτι ἄρκτων τέσσαρας· ἀλλὰ φοίτα ὡς ἐμὲ, ὦ φίλη, ὡς μηδὲν ἐμοῦ ἔλαττον ἕξουσα· Ἄφες δὲ τὴν γλαυκὴν θάλασσαν βρύχεσθαι ἐπὶ τὴν χέρσον· σὺ δὲ διανυκτερεύσεις μετ' ἐμοῦ ἥδιον πολλῷ ἐν τῷ ἐμῷ σπηλαίῳ· ἔνθ' εἰσὶ μὲν δάφναι σκιαραὶ, εἰσὶ δὲ κυπάρισσοι ὑψιτενεῖς· ἔστι δὲ κισσὸς, ἔστι δὲ καὶ γλυκύκαρπος ἄμπελος, καὶ ὕδωρ ψυχρὸν, ποτὸν ἀμβρόσιον καταῤῥέον ἐκ χιόνος ἄνωθεν ἀπὸ τῆς συσκίου Αἰτ-

---

πίναξι τῶν ἀρχαιοτέρων· καὶ τὸ Ἀμνοφόρους, οὔτε ὡς ἐγκύους, οὔτε ὡς τεκούσας ἁρμόττει ἐνταῦθα παραδέξασθαι· τὸ δὲ Μαννοφόρους γίνεται παρὰ τὸ Μάννος, ὃ σημαίνει τὸν ἐπιτραχήλιον κόσμον, ἤτοι φυσικὸν, ἢ περίθετον. εἰώθασι γὰρ τινὲς περιτιθέναι τοῖς κτήνεσι τοιαῦτα περίαπτα. 45. Ῥαδι-

Τίς κεν τῶνδε θάλασσαν ἔχειν, ἢ κύμαθ' ἕλοιτο;
Αἰ δέ τοι αὐτὸς ἐγὼν δοκέω λασιώτερος ἦμεν,
Ἐντὶ δρυὸς ξύλα μοι, καὶ ὑπὸ σποδῷ ἀκάματον πῦρ·
Καιόμενος δ' ὑπὸ τεῦς καὶ τὰν ψυχὰν ἀνεχοίμαν,
Καὶ τὸν ἕν' ὀφθαλμὸν, τῶ μοι γλυκερώτερον οὐδέν.
Ὤμοι, ὅτ' οὐκ ἔτεκέν μ' ἁ μάτηρ βράγχι' ἔχοντα,
Ὡς κατέδυν ποτὶ τὶν, καὶ τὰν χέρα τεῦς ἐφίλασα,
Αἰ μὴ τὸ στόμα λῇς· ἔφερον δέ τοι ἢ κρίνα λευκὰ,
Ἢ μάκων' ἁπαλὰν ἐρυθρὰ πλαταγώνι' ἔχοισαν.
Ἀλλὰ τὰ μὲν θέρεος, τὰ δὲ γίνεται ἐν χειμῶνι·
Ὥστ' οὐκ ἄν τοι ταῦτα φέρειν ἅμα πάντ' ἐδυνάθην.
Νῦν μὰν, ὦ κόριον, νῦν αὐτόθι νεῖν γε μαθεῦμαι,
Αἴκά τις σὺν ναῒ πλέων ξένος ὧδ' ἀφίκηται·
Ὡς κεν ἴδω, τί ποθ' ἁδὺ κατοικεῖ τὸν βυθὸν ὔμμιν.
Ἐξένθοις, Γαλάτεια, καὶ ἐξενθοῖσα λάθοιο,
Ὥσπερ ἐγὼν νῦν ὧδε καθήμενος, οἴκαδ' ἀπενθεῖν.
Ποιμαίνειν δ' ἐθέλοις σὺν ἐμὶν ἅμα, καὶ γάλ' ἀμελγεῖν,
Καὶ τυρὸν πᾶξαι, τάμισον δριμεῖαν ἐνεῖσα.
Ἁ μάτηρ ἀδικεῖ με μόνα, καὶ μέμφομαι αὐτᾷ·
Οὐδὲν πᾷ ποχ' ὅλως ποτὶ τὶν φίλον εἶπεν ὑπὲρ μεῦ,
Καὶ ταῦτ', ἆμαρ ἐπ' ἆμαρ ὁρεῦσά με λεπτὸν ἐόντα,

---

ναὶ] εὐμήκεις, ὑψίκομοι. 50. Λασιώτερος] εἰδὲ ἐγὼ αἰσχρὸς δοκῶ σοι καὶ ἄμορφος, παρ' ἐμοὶ ἐστι πῦρ· λάβε οὖν τοῦτο, καὶ κατάκαυσόν με ζῶντα· ἄμεινον γὰρ τοῦτο παθεῖν, ἢ ζῶντα ἐν διηνεκεῖ πόθῳ εἶναι. 54. Βράγχεα] τὰ τῶν ἰχθύων ὑμενόπτερα, καὶ κυριώτερον τὰ ὀστρακώδη ὠτία, τὰ, ὡς ἀμφώτιδες, περικαλύπτοντα τὴν τῶν ἰχθύων ἀκοήν. 57. Πλαταγώνια] παρὰ τὸ πλατάσσειν τὸ ψοφεῖν· τὰ γὰρ τῆς ἀνεμώνης ἢ μήκωνος φύλλα τι-

νης· Τίς οὖν τούτων τὴν ἐν τοῖς κύμασιν ἀνθέλοιτο δίαιταν;

Εἰ δέ σοι λασιώτερος δοκῶ τὸ εἶδος εἶναι, ἔστι μοὶ ἐντὸς ξύλα δρύϊνα, ἐστι δὲ καὶ πῦρ ἄσϐεστον ἐν τῇ σποδῷ, κατάκαόν με, εἰ βούλει· ἐγὼ δ' ἀνέξομαι ὅ,τι ποτ' ἂν πάθω, κἄν μοι τὴν ψυχὴν αὐτὴν καὶ τὸν ἕνα παραϐλάψῃς ὀφθαλμὸν, οὗ τιμιώτερον πρόσεστιν ἔμοιγ' οὐθέν· Ἀλλὰ τίποτ' οὐκ ἔτεκέ με ἡ μήτηρ ἔχοντα βράγχη, ἵν' εἶχον οὕτω, κεταδὺς ἐν τοῖς ὕδασι, τὴν χεῖρά σου γοῦν φιλῆσαι, εἰ μὴ τὰ χείλη παραδοίης; ἤνεγκα δ' ἄν σοι καὶ σύμϐολ' ἄττα ἐρωτικὰ, κρίνα λευκὰ, ἢ μήκων' ἁπαλὴν, ἐρυθρὰ φύλα ἔχουσαν· οὐχ ἅμα δ' ἄμφω, ὡς μὴ ἄμφω ἅμα γίγνεσθαι πεφυκότα, ἀλλ' ἕτερον μὲν θέρους, θάτερον δὲ χειμῶνος· Νῦν δ', ὦ κόριον, νῦν λοιπόν μοι μαθεῖν, ἅμ' ἰδόντα τινὰ τῶν ξένων δεῦρ' ἀφικόμενον, νήχεσθαι· ἵνα καταδὺς, ἔνθ' ὑμεῖς ποιεῖσθε τὴν δίαιταν, μάθω κἀγὼ, τίποθ' ὑμῖν ἂν εἴη, δι' ὅ ἡδέως οὕτω τῇ ἀϐύσσῳ ἐνασμενίζετε· Ἀλλ' ἐξέλθοις σύγε, Γαλάτεια· καὶ ἐξελθοῦσα, ἐπιλάθοιο τοῦ λοιποῦ, ἐπανελθεῖν οἴκαδε, ὥσπερ ὁρᾷς ἤδη κἀμὲ διακείμενον· Ἀγαπήσειας δὲ μᾶλλον συμποιμαίνειν ἐμοὶ, γάλα τε συναμέλγουσα, καὶ πηγνῦσα τυρὸν ἐκ τούτου, πιτύαν δριμεῖαν ἐμϐαλοῦσα· Μέμφομαι δ' οὖν τῇ μητρὶ τὰ εἰκότα, ὡς ἀδικούσῃ με τὰ μὴ εἰκότα· μηδέ πω γὰρ εἶπεν ὑπὲρ ἐμοῦ πρός σε φίλον τι, καὶ ταῦθ' ὁρῶσά με φθίνοντα κατ' ὀλίγον· Οὐκοῦν προσποιήσομαι κἀγὼ πρὸς αὐτὴν τήν τε κε-

---

θέντες ἐπὶ τῶν δακτύλων ἐπικαμφθέντων, καὶ παίσαντες, ψόφον ἀποτελοῦμεν· τοῦτο δὲ ἄλλοθι (ἴδε Εἰδ. Γ΄. στίχ. 29.) Τηλέφιλον ὠνόμασεν. 67. Ἁ μάτηρ] ἡ ἐμή· ἔοικε δὲ ἡ Γαλάτεια φοιτᾷν παρὰ τὴν μητέρα τοῦ Κύκλω-

Φασῶ τὰν κεφαλὰν καὶ τὼς πόδας ἀμφοτέρως μευ
Σφύσδειν, ὡς ἀνιαθῇ, ἐπεὶ κἠγὼν ἀνιῶμαι.
Ὦ Κύκλωψ, Κύκλωψ, πᾷ τὰς φρένας ἐκπεπότασαι;
Αἴκ' ἐνθὼν ταλάρως τε πλέκοις, καὶ θαλλὸν ἀμάσας
Ταῖς ἄρνεσσι φέροις, τάχα κεν πολὺ μᾶλλον ἔχοις νοῦν.
Τὰν παρεοῖσαν ἄμελγε· τί τὸν φεύγοντα διώκεις;
Εὑρήσεις Γαλάτειαν ἴσως καὶ καλλίον' ἄλλαν.
Πολλὰς συμπαίσδεν με κόραι τὰν νύκτα κέλονται.
Κιχλίσδοντι δὲ πᾶσαι. ἐπεὶ κ' αὐταῖς ὑπακοίσω,
Δηλονότ' ἐν τᾷ γᾷ κἠγὼ τὶς φαίνομαι ἦμες.
Οὕτω τοι Πολύφαμος ἐποίμαινεν τὸν ἔρωτα,
Μουσίσδων· ῥᾷον δὲ διᾶγ', ἢ χρυσὸν ἔδωκεν.

---

πος θαῤῥοῦσα χάριν ἀνθέων, ὡς ἀνωτέρω εἴρηται. 70. Φασῶ] φήσω· προσποιήσει νόσου βούλεται ἀντανιᾶν τὴν μητέρα· ἔστι δὲ τὸ Σφύζειν, πάθος σφοδρὸν σπασμῶδες, ἰσχυρῷ σφυγμῷ πάντα ἐκταράττον τὰ μέλη. 72. Πᾷ ἐκπεπότασαι] ποῖ μοι ξυνέβη τῶν φρενῶν ἀποπλανηθῆναι; ὡς εἰ ἔλεγε μετὰ Πυθαγόρου.

» Πῇ παρέβην; τί δ' ἔρεξα; τί μοι δέον οὐκ ἐτελέσθη; »

Ἑαυτοῦ γὰρ γενόμενος νῦν, εὗρε παρὰ τῶν Μουσῶν τὸ ζητούμενον φάρμακον· οὗ εὐχέσθω πᾶς τις καὶ νέος καὶ μὴ νέος τυχεῖν. 75. Τί τὸν φεύγοντα διώκεις] ἀπὸ παροιμίας τινὸς λεγούσης, τὸν θέλοντα βοῦν ἔλαυνε· οὐ πόῤῥω

φαλὴν καὶ τοὺς πόδας σφακέλῳ συνέχεσθαι, ἵνα συμπάσχουσά μοι καὶ αὐτὴ, συνανιᾶται.

Ἀλλ' ὦ Κύκλωψ, Κύκλωψ, ποῖποτ' ἀπέπτης, ἔξω σεαυτοῦ γεγενημένος· γένοιτό σοι ἤδη ἐπανελθόντα πλέκειν ταλάρους. καὶ ποίαν θερίσαντα, παραθεῖναι ἀρνίοις· οὕτω γὰρ ἂν βελτίων εἴης σεαυτοῦ· ὀφείλεις γὰρ τὴν παροῦσαν ἀμέλγειν· οὐ μὴν δὲ διώκειν τὸν φεύγοντα· ἔστι δ' ὅπῃ εὑρήσεις καὶ ἑτέραν Γαλάτειαν ἴσως καλλίω ταύτης· πολλαὶ γὰρ παρθένοι ἐν νυκτὶ καλοῦσί με συμπαίζειν· κἀπειδὰν ἴδωσί με συννεύοντα, ἡδέως γελῶσιν· ὃ ποιοῦμαι τεκμήριον εἶναί τις κἀγὼ ἐν τῷ βίῳ.

Οὕτω σοι, ὦ Νικία, ὁ Πολύφημος μέλπων, διεβουκόλει τὸν ἔρωτα· καὶ ῥᾶον ἦν ἐν τῇ νόσῳ, ἢ εἰ χρήματα παρεῖχε.

---

δὲ τούτου καὶ τὸ, Τὴν κατὰ σαυτὸν ἕλα. 77. Τὴν νύκτα] τὰ ἐν ὕπνοις φαντάσματα ἔοικεν ἐννοεῖν· ἢ ἁπλῶς τὰ γιγνόμενα τοῖς ἐρῶσιν ἐν τούτῳ τοῦ χρόνου. 78. Κιχλίσδοντι] κιχνίζουσι· κίχλης μιμούμεναι φωνὴν, γελῶσι· φωνὴ δὲ αὕτη λεπτὴ, οἵα ἡ τῶν παρθένων, ὁπότ' ἀκκίζοιντο μάλιστα· ὅπερ οὐδὲν ἂν δηλοίη φησίν, ἢ ὅτι οὐ τὸν τυχόντα λόγον κἀμοῦ ποιοῦνται. 81. Ἢ χρυσὸν ἔδωκεν.] οὕτω, φησὶ, τὸ τῶν ἐρώτων τῇ ᾠδῇ ἐθεράπευε πάθος ῥᾷον, ἢ εἴπερ ἐδίδου πολὺν χρυσὸν ἰατροῖς καὶ φαρμάκοις.

## ΥΠΟΘΕΣΙΣ.

Επιγραφεται μὲν τὸ εἰδύλλιον Ἀΐτας, γέγραπται δὲ Ἰάδι διαλέκτῳ· ὁ δὲ λόγος ἐκ τοῦ ποιητικοῦ προσώπου πρὸς ἐρώμενον. Ἐπιγέγραπται δὲ οὕτως, ἐπεὶ καὶ τοὺς ἐρωμένους ἀΐτας ἔνιοι καλοῦσιν, ὡς Θεσσαλοί· καὶ Ἀλκμὰν τὰς ἐπεράστους κόρας Ἀΐτας λέγει· οἱ δέ φασιν Ἀΐτας τοὺς φίλους μεταθέσει τοῦ ἀντιστοίχου· ἢ Ἀΐτας, οἱονεὶ μὴ ἰταμούς· ἢ Ἀΐτας ὁ σύμπνους καὶ συναΐτης καὶ συμπολίτης. Εἰ δὲ ἐπὶ ἐρωμένου τάττοιτο, ἀΐτης ἂν λέγοιτο ἀπὸ τοῦ ἄειν, καὶ εἰσπνεῖν τὸν ἔρωτα τῷ ἀγαπῶντι· ἐκτίθεται δέ πως ὁ ἐρῶν καὶ οὐ φείδεται, θεασάμενος τοὺς τοῦ ἐρωμένου χαρακ-

# ΑΙΤΗΣ.

## *ΕΙΔΥΛΛΙΟΝ ΙΒ'.*

Ηλυθες, ὦ φίλε κοῦρε, τρίτῃ σὺν νυκτὶ καὶ ἠοῖ;
Ἤλυθες; οἱ δὲ ποθεῦντες ἐν ἤματι γηράσκουσιν.
Ὅσσον ἔαρ χειμῶνος, ὅσον μῆλον βραβύλοιο
Ἥδιον, ὅσσον ὄϊς σφετέρης λασιωτέρη ἀρνὸς,

3. Βραβύλοιο] Ἄγριόν τι στυφῶδες καὶ δριμὺ, οἷα τὰ ἀγριόμηλα· ἴδε ἀνωτέρω Εἰδ. Ζ'. στίχ. 146. ἰστέον δὲ ὅτι τὸ Εἰδύλλιον τοῦτο ἐν Ἰωνικῇ δια

τῆρας· εὔχεται δὲ, τῶν δύο ψυχῶν ἁρμογὴν αὐτοῖς γενέσθαι, καὶ φιλίας ἀσφάλειαν μέχρι τέλους ἐμμένουσαν, ἵνα καὶ μετὰ θάνατον οἱ μετ' αὐτοὺς φημίσωσιν αὐτῶν τὴν ὁμόνοιαν, λέγοντες ἐκ τοῦ χρυσοῦ γένους γεγενῆσθαι αὐτοὺς, οἵτινες ἀμοιβὴν φιλίας ἔπνευσαν πρὸς ἀλλήλους. Ἐπαινεῖ δὲ καὶ τοὺς Μεγαρεῖς ἐπὶ τῷ τετιμηκέναι Διοκλέα, ὑπερασπίσαντα τοῦ ἰδίου ἐρωμένου, ἢ ὑπὲρ τῆς ἐκείνου τελευτῆς ἐμπεσόντα εἰς πόλεμον, ὅθεν καὶ τοὺς Μεγαρεῖς θάψαι αὐτὸν δημοσίᾳ, καὶ τιμᾷν ὡς ἥρωα, ἀγῶνά τε ἐπ' αὐτῷ ποιεῖν, ἐν ᾧ τοὺς καλοὺς περὶ φιλημάτων ἀγωνίζεσθαι· τὸν δὲ καταφιλήσαντά τινα ἥδιστον, τοῦτον ὑπὸ τῶν ἄλλων στεφανοῦσθαι.

# ΑΙΤΗΣ.

## *ΕΙΔΥΛΛΙΟΝ ΙΒ΄.*

Ἦλθες, ὦ φίλε νέε, τρίτῳ ἤδη νυχθημέρῳ; ἦλθες; καὶ μὴν οἱ ἐρῶντες καὶ μιᾷ τῶν ἐρωμένων ἀπογενόμενοι ἡμέρᾳ, γηράσκουσιν· ὅσον γὰρ ἔαρ χειμῶνος κάλλιον κρίνεται, ὅσον μῆλον βραβύλου ἥδιον, ὅσον ὄϊς ἀρνὸς λασιωτέρα, ὅσον παρ-

λέκτρῳ χωρεῖ. 4. Λασιωτέρη] διαφέρει τὸ λάσιον δασέος, ᾗ τὸ μὲν τὸ πυ-

Ὅσσον παρθενικὴ προφέρει τριγάμοιο γυναικὸς,
Ὅσσον ἐλαφροτέρη μόσχου νεβρὸς, ὅσσον ἀηδὼν
Συμπάντων λιγύφωνος ἀοιδοτάτη πετεηνῶν·
Τόσσον ἔμ' εὔφρηνας σὺ φανείς· σκιερὴν δ' ὑπὸ φηγὸν,
Ἠελίου φρύττοντος, ὁδοιπόρος ἔδραμον ὥς τις.
Εἴθ' ὁμαλοὶ πνεύσειαν ἐπ' ἀμφοτέροισιν Ἔρωτες
Νῶϊν· ἐπεσσομένοις δὲ γενοίμεθα πᾶσιν ἀοιδή.
Δοιὼ δή τινε τώδε μετ' ἀμφοτέροισι γενέσθην
Φῶθ'· ὁ μὲν ἦν Εἴσπνηλος, φαίη χῷ 'μυκλαΐζων·
Τὸν δ' ἕτερον πάλιν, ὥς κεν ὁ Θεσσαλὸς εἴποι, Ἀΐταν.
Ἀλλήλους δ' ἐφίλησαν ἴσῳ ζυγῷ. ἦ ῥα τότ' ἦσαν
Χρύσειοι πάλαι ἄνδρες, ὅκ' ἀντεφίλησ' ὁ φιληθείς.
Εἰ γὰρ τοῦτο, πάτερ Κρονίδη, πέλοι· οἱ γὰρ ἀγήρω,
Ἀθάνατοι· γενεαῖς δὲ διηκοσίῃσιν ἔπειτα
Ἀγγείλειεν ἐμοί τις ἀνέξοδον εἰς Ἀχέροντα.
Ἡ σὴ νῦν φιλότης καὶ τοῦ χαρίεντος Ἀΐτεω
Πᾶσι διὰ στόματος, μετὰ δ' ἠϊθέοισι μάλιστα.

---

κνὸν, τὸ δὲ λάσιον σημαίνει καὶ τὸ βαθὺ, οἷον τὸ βαθύμαλλον. 6. Νεβρὸς] ἡ νεβρός· τὸ ἀρτιγέννητον τῆς ἐλάφου ἐστὶ ταχύτερον τοῦ μόσχου. 8. Ὑπὸ φηγὸν] ἔλλειψιν ἔχει τινά· τὸ δὲ πλῆρες, ἔδραμον πρός σε, ὡς ὁδοιπόρος καὶ τὰ λοιπά. 12. Δοιὼ δέ τινα] οὗτος ὁ λόγος ὁ ἐν τῷ μέλλοντι ἐσόμενος περὶ ἡμῶν ἐν τοῖς στόμασι τῶν ἀνθρώπων. 13. Ὁ μὲν Εἴσπνηλος, ὁ δὲ Ἀΐτας.] πεποιημένα ταῦτ' ὀνόματα ἐκ τῆς δυνάμεως τῶν ἐξ ὧν παράγονται ῥημάτων ληφθέντα· τὸ μὲν γὰρ Εἴσπνηλος (ἢ Εἴσπνιλος] παρὰ τὸ Εἰσπνεῖν· τὸ δὲ Ἀΐτης, παρὰ τὸ Ἀΐειν τὸ Πνεῖν· λαμβάνονται δὲ ἐνταῦθα τὸ μὲν παθητικῶς, τὸ δὲ ἐνεργητικῶς· ὁ μὲν γὰρ ἐρῶν εἰσπνεῖ τὸν ἔρωτα, δεχόμενος ἔξωθεν· ὁ δὲ ἐρώμενος ἀΐει, ὅ ἐστι ἐκπνεῖ καὶ ἐμφυσᾷ αὐτὸν πρὸς τὸν ἐρῶντα· διὸ παρὰ Θετταλοῖς ἐκεῖνος μὲν Εἴσπνηλος ἤκουσε, οὗτος δ'

θένος γυναικὸς τριγάμου καθαρωτέρα, ὅσον μόσχου νεβρὸς κουφοτέρα, ὅσον ἀηδὼν ἁπάντων τῶν πτηνῶν ἐν ᾠδαῖς μουσικωτέρα, τοσοῦτον ηὔφρανάς με αὐτὸς ἐπιφανείς· ὅθεν προσέδραμόν σοι, ὥσπερ ὁδοιπόρος, τὴν τῆς τοῦ ἡλίου ἀκτῖνος ἀποφυγὼν ἀκμὴν, κατέφυγεν ἐπί τινα φηγὸν σκιερωτάτην· εἴθ' ἀμφοτέροις ἡμῖν ὁμαλοὶ καὶ ἴσοι ἐμπνέοιεν ἔρωτες, ἵν' ἐν μυρίᾳ ᾠδῇ ἐντεῦθεν παρὰ τοῖς ἐπιγιγνομένοις ὦμεν.

Ἔσται δ' ὅτε περὶ ἡμῶν ἐροῦσι ταῦτα· Δύω τινὲς οἵδ' ἐν Ἕλλησιν ἐγένοντο ἄνθρωποι, εἷς μὲν Εἴσπνηλος κατ' Ἀμυκλαίους ὀνομαζόμενος· Αἴτνης δὲ ὁ ἕτερος κατὰ Θετταλοὺς, τῷ αὐτῷ μέτρῳ τῆς φιλίας συνδεθέντες· ἦπου δὴ ἦσαν πάλαι τοιοῦτοι ἄνδρες ἐν τῷ χρυσῷ αἰῶνι, ὁπόθ' ὁ φιλούμενος ἀντεφίλει ἀπὸ τοῦ ἴσου· Εἴθ', ὦ Ζεῦ πάτερ, εἴθ' ὦ θεοὶ πάντες οἱ ἀθάνατοι καὶ ἀγήρω, εἴθ' ἡμῖν τοῦτο γένοιτο· καί τις διακοσίαις ὕστερον γενεαῖς ἀγγείλειέ μοι εἰς Ἀχέρωνα τὸν ἀδιέξοδον ἐκεῖνον.

Ἴσθι, ὦ ἄριστε, ὅτι ἡ σὴ φιλία καὶ τοῦ χαρίεντος Αἴτου ἐν μυρίᾳ ᾠδῇ ἐστὶν ἐπὶ γῆς παρὰ πᾶσι τοῖς ἐφήβοις.

---

Αἴτης παρ' Ἀμυκλαίοις· Ἀμύκλαι δὲ πόλις Πελοποννήσου ἐπὶ τοῦ Εὐρώτα. —Ὠ 'μυκλαΐζων] ὁ ἀμυκλαΐζων τῇ φωνῇ. 15. Ἦ ῥα ποτ' ἦσαν] ἄνδρες τοῦ χρυσοῦ αἰῶνος· ταῦτα γὰρ, φησὶν, ἐροῦσι περὶ ἡμῶν. 19· Ἀγγείλειεν] πῶς οὐκ ἄν τις κἀντεῦθεν πείθοιτο ἀθάνατον τὴν ψυχὴν εἶναι, πάντων ἀνθρώπων τὴν ἑαυτῶν φήμην ἐφιεμένων ἀθάνατον καταλιπεῖν; μῶν μάτην ἡ φύσις τὴν ἔφεσιν ταύτην ἐνεφύτευσε τῷ παντί; ἀθανασίας ἐφίεται τὸ λογικὸν τοῦτο ζῶον ὁ ἄνθρωπος· τοῦτο δὲ τυχεῖν ἐνταῦθα διὰ τὸ θνητὸν οὐκ ἂν δύναιτο· ἐπιθυμεῖ δὲ διὰ τῶν ἔργων ζῆν ἐν τῇ φήμῃ.—Ἀνέξοδον] ἐξ οὗ οὐ-

Ἀλλ' ἤτοι τούτων μὲν ὑπέρτεροι οὐρανίωνες
Ἔσσονθ', ὡς ἐθέλουσιν· ἐγὼ δὲ σὲ τὸν καλὸν αἰνέων,
Ψεύδεα ῥινὸς ὕπερθεν ἀραιῆς οὐκ ἀναφύσω.
Ἢν γὰρ καί τι δάκῃς, τὸ μὲν ἀβλαβὲς εὐθὺς ἔθηκας,
Διπλάσιον δ' ὤνησας· ἔχων δ' ἐπίμετρον ἀπῆλθον·
Νισαῖοι Μεγαρῆες, ἀριστεύοντες ἐρετμοῖς,
Ὄλβιοι οἰκοίητε, τὸν Ἀττικὸν ὡς περίαλλα
Ξεῖνον ἐτιμήσασθε Διοκλέα τὸν φιλόπαιδα.
Αἰεὶ οἱ περὶ τύμβον ἀολλέες εἴαρι πρώτῳ
Κοῦροι ἐριδμαίνουσι φιλήματος ἄκρα φέρεσθαι.
Ὃς δέ κε προσμάξῃ γλυκερώτερα χείλεσι χείλη,
Βριθόμενος στεφάνοισιν ἑὴν ἐς μητέρ' ἀπῆλθεν.
Ὄλβιος, ὅστις παισὶ φιλήματα κεῖνα διαιτᾷ.
Ἦ που τὸν χαροπὸν Γανυμήδεα πόλλ' ἐπιβωστρεῖ
Λυδίῃ ἶσον ἔχειν πέτρῃ στόμα, χρυσὸν ὁποίᾳ
Πεύθονται, μὴ φαῦλον, ἐτήτυμον ἀργυραμοιβοί.

---

δεὶς δύναται ἐξελθεῖν. 24. Ψεύδεα ῥινὸς] ἔσθ' οἷς παραφύονται ἐπὶ τῆς ῥινὸς παραφύματά τινα οἷον ἴουλοι, ἢ ξανθήματα, ψυδράκια προσαγορευόμενα· ἐξ ὧν συνάγουσιν οἱ μωμοσκόποι, ὅτι οἱ τοιοῦτοι, ἐφ' οἷς τάχα ψεύδοιντο, ταῦτα πάσχουσι. Τὸ γοῦν Ψεύδεα ἐνταῦθα ἀντὶ τοῦ Ψυδράκια ἐκλαμβάνεται. — Ἀραιῆς] ἤτοι λεπτῆς, ἢ τρυφερᾶς. 26. Ἐπίμετρον] περίσσευμα, τὸ διπλοῦν. 29. Διοκλέα] Ἥρως οὗτος ἐν Μεγάροις καὶ Ἀθήναις· ὃς ἐν μάχῃ τινὶ προασπίζων τινὸς νέου, ὃν ἐφίλει μάλιστα, ἐφονεύθη· Ἐντεῦθεν τιμῶντες αὐτὸν οἱ Μεγαρεῖς, ἦγον τὰ Διόκλεια, ἑορτὴν ταύτην, καθ' ἣν ἀγειρόμενοι οἱ παῖδες περὶ τὸν τάφον αὐτοῦ, ἐφίλουν ἀλλήλους ὑπὸ δικασαῖς·

Ἀλλὰ ταυτά γε οἱ θεοὶ ἀθάνατοι ὄντες, καὶ τὰ πάντα δυνάμενοι, πράξουσιν, ὥσπερ βούλονται· ἐγὼ δ' ἐπαινῶν σε, οὐκ ἄν ποτε ψυδράκια ἀναφύσαιμι τῆς ῥινός· εἰ γάρ με καὶ δάκῃς πῃ, ἀλλ' εὐθὺς ἂν καὶ ἰάσαις με, διπλάσια ὠνήσας· ὥστ' ἄπειμι ἀεὶ τὸ πλεῖον ἔχων.

Νισαῖοι Μεγαρεῖς οἱ ἐν Ναυτικοῖς ἄριστοι γεγενημένοι, εἴητε ὑμεῖς ὀλβιώτατοι ἀνθρώπων, ἀνθ' ὧν Διοκλέα τὸν Ἀττικὸν ἄνδρα ξένον ἐτιμήσατε τῷ φιλόπαιδα γενέσθαι μάλιστα πάντων, ἀγῶν' ἐπ' αὐτῷ φιλήματος προθέντες· οἱ γὰρ νέοι, συναγειρόμενοι ἅμα ἦρι ἐπὶ τοῦ σήματος ἐκείνου, ἁμιλλῶνται πρὸς ἀλλήλους, τίς τίν' ὑπερβαλὼν, αὐτὸς τὸ τοῦ φιλήματος ἄκρον ἀποίσεται· ὅς γὰρ ἂν αὐτῶν ἐφαρμόσῃ χείλεσι γλυκερώτερα χείλη, αὐτὸς ἀράμενος οὐ μικρὸν ἄχθος στεφάνων, ἀπέρχεται πρὸς τὴν ἑαυτοῦ μητέρα χαίρων· Ὄλβιος δ' ἔτι καὶ ὃς ἂν τύχῃ διαιτῶν τοῖς παισὶ τούτοις περὶ τῶν φιλημάτων· ἤπού γε ἐπικαλεῖται Γανυμήδη τὸν χαρίεντα δοῦναι αὐτῷ στόμα ἀκριβὲς ἴσον Λυδίᾳ λίθῳ· ᾗ τοῖς ἀργυρογνώμοσιν ὁ χρυσὸς δοκιμάζεται.

---

ὁ δὲ ὑπερτερῶν ἐν φιλήματι, ἐστεφανοῦτο. 31. Ἄκρα] τὸ κράτιστον φίλημα, ἐν ᾧ ἀπέκειτο στέφανος. Μήτι δὲ γραπτέον Ἆθλα ἀντὶ τοῦ, Ἄκρα; 31. Προσμάξῃ] προσκολλήσῃ· μάττω τὸ πιέζω. 34. Διαιτᾷ] κρίνει· πέμπει δὲ αὐτὸν πρὸς τὸν Γανυμήδην μαθησόμενον ἐκεῖθεν, ποῖον ἂν εἴη τὸ τρυφερώτερον τῶν φιλημάτων, ἵν' ἔχῃ κρίνειν περὶ τούτων· ὡς ἡ Λυδία λίθος περὶ τοῦ χρυσοῦ καὶ ἀργύρου.

## ΥΠΟΘΕΣΙΣ

Επιγραφεται τὸ παρὸν εἰδύλλιον Ὕλας. Πάλιν δὲ τῷ Νικίᾳ προσδιαλέγεται, ὡς καὶ ἐν τῷ Κύκλωπι· ἐκτίθεται δὲ τὰ περὶ τὸν Ὕλαν καὶ Ἡρακλέα· τοῦ μὲν Ὕλα τὴν ὑπὸ τῶν Νυμφῶν ἁρπαγὴν, τοῦ δὲ Ἡρακλέους τὴν πλάνην καὶ τὴν ὑπὲρ τοῦ Ὕλα βάσανον. Ἰστέον, ὅτι ὁ Ὕλας παῖς ὑπῆρχε Θεοδάμαντος τοῦ δρυτόμου, οὗ ἤρα Ἡρακλῆς· πεπαιδεῦσθαι δὲ

# ΥΛΑΣ.

## *ΕΙΔΥΛΛΙΟΝ ΙΓ'.*

Ουχ ἁμῖν τὸν Ἔρωτα μόνοις ἔτεχ', ὡς ἐδοκεῦμες,
Νικία, ᾧ τινι τοῦτο θεῶν ποκα τέκνον ἔγεντο.
Οὐχ ἁμῖν τὰ καλὰ πράτοις καλὰ φαίνεται ἦμες,
Οἳ θνατοὶ πελόμεσθα, τὸ δ' αὔριον οὐκ ἐσορῶμες·
Ἀλλὰ καὶ Ἀμφιτρύωνος ὁ χαλκεοκάρδιος υἱὸς,
Ὃς τὸν λῖν ὑπέμεινε τὸν ἄγριον, ἤρατο παιδὸς

---

Ὧ τινι τῶν θεῶν] ἄλλοι γὰρ ἄλλων γενέσθαι τὸν Ἔρωτά φασιν. Ἡσύοδος γάρ φησι Κάους καὶ Γῆς· Σιμονίδης δὲ, Ἄρεως (ἢ ὡς Σαπφὼ, Οὐρανοῦ)

## ΤΟΥ ΙΓ'. ΕΙΔΥΛΛΙΟΥ.

αὐτὸν φασὶν οἱ μὲν ὑπὸ Ῥαδαμάνθυος· οἱ δὲ ὑπὸ βουκόλων Ἀμφιτρύωνος καὶ Θεστιάδου. Ἀμφιβάλλουσι περὶ τοῦ τίνος υἱὸν τὸν Ἔρωτα εἶναι· Ἡσίοδος μὲν γὰρ Χάους καὶ Γῆς· Σιμωνίδης δὲ Ἄρεως καὶ Ἀφροδίτης· Ἀκουσίλαος δὲ Νυκτὸς καὶ Αἰθέρος· Ἀλκαῖος δὲ Ἔριδος καὶ Ζεφύρου· Σαπφὼ δὲ Ἀφροδίτης καὶ Οὐρανοῦ, καὶ ἄλλοι ἄλλων ἔφασαν εἶναι.

# Υ Λ Α Σ.

## ΕΙΔΥΛΛΙΟΝ ΙΓ'.

ΟΥΚ ἄρα μόνοις ἡμῖν, ὦ Νικία, τὸν Ἔρωτα ἔτεκεν, ὅστις ποτὲ τῶν θεῶν ἐστιν ὁ τετοκώς, ὡς ἡμεῖς γε οἰόμεθα· οὐδ' ἡμῖν πρώτοις τὰ καλὰ καλὰ φαίνεται εἶναι· οἱ θνητοὶ ὄντες, οὐδ' ὅ,τι αὔριον ἔσται, ἡμεῖς ἴσμεν ὅλως· ἀλλὰ καὶ ὁ τοῦ Ἀμφιτρίωνος ὁ θυμολέων Ἡρακλῆς, ὃς τὸν ἄγριον ὑπέστη λέοντα, ἠράσθη τοῦ χαρίεντος Ὕλα, πλόκαμον φέροντος ἐπὶ

---

καὶ Ἀφροδίτης. Ἀκουσίλαος δέ, Νυκτὸς καὶ Αἰθέρος. Ἀλκαῖος, Ἔριδος καὶ Ζεφύρου· καὶ ἄλλοι ἄλλως. 6. Λῖν.] τὸν λέοντα· ἀπὸ τῆς εὐθείας τῆς Λίς. Ὑποστὰς δὲ Ἡρακλῆς, ἐφάνευσε λέοντας τρὶς τὸν ἐν Ἑλικῶνι, τὸν ἐν Λέσβῳ,

Τῶ χαρίεντος Ὕλα, τῶ τὰν πλοκαμῖδα φορεῦντος,
Καί μιν πάντ' ἐδίδαξε πατὴρ, ὡσεὶ φίλον υἷα,
Ὅσσα μαθὼν ἀγαθὸς καὶ ἀοίδιμος αὐτὸς ἔγεντο·
Χωρὶς δ' οὐδέποκ' ἦς, οὐδ' εἰ μέσον ἆμαρ ὄροιτο,
Οὔθ' ὄκα ἁ λεύκιππος ἀνατρέχει ἐς Διὸς ἀώς,
Οὔθ' ὁπόκ' ὀρτάλιχοι μινυροὶ ποτὶ κοῖτον ὁρῷεν,
Σεισαμένας πτερὰ ματρὸς ἐπ' αἰθαλόεντι πετεύρῳ·
Ὡς αὐτῷ κατὰ θυμὸν ὁ παῖς πεποναμένος εἴη,
Αὐτῷ δ' εὖ ἕλκων ἐς ἀλαθινὸν ἄνδρ' ἀποβαίη.
Ἀλλ' ὄκα τὸ χρύσειον ἔπλει μετὰ κῶας Ἰήσων
Αἰσονίδας, οἱ δ' αὐτῷ ἀριστῆες συνέποντο,
Πασᾶν ἐκ πολίων προλελεγμένοι, ὧν ὄφελός τι,
Ἵκετο χὠ ταλαεργὸς εἰς ἀφνειὰν Ἰαολκὸν
Ἀλκμήνας υἱὸς Μιδεάτιδος ἡρωΐνας·
Σὺν δ' αὐτῷ κατέβαινεν Ὕλας εὔεδρον ἐς Ἀργὼ,
Ἅτις Κυανεᾶν οὐχ ἥψατο συνδρομάδων ναῦς,
Ἀλλὰ διεξάϊξε, βαθὺν δ' εἰσέδραμε Φᾶσιν,
Αἰετὸς ὥς, μέγα λαῖτμα, ἀφ' ὧ τότε χοιράδες ἔσταν.
Ἆμος δ' ἀντέλλοντι Πελειάδες, ἐσχατιαὶ δὲ

---

καὶ τὸν ἐν Νεμέᾳ. 10. Ὄροιτο] ὑψοῦτο ὁ Ἥλιος, ἢ ἡ λεύκιππος Ἠώς. 12. Ὀρτάλιχοι] οἱ οἰκειακοὶ νεοσσοὶ μινυρίζοντες, ὁπότε ἀναπεταύσης τὰς πτέρυγας τῆς μητρὸς, ὑποδύονται. Πέτευρον δὲ καὶ Πέταυρον λέγεται ξύλον τὶ ὁριζοντίως κεκλιμένον, ἐφ' οὗ κοιμῶνται αἱ ἀλεκτορίδες. 15. Ἕλκων] χωρῶν, προϊὼν, ὡς βοῦς ἕλκων ἄροτρον. 16. Χρύσεον κῶας] χρυσοῦν δέρας, ὃ φέρων ὁ Φρύξος, δέδωκε τῷ Αἰήτῃ τοῦ βασιλεύοντος τῶν Κόχλων· ἐφ' ὃ Ἰάσων μετὰ τῶν Ἀργοναυτῶν ἀπεστάλη παρὰ τοῦ Πελίου τοῦ τῆς Ἰωλκοῦ βασιλεύοντος ἐν Θετταλίᾳ· ἀρχαῖον κλέος τῶν Ἀργοναυτῶν ἐν μύθοις. 18 Ὧν ὄφελός τι.] ὅ,τιπερ ὄφελος· οἱ ἐν τοῖς μάλιστα, οἱ ἄριστοι· ὡς καὶ κα-

κεφαλῆς· καὶ ἐδίδαξεν ἐκεῖνον, ὡς πατὴρ υἱὸν, πάνθ' ὅσ' αὐτὸς μαθὼν, ἀνὴρ ἐγένετο ἀγαθὸς, καὶ οὗ λόγος παρὰ πᾶσι πολύς· καὶ χωρὶς αὐτοῦ οὐδέποτ' ἦν οὐκ ἠοῖ, ὁπόθ' αὐτὴ ἐπὶ ζεύγους λευκοῦ πρὸς τὸ χαλκοβατὲς ἀνατρέχει δῶμα τοῦ Διὸς, οὔθ' ἡλίου μεσουρανοῦντος, οὔτε δείλης ὀψίας, ὁπόθ' οἱ νεοσσοὶ, χαλασάσης τὰς πτέρυγας τῆς μητρὸς ἐπὶ τοῦ πεταύρου, ἀφορῷεν εἰς κοίτην, ὅπως αὐτῷ κατὰ θυμὸν παιδευθεὶς ἐξ ἀρχῆς, ἀγαθὸς ἀνὴρ ἀποβαίη· Ἀλλ' ἡνίχ' ὁ Ἰάσων ὁ τοῦ Αἴσωνος ἔμελλεν ἐπὶ τὸ χρυσοῦν δέρας πλεύσειν, καὶ οἱ ἄριστοι τῶν Ἑλλήνων συλλεγέντες ἐκ τῶν πόλεων πανταχόθεν ὅ,τι περ ὄφελος, εἵποντο αὐτῷ πρὸς τὴν ἐκστρατείαν, τότε δὴ καὶ αὐτὸς ὁ τῆς Μιδιάτιδος ἡρωΐδος Ἀλκμήνης παῖς παρεγένετο εἰς τὴν πλουσίαν Ἰωλκόν· συνεπέβη δ' αὐτῷ τῆς Ἀργοῦς καὶ Ὕλας· ναῦς δ' αὕτη πρώτη διαπλεύσασα τὰς Συμπληγάδας, μηδοτιοῦν αὐταῖς ἐγχριψαμένη· ἀλλὰ διϊοῦσα, καὶ ὥσπερ ἀετὸς, ὑπερβάσα τὸ μέγα κῦμα μεταξὺ, εἰς τὸν βαθὺν εἰσέβαλε Φᾶσιν, ἀφ' οὗ χρόνου κἀκεῖναι τῆς πρὸς ἀλλήλας ἐπαύσαντο συμβολῆς· ἡνίκα δ'

---

τωτέρω μικρὸν (27.) θεῖος ἄωτος Ἡρώων. 19. Ἰαολκὸν] Ἰωλκὸς πόλις ἐν Θετταλίᾳ. 20. Μιδεᾶτις] ἡ ἐκ πόλεως Μιδέας, ἐν Ἀργολίδι οὔσης, Ἀλκμήνη θυγάτηρ Ἠλεκτρύωνος. 21. Κατέβαινε] συνηκολούθει αὐτῷ ἐπὶ τῆς νεώς· ἴσως δὲ γραπτέον, Ἐπέβαινεν. Ὕλας δ' ἦν υἱὸς Θειοδάμαντος καὶ Κυήκης εἰς ἄκρον εὐειδὴς, ἀνατραφεὶς ὑπὸ Ἡρακλέους· ᾧ καὶ συνεστράτευσεν ἐπὶ τὸ δέρας· κατὰ δὲ τὴν Μυσίαν γενόμενος, ἁρπαγεὶς ὑπὸ τῶν Νυμφῶν τετρωμένων αὐτοῦ τῷ ἔρωτι, ἀφανὴς ἐγένετο. 22. Κυανεᾶν] Κυανῶν, καὶ συμπληγάδων, καὶ συνδρομάδων, καὶ χοιράδων πετρῶν· αἳ κεῖνται ἀπ' ἐναντίας ἐν τῷ στόματι πρὸς τὸν Πόντον τοῦ Βοσπόρου· ἦν δ' ὅτε ἐν τοῖς μύθοις συνεβάλλοντο πρὸς ἀλλήλους· διὸ οὐδεμία ναῦς πρὸ τῆς

Ἄρνα νέον βόσκοντι τετραμμένω εἴαρος ἤδη·
Τᾶμος ναυτιλίας μιμνάσκετο θεῖος ἄωτος
Ἡρώων, κοίλαν δὲ καθ.δρυνθέντες ἐς Ἀργὼ
Ἑλλάσποντον ἵκοντο, νότῳ τρίτον ἆμαρ ἀέντι·
Εἴσω δ' ὅρμον ἔθεντο Προποντίδος, ἔνθα Κιανῶν
Αὔλακας εὐρύνοντι βόες τρίβοντες ἄροτρον.
Ἐκβάντες δ' ἐπὶ θῖνα, κατὰ ζυγὰ δαῖτα πένοντο
Δειελινοί· πολλοὶ δὲ μίαν στορέσαντο χαμεύναν.
Λειμὼν γάρ σφιν ἔκειτο, μέγα στιβάδεσσιν ὄνειαρ
Ἔνθεν βούτομον ὀξὺ, βαθὺν τ' ἐτάμοντο κύπειρον.
Κῴχεθ' Ὕλας ὁ ξανθὸς ὕδωρ ἐπιδόρπιον οἰσῶν
Αὐτῷ θ' Ἡρακλῆϊ καὶ ἀστεμφεῖ Τελαμῶνι,
(Οἳ μίαν ἄμφω ἑταῖροι ἀεὶ δαίνυντο τράπεζαν)
Χάλκεον ἄγγος ἔχων· τάχα δὲ κράναν ἐνόησεν
Ἡμένῳ ἐν χώρῳ· περὶ δὲ θρύα πολλὰ πεφύκη,
Κυάνεόν τε χελιδόνιον, χλοερόν τ' ἀδίαντον,
Καὶ θάλλοντα σέλινα, καὶ εἰλιτενὴς ἄγρωστις·
Ὕδατι δ' ἐν μέσσῳ Νύμφαι χορὸν ἀρτίζοντο,
Νύμφαι ἀκοίμητοι, δειναὶ θεαὶ ἀγροιώταις,
Εὐνίκα, καὶ Μαλὶς, ἔαρ θ' ὁρόωσα Νυχεία.
Ἤτοι ὁ κῶρος ἐπεῖχε ποτῷ πολυχανδέα κρωσσὸν,
Βάψαι ἐπειγόμενος· ταὶ δ' ἐν χερὶ πᾶσαι ἔφυσαν·

---

Ἀργοῦς διέπλευσε δι' αὐτῶν. 26 Θεῖος ἄωτος] ἔτιπερ ὄφελος, τὸ ἄνθος τῶν ἡρώων. 29. Ἀέντι] ἄω καὶ ἄημι τὸ πνέω· ὁ ἀεὶς τοῦ ἀέντος, τῷ ἀέντι. 30. Κιανῶν] Κιανὶς γῆ ἡ περὶ τὴν Βυθινίαν, ἐντεῦθεν οἱ Κιανοί. 32. Κατὰ ζυγὰ] ἀνὰ δύο. 35. Βούτομον] τὸ νῦν Βοῦρλον καλούμενον.

ἐπιτέλλουσιν αἱ πλειάδες, καὶ οἱ ἄρνες νέμονται ἐπὶ τῶν ἐσχατιῶν, φθίνοντος τοῦ ἔαρος ἤδη, τηνικαῦτα ὁ ἐκλεκτὸς ἐκεῖνος τῶν ἡρώων στρατὸς ἐμνήσθη πλοός· καὶ ἐπιβάντες τῆς Ἀργοῦς, τρίτῃ ἡμέρᾳ, τοῦ νότου πνέοντος, διεπεραιώθησαν εἰς Ἑλλήσποντον· ὡρμίσαντο δ' αὐτοῦ, ἔνθ' οἱ τῶν Κιανῶν βόες ἀροτριοῦντες, εὐρύνουσι τὰς αὔλακας, τρίβοντες τὰς βώλους τῷ ἀρότρῳ· ὅπου ἀποβάντες ἀνὰ δύο, δείλης ἤδη, ἐσιτοποιοῦντο· κοίτην δὲ πολλοὶ ἅμα εἵλοντο τὴν αὐτὴν, λειμῶνος αὐτοῖς ἀναπεπταμένου, καὶ ἄφθονον ὕλην εἰς στιβάδας παρέχοντος· ἀφ' ἧς ἔτεμον βούτομον πολὺν, καὶ κύπειρον βαθὺν ἐπικαθεύδειν· Ὕλας δ' ὁ ξανθὸς, ξίφος λαβὼν ὀξὺ, ᾤχετο ὕδωρ ἐπιδόρπιον αὐτῷ τε Ἡρακλεῖ καὶ τῷ γενναίῳ Τελεμῶνι (οὗτοι γὰρ ἄμφω κοινὴν ἐποιοῦντο τὴν δίαιταν) ἐν χαλκῷ κομίσων αὐτοῖς ἀγγείῳ· εὐθὺς δ' εὗρε κρήνην ἐν χωρίῳ τινὶ κοίλῳ· ἔνθα πολλὰ μὲν ἐπεφύκει θρύα, μέλαν τε χελιδόνιον, καὶ ἀδίαντον χλωρόν· σέλινά τε θάλλοντα, καὶ πολύπλοκος ἄγρωστις· ἐν μέσῃ δὲ τῇ κρήνῃ ἵστασαν χορὸν αἱ Νύμφαι αἱ μηδέποτε δουλεύουσαι τῷ ὕπνῳ, Εὐνίκη, Μαλίς τε, καὶ ἡ χαροπὸς Νυχεία· ὁ δὲ νέος, ἐμπλῆσαι τὴν εὐρεῖαν βουλόμενος ὑδρίαν, καθῆκεν αὐτὴν ἐν τῷ ὕδατι· αἱ δὲ περιεπλάκησαν τῇ χειρὶ αὐτοῦ πᾶσαι, τοῦ Ἐ-

---

43. Ἀρτίζοντο] ἠρτύοντο, ἵστων, συνεκρότουν. 45. Ἔαρ ὁρῶσα] εὐμενῶς καὶ χαροπῶς βλέπουσα, καὶ ὥσπερ τὸ ἔαρ ἡδέως. 46. Κρωσσὸν] ὑδρία μὲν διὰ τοῦ Ω. ὕφασμα δὲ διὰ τοῦ Ο. 47. Βάψαι] ἐμπλῆσαι, βαπτίσαι αὐτὴν ἐν τῇ κρήνῃ.—Ἐν χερσὶ] περιεπλάκησαν αὐτῷ ἀπὸ τῆς χειρὸς, ὥστε κατέπεσεν ἐπὶ τὸ ὕδωρ ὡς λαμπρὸς ἀπ' τῶν ἀστὴρ, ὀπωρινῷ ἀστέρι, καθ' Ὅμη-

Πασάων γάρ ἔρως ἁπαλὰς φρένας ἀμφεδόνησεν
Ἀργείῳ ἐπὶ παιδί· κατήριπε δ' ἐς μέλαν ὕδωρ
Ἀθρόος, ὡς ὅκα πυρσὸς ἀπ' ουρανῶ ἤριπεν ἀστὴρ
Ἀθρόος ἐν πόντῳ· ναύταις δέ τις εἶπεν ἑταῖρος,
Κουφότερ', ὦ παῖδες, ποιεῖσθ' ὅπλα, πλευστικὸς οὖρος.
Νύμφαι μὲν σφετέροις ἐπὶ γούνασι κῶρον ἔχοισαι
Δακρυόεντ', ἀγανοῖσι παρεψύχοντ' ἐπέεσιν·
Ἀμφιτρυωνιάδας δὲ ταρασσόμενος περὶ παιδὶ
Ὤχετο, Μαιωτιστὶ λαβὼν εὐκαμπέα τόξα,
Καὶ ῥόπαλον, τό οἱ αἰὲν ἐχάνδανε δεξιτερὰ χείρ.
Τρὶς μὲν Ὕλαν ἄυσεν, ὅσον βαθὺς ἤρυγε λαιμός.
Τρὶς δ' ἄρ' ὁ παῖς ὑπάκουσεν· ἀραιὰ δ' ἵκετο φωνὰ
Ἐξ ὕδατος· παρεὼν δὲ μάλα σχεδὸν, εἴδετο πόῤῥω.
Ὡς δ' ὁπόκ' ἠϋγένειος ἀπόπροθι λῖς, ἐσακούσας
Νεβρῶ φθεγξαμένας τὶς ἐν ὤρεσιν, ὠμοφάγος λῖς,
Ἐξ εὐνᾶς ἔσπευσεν ἑτοιμοτάταν ἐπὶ δαῖτα·
Ἡρακλέης τοιοῦτος ἐν ἀτρίπτοισιν ἀκάνθαις
Παῖδα ποθῶν δεδόνατο, πολὺν δ' ἐπελάμβανε χῶρον.
Σχέτλιοι οἱ φιλέοντες· ἀλώμενος ὅσσ' ἐμόγησεν
Ὤρεα καὶ δρυμώς· τὰ δ' Ἰάσονος ὕστερα πάντ' ἦς.

---

ρον, ἐοικώς. 56. Μαιωτιστί] Σκυθιστί· περὶ γὰρ τὴν Μαιῶτιδα κατοικοῦσιν οἱ Σκύθαι, δεινοὶ ὄντες τοξεύειν. 57. Ἐχάνδανε] ἡ δεξιὰ αὐτοῦ χεὶρ χανδὼν περιελάμβανεν αὐτὸ, ὡς εὖρος ἔχουσα πολύ. 58. Ἤρυγεν] ἐρύγω, καὶ ἐρυγγάνω, ἐρεύγομαι· ενταῦθα δὲ, ἐχρήσατο πάσῃ τῇ ἐκ τοῦ πνεύμονος πνοῇ πρὸς τὸ φωνεῖν· ἀλλ' ἀραιὰ ἦν ἀπ' ἐναντίας ἡ τοῦ Ὕλου φωνὴ, ὡς ἀπὸ τοῦ βάθους τοῦ ὕδατος, ἔνθα ἐπεῖχον αὐτὸν αἱ Νῦμφαι· οὐ γὰρ εἴων αὐτὸν τεθνάναι. 62. Τίς] τινός· καὶ Τὶν, τινὶ καὶ τινά. 64. Ἀτρίπτους]

ρωτος ἐκταράξαντος αὐτῶν τὰς ἁπαλὰς φρένας πρὸς παῖδα ἁπαλώτερον Ἀργεῖον· Οὕτω δὴ κατέπεσεν ὁ νέος εἰς τὸ ὕδωρ, ὥσπερ πυρσὸς ἀστὴρ ἀπ' οὐρανοῦ ἐν τῇ θαλάσσῃ, ὃν ἰδὼν ὁ κυβερνήτης, ὦ παῖδες, εἶπεν πρὸς τοὺς ναύτας, ἀναπετάσατε ἤδη τὰ ἱστία· οὔριον γὰρ ἡμῖν ἔσται πνεῦμα αὐτίκα μάλα· Αἱ δὲ Νύμφαι ἀναλαβοῦσαι τὸν νέον ἐν ἀγκάλαις ὑποδεδακρυμένον, προσηνέσι παρεμυθοῦντο λόγοις· Ὁ δ' αὖ τοῦ Ἀμφιτρύωνος παῖς, δείσας περὶ τῷ παιδὶ, ἀναλαβὼν εὐθὺς Σκυθιστὶ τὰ τόξα ἐς τοὺς ὤμους, καὶ τὸ ῥόπαλον ἐν δεξιᾷ εὐρείᾳ, ᾤχετο ἐπὶ τὸν νέον· τρὶς δὲ τὸν Ὕλαν ἀπὸ βάθους τοῦ λάρυγκος φωνήσαντος αὐτοῦ, τοσάκις μὲν ἤκουσα ὁ παῖς, ἀλλ' ὡς ἀπὸ τοῦ ὕδατος ἀμυδρῶς ἀντιφωνοῦντος, μόλις ἤκουσεν ὁ Ἥρως· ὡς δ' ἐγγυτέρω γενόμενος, συνῆκε μᾶλλον τῆς φωνῆς, τότε δὴ καθάπερ λέων εὐπώγων, πόῤῥωθεν ἀκούσας ἐλάφου ἀνὰ τὰ ὄρη φθεγξαμένης, εὐθὺς ἐξεπήδησε τῆς εὐνῆς ὡς ἐφ' ἑτοίμην θοίνην· οὕτως Ἡρακλῆς τῷ τοῦ παιδὸς ἐλαυνόμενος πόθῳ, ἐνέπεσεν ἀκάνθαις ἀστιβέσι, πολὺ ἀδιεξίτητον περιπολῶν χωρίον.

Ὦ πόσον δυστυχεῖς καὶ κακοδαίμονές εἰσιν οἱ τοῖς ἔρωσι κεκρατημένοι· οἵων ἐπειράθη ὁ ἥρως οὗτος, ἐν ὄρεσι μὲν καὶ δρυμῶσιν ἀποπλανώμενος· τὸ δὲ τοῦ Ἰάσωνος τιθέμενος δεύ-

---

ᾶς οὐδείς πω ἐπεπατήκει. 65. Πολὺν ἀπελάμβανε χῶρον] μὴ γὰρ οὔσης ὁδοῦ, ἀπεπλανᾶτο, ὡς ἐν ἀδιεξιτήτῳ χωρίῳ πολλαχῇ. 66. Σχέτλιοι οἱ φιλέοντες] οἱ ἐρῶντες δηλονότι· ναὶ σχέτλιοι τῷ ὄντι καὶ κακοδαίμονες, καὶ οὐκ ἔσθ' ὅπως καλῶς ἀπαλλάξειαν τελευτῶντες, καὶ τοσοῦτον λυπήσονται οἱ κακοδαίμονες οὗτοι δοῦλοι τῶν παθῶν, ὅσον γε οἱ ἐγκρατεῖς καὶ σώφρονες εὐφραίνονται, κρείττους γενόμενοι, καὶ μηδέποτε μεταμεληθέντες, ὡς οἱ ἄ-

Ναῦς μένεν ἅρμεν' ἔχοισα μετάρσια· τῶν παρεόντων
Ἱστία δ' ἠΐθεοι μεσονύκτιον ἐξεκάθαιρον,
Ἡρακλῆα μένοντες· ὁ δ', ᾇ πόδες ἆγον, ἐχώρει
Μαινόμενος· χαλεπὰ γὰρ ἔσω θεὸς ἧπαρ ἄμυσσεν.
Οὕτω μὲν κάλλιστος Ὕλας μακάρων ἀριθμεῖται.
Ἡρακλέην δ' ἥρωες ἐκερτόμεον λιποναύταν,
Οὕνεκεν ἠρώησε τριακοντάζυγον Ἀργώ.
Πεσδᾷ δ' ἐς Κόλχως τε καὶ ἄξενον ἵκετο Φᾶσιν.

---

φρονες ἐκεῖνοι, οἷς ἡ συνείδησις ἀεὶ ἐπίκειται ὡς σφαῖρα σιδηρᾶ. 69. Ἐξεκάθαιρον] διετίθευν ἐν τάξει. 71. Ἄμυσσε] ἀμύσσω, ἐγχαράττω, σχίζω· ἔσμυχεν, ἔδακνεν. 72. Κάλλιστος μακάρων] κάλλιστος ἦν πάντων ἐν μα-

τερον! ἡ γὰρ ναῦς παρέμενεν, ἐν μετεώρῳ τὰ ἄρμενα ἔχουσα, καὶ οἱ νεώτεροι τῶν παρόντων ἐξεκάθαιρον τὰ ἱστία ἐς μέσην νύκτα, περιμένοντες Ἡρακλέα· ὁ δὲ ὡς μαινόμενος τῷ πάθει, ἐχώρει, ὅποι ἐκέλευον οἱ πόδες· ὁ γὰρ Ἔρως δεινῶς αὐτοῦ ἔδακε τὸ ἧπαρ· Ἐντεῦθεν ὁ μὲν καλὸς Ὕλας ἀριθμεῖται ἐν θεοῖς· τὸν δ' Ἡρακλέα οἱ συμπλέοντες κατεμέμφοντο ὡς λειποτάκτην, ἀνθ' ὧν κατέλιπε τὴν τριακοντάεδρον Ἀργώ· ἔπειτα δὲ ἀφίκετο πεζῇ ἐς Κόχλους παρὰ τὸν Φᾶσιν ποταμόν.

---

κάροις θεοῖς, ἀθάνατος γενόμενος ἐν τοῖς ὕδασιν. 74. Ἡρώησεν] κατέλιπε τὴν Ἀργώ, ἢ ὅτι ἀφεῖλεν ἑαυτὸν ἐκεῖθεν.

## ΥΠΟΘΕΣΙΣ

Εν τούτῳ τῷ Εἰδυλλίῳ ὑπόθεσίς ἐστι καταστάσεως ἐρωτικῆς τοῦ Κυνίσκας ἔρωτος· ἡ γὰρ γυνὴ τοῦ Αἰσχίνου μᾶλλον προσέκειτο Λύκῳ τινὶ, καταφρονοῦσα τοῦ Αἰσχίνου. Θυωνίχου δέ τινος ἑταίρου προσιόντος αὐτῷ διὰ

# *ΚΥΝΙΣΚΑΣ ΕΡΩΣ,*
## Η
# ΘΥΩΝΙΧΟΣ.

## *ΕΙΔΥΛΛΙΟΝ ΙΔ΄.*

### ΑΙΣΧΙΝΗΣ ΚΑΙ ΘΥΩΝΙΧΟΣ.

ΑΙΣΧΙΝΗΣ.

Χαιρειν πολλὰ τὸν ἄνδρα Θυώνιχον.

ΘΥΩΝΙΧΟΣ.

Ἀλλὰ τὺ αὐτὸν,
Αἰσχίνα.

ΑΙΣΧΙΝΗΣ.

Ὡς χρόνιος.

ΘΥΩΝΙΧΟΣ.

Χρόνιος· τί δέ τοι τὸ μέλημα;

1. Ἀλλὰ τυ αὐτὸν] ἀλλὰ καὶ σε αὐτὸν κελεύω ὁμοίως χαίρειν.

χρόνου, δικαίως εἰσάγεται, καὶ προλέγει. Τὰ δὲ πράγματα ἐν Σικελίᾳ. διηγεῖται αὐτῷ τὰ περὶ Κυνίσκας· κατὰ δὲ τὸ τέλος λέγει καὶ ὁ Θυώνιχος βραχὺ μὲν, ἀλλὰ λαμπρὸν Πτολεμαίου τοῦ φιλαδέλφου ἐγκώμιον.

## *ΚΥΝΙΣΚΑΣ ΕΡΩΣ,*

## Η

# ΘΥΩΝΙΧΟΣ.

## *ΕΙΔΥΛΛΙΟΝ ΙΔ'.*

### ΑΙΣΧΙΝΗΣ ΚΑΙ ΘΥΩΝΙΧΟΣ.

ΑΙΣΧΙΝΗΣ.

Χαιρειν φημὶ τὸν ἄνδρα Θυώνιχον·

ΘΥΩΝΙΧΟΣ.

Νὴ καὶ σέ γε αὐτὸν, ὦ Αἰσχίνη.

ΑΙΣΧΙΝΗΣ.

Ὡς χρόνιος πάρει.

ΘΥΩΝΙΧΟΣ.

Χρόνιος δήπου· σὺ δὲ τί παθὼν οὕτω σκυθρωπῶς ἔχεις;

ΑΙΣΧΙΝΗΣ.

Πράσσομες οὐχ ὡς λῷστα, Θυώνιχε.

ΘΥΩΝΙΧΟΣ.

Ταῦτ' ἄρα λεπτὸς,
Χῶ μύσταξ πολὺς οὗτος, αὐσταλέοι δὲ κίκιννοι.
Τοιοῦτος πρώαν τις ἀφίκετο Πυθαγορίκτας,
Ὠχρὸς, κἀνυπόδητος· Ἀθηναῖος δ' ἔφατ' ἦμεν.
Ἤρατο μὰν καὶ τῆνος (ἐμὶν δοκεῖ) ὀπτῶ ἀλεύρω.

ΑΙΣΧΙΝΗΣ.

Παίσδεις ὦ 'γάθ' ἔχων· ἐμὲ δ' ἁ χαρίεσσα Κυνίσκα
Ὑβρίσδει· λησῶ δὲ μανείς ποκα, θρὶξ ἀνὰ μέσσον.

ΘΥΩΝΙΧΟΣ.

Τοιοῦτος μὲν ἀεὶ τὺ, φίλ' Αἰσχίνα, ἅσυχος, ὀξὺς,
Πάντ' ἐθέλων κατὰ καιρόν. ὅμως δ' εἰπὸν, τί τὸ καινόν;

ΑΙΣΧΙΝΗΣ.

Ὡργεῖος, κἠγὼν, καὶ ὁ Θεσσαλὸς ἱπποδιώκτας
Ἄπις, καὶ Κλεύνικος ἐπίνομες ὁ στρατιώτας
Ἐν χώρῳ παρ' ἐμίν. δύο μὲν κατέκοψα νεοσσὼς,
Θηλάζοντά τε χοῖρον· ἀνῷξα δὲ Βίβλινον αὐτοῖς

---

4. Ἀϊσταλέοι] αὐσταλέοι, αὖοι, ἐσταλμένοι, αὐτοσχέδιοι· Κίκιννος δὲ ἡ ἐκ τῆς ἀτημελείας ἕλιξ τῶν τριχῶν, καὶ ἄτακτος περιστροφή. 5. Πυθαγορίκτης] ἀντὶ Πυθαγοριστής· διέφερον δὲ Πυθαγορικοὶ καὶ Πυθαγόρειοι· οἱ μὲν γὰρ πρῶτοι ἦσαν ἄμεσοι μαθηταὶ αὐτοῦ τοῦ διδασκάλου· οἱ δὲ δεύτεροι τῶν ἐκείνου μαθητῶν. Πυθαγορισταὶ δὲ οἱ καὶ ἀσκητικῷ χρώμενοι βίῳ. 7. Ὀπτῶ ἀλεύρω] μάζης· δεῖξαι δὲ βούλεται τούτοις, ὅτι καὶ ὁ Αἰσχίνης ἔνδειαν πάσχει τινὸς. τὸν ἔρωτα ἐννοῶν. 9. Λασῶ . . . μέσσον] τοσοῦτον δέω τοῦ μανῆναι, ὅσον ἐστὶ τὸ τῆς τριχὸς πάχος. Ἀπορεῖται δ' οὖν εἰ γαμετὴ αὐτῷ

ΑΙΣΧΙΝΗΣ.

Οὐκ εὖ ἡμῖν τὰ πράγματα, Θυώνιχε, ἔχει.

ΘΥΩΝΙΧΟΣ.

Τί φῄς; καὶ γὰρ καὶ λεπτός μοι δοκεῖς καὶ λίαν αὐχμηρὸς εἶναι· καὶ ὁ μύσταξ οὗτος ἀτημελήτως ἔχων, καὶ τὸ γένειον αὐτοσχέδιον μαρτυροῦσιν· τοιοῦτος δέ τις πρῴην ἡμῖν τῶν Πυθαγορικῶν ἀνεφάνη, ὠχρός τε καὶ ἀνυπόδητος· Ἀθηναῖος δὲ ἔφασκεν εἶναι· ἀλλ' ἐπεθύμει κᾀκεῖνος, ὡς ἔοικεν, ἀλεύρου ὀπτοῦ.

ΑΙΣΧΙΝΗΣ.

Σὺ δ', ὦγαθὲ, παίζοντι ἔοικας· ἐγὼ δὲ ὑβρίζομαι προπηλακιζόμενος παρὰ τῆς Κυνίσκης· καὶ λήσω ἐμαυτὸν περιστὰς εἰς μανίαν αὐτίκα μάλα· οὐδὲ πολλοῦ δεῖ, οὐδ' ὅσον θρὶξ μεταξύ.

ΘΥΩΝΙΧΟΣ.

Τοιοῦτος γὰρ σὺ γ', ὦ φίλ' Αἰσχίνη, ὁτὲ μὲν ἥσυχος, ὁτὲ δὲ ὀξὺς, τὸ σεαυτοῦ ἐν παντὶ καιρῷ βουλόμενος, ὦ βέλτιστε σύ γε· ἀλλ' ἴθι νῦν εἰπέ μοι, τίποτ' ἐνοχλῇ;

ΑΙΣΧΙΝΗΣ.

Ἆπις ὁ Ἀργεῖος, καὶ ὁ Ἱππότης Θεσσαλὸς, καὶ Κλεύνικος ὁ στρατιώτης, κᾀγὼ τέταρτος εὐωχούμεθα ἐν τῇ ἐμῇ οἰκίᾳ· παρέθηκα δ' αὐτοῖς δύο τεμὼν νεοσσοὺς καὶ χοιρίδιον ὑπομάζιον· ἀνέῳξα δ' αὐτοῖς ἔτι καὶ Βίβλινον οἶνον τετραετῆ μικ-

---

ἦν ἡ Κυνίσκα, ἣ ἄλλως ἐρωμένη. 11. Εἶπον] ἀντὶ τοῦ Εἰπέ· ἐκ τοῦ Ἀορίστου πρώτου εἶπας, εἰπὸν, εἰπάτω, ὁ εἴπας. 12. Ὡργεῖος (ὁ Ἀργεῖος) Ἆπις] ἑνούσθω δὲ ταῦτα ἐπιθετικῶς, ἵνα ὦσι τέσσαρες οἱ συνεστιώμενοι· ὡς ὁ αὐτὸς κατωτέρω (29.) ἐθέλει. 15. Βίβλινον] οἶνον· ἦν δὲ θαυμαστὸς δι'

Εὐώδη, τετόρων ἐτέων σχεδὸν, ὡς ἀπὸ λανῶ.
Βολβός τις κοχλίας ἐξηρέθη· ἧς πότος ἁδύς.
Ἤδη δὲ προϊόντος, ἔδοξ' ἐπιχεῖσθαι ἄκρατον,
Ὤτινος ἤθελ' ἕκαστος· ἔδει μόνον ὤτινος εἰπεῖν.
Ἄμμες μὲν φωνεῦντες ἐπίνομες, ὡς ἐδέδοκτο·
Ἁ δ' οὐδὲν, παρεόντος ἐμεῦ· τίν' ἔχεν μ' ἐδόκεις νοῦν;
Οὐ φθεγξῇ; Λύκον εἶδες, ἔπαιξέ τις, ὡς σοφὸς εἶπεν,
Χ' ἥφθα· εὐμαρέως κεν ἀπ' αὐτᾶς καὶ λύχνον ἅψαις.
Ἐντὶ Λύκος, Λύκος ἐντὶ, Λάβα τῶ γείτονος υἱὸς,
Εὐμάκης, ἁπαλὸς, πολλοῖς δοκέων καλὸς ἦμεν.
Τούτω τὸν κλύμενον κατετάκετο τῆνον ἔρωτα.
Χ' ἁμῖν τοῦτο δι' ὠτὸς ἔγεντό ποχ' ἅσυχον οὕτως·
Οὐ μὰν ἐξήταξα, μάταν εἰς ἄνδρα γενειῶν·
Ἤδη δ' ὦν πόσιος τοὶ τέτταρες ἐν βάθει ἦμες,
Χὠ Λαρισσαῖος τὸν ἐμὸν Λύκον ᾆδεν ἀπ' ἀρχᾶς,
Θεσσαλικόν τι μέλισμα, κακαὶ φρένες· ἁ δὲ Κυνίσκα
Ἔκλαεν ἐξαπίνας θαλερώτερον ἢ παρὰ ματρὶ
Παρθένος ἑξαέτις, κόλπω ἐπιθυμήσασα.

---

ἡδύτητα ὁ ἐκ τῆς ἐν τῇ Μεσημβρινῇ Θράκῃ Βιβλίνης. 16. Ὡς ἀπὸ ληνῶ] ἐφύλαττε τὴν ἐκ τοῦ ληνοῦ ἔτι ἡδύτητα. 17. Βολβός τι καὶ Κοχλίας ἐξηρέθη] ἔτρεψα τὸ Τὶς εἰς τὸν Καὶ, ἐκ τῆς ἀρχαιοτέρας ἐκδόσεως, ἵνα ὦσι δύο τὰ πράγματα· ἔστι δὲ Βολβὸς ἀγριοκρόμυόν τι, ᾧ ἐχρῶντο ἐν ταῖς εὐωχίαις ὄψῳ οἴνου καθ' Ὅμηρον. 18. Ἐπιχεῖσθαι] ἴδε ἀνωτέρω Εἰδ. Β'. στίχ. 151. — 19. Ὤτινος] οὗτινος ἕνεκα. 20. Φωνεῦντες] φωνοῦντες, ὀνομάζοντες τὸ πρόσωπον, ᾧ ἦν ἡμῖν ἡ φιλοτησία. 22. Οὐ φθεγξῇ;] τοῦτο εἶπεν εἷς τῶν τῶν συνακειμένων· ἦν δὲ παροιμιῶδες πρὸς τοὺς σιωπῶντας λέγειν, Λύκον εἶδες, καὶ διὰ τοῦτο σιωπᾷς, ὡς τῶν εἰδόντων λύκον σιωπώντων διὰ φόβον. ἐνταῦθα δὲ συνέπεσεν Λύκον ὀνομάζεσθαι καὶ τὸν ἐραστὴν τῆς Κυνίσκης· ὥστ' ἐκείνη, ἅμ' ἀκούσασα τὸ, Λύκον εἶδες, εἰς τὸν ἐραστὴν ἀναδραμούσης τῆς διανοίας, ἠρυθρίασε, ὡς ἐδόκει τὸ πρόσωπον αὐτῆς φλογιζόμενον. 24. Ἔν τι Λύκος] πότερον, Αἰσχίνης τοῦτό φη-

ροῦ δεῖν, ὡς ἀπ' αὐτοῦ τοῦ ληνοῦ ἡδὺν, προκειμένου καὶ βολβοῦ καὶ κοχλίου ἐρεθίζοντος εἰς πότον· ἦν δ' ἐντεῦθεν ἡμῖν πάνθ' ἡδέα· τοῦ δὲ πότου προϊόντος, ἔδοξεν ἡμῖν ἄκρατον ἐπιχεῖσθαι, οὗτινος ἂν βούληται ἕκαστος· ἔδει δ' ὀνομάσαντας, ᾧτινι τοῦθ' ἕκαστος ἐποίει; πράττειν ταῦτα. Ἡμεῖς τοίνυν ἐπίνομεν οὕτω ποιοῦντες· ἡ δὲ Κυνίσκα οὐδ' ἐφθέγξατο, ἐμοῦ παρόντος· πῶς οὖν δοκεῖς με ἔχειν ὁρῶντα τοῦτο; εἶθ' οὕτως εἶπέ τις παίζων, ὡς δεξιῶς τοῦτ' εἰπὼν, οὐκ ἐρεῖς τι; μῶν Λύκον εἶδες; ἡ δ' εὐθὺς ἐρυθριάσασα ἐπὶ τῷ λόγῳ, ἐδόκει πᾶν ἀφθῆναι τὸ πρόσωπον, ὡς καὶ λύχνον ἀπ' αὐτῆς ῥᾳδίως ἅψαι· Λύκος ἐστὶ, Λύκος ἐστὶν ὁ τοῦ Λάβα τοῦ γείτονος υἱὸς, ὁ εὐμήκης, ἁπαλὸς, ὁ πολλοῖς δοκῶν καλὸς εἶναι· τούτου γὰρ τῷ ἔρωτι κατετήκετο· καὶ τοῦτο δὴ κἀμοί ποτε τὸ οὖς εἰσῆλθεν· οὐ μὴν δ' ἐξήτασα, ἵνα μὴ δόξω μάτην πώγωνα φύσας· Τοῦ δ' οὖν πότου προϊόντος, τεσσάρων ἡμῶν ὄντων, οὑπίτρεπτος Λαρισσαῖος, ᾖσε μέλος Θετταλικὸν, Λύκῳ ἐγκώμιον· ἡ δὲ Κυνίσκη ἤρξατο αἴφνης κλαίειν πλέον, ἢ ἑξαέτις παρὰ μητρὶ παρθένος, ἐπιθυμήσασα τοῦ κόλπου· τότε δὴ ἐξαφθεὶς θυμῷ, οἷον οἶσθά μέ γε σὺ, ὦ

---

σιν, ἢ Θυώνιχος, ἢ καὶ αὐτὴ ἡ Κυνίσκη; Αἰσχίνης μᾶλλον. 26. Τὸν Κλύμενον] τὸν περιβόητον ἔρωτα· ἐννοείσθω δὲ ἡ Κατὰ εἰς ἀπόδοσιν. 27. Ἅσυχον] ὡς εἰ ἔλεγεν, ἤκουσα κἀγώ ποτε τὸ τοιοῦτον, ἀλλ' οὐ τετάραγμαι. 28. Μάτην εἰς ἄνδρα γενειῶν] ἐν ἑκάστῃ ἡλικίᾳ ἔστι καὶ βαθμὸς τοῦ πλέον τι φρονεῖν· ὁπότε γάρ τις ἐς ἄνδρας παραγγείλειε, καὶ τὸ ἀνδρεῖον ἱμάτιον ἀπολάβοι, τότε δὴ φρονιμώτερον εἶναι δεῖ· καὶ πολλῷ μᾶλλον, καθειμένος καὶ γένειον ἵν' οὖν μὴ δόξῃ μάτην εἰς ἄνδρας ἐγραφῆναι, καὶ γένειον τρέφειν, οὐκ ἐξήτασα τὸ πρᾶγμα νεανικῶς. 31. Κακαὶ φρένες] κακῶς ποιήσας

Τᾶμος ἐγὼν, τὸν ἴσης τὺ, Θυώνιχε, πὺξ ἐπὶ κόῤῥας
Ἤλασα, κἄλλαν αὖθις· ἀνειρύσασα δὲ πέπλως,
Ἔξω ἀπῴχετο θᾶσσον· Ἐμὸν κακὸν, οὔ τοι ἀρέσκω;
Ἄλλός τοι γλυκίων ὑποκόλπιος· ἄλλον ἰοῖσα
Θάλπε φίλον· τήνῳ τὰ σὰ δάκρυα μᾶλα ῥέοντι.
Μάστακα δ' οἷα τέκνοισιν ὑπωροφίοισι χελιδὼν
Ἄψοῤῥον ταχινὰ πέτεται, βίον ἄλλον ἀγείρεν.
Ὠκυτέρα μαλακᾶς ἀπὸ δίφρακος ἔδραμε τήνα
Ἰθὺ δι' ἀμφιθύρω καὶ δικλίδος, ᾇ πόδες ἆγον·
Αἶνος θὴν λέγεταί τις, ἔβα καὶ ταῦρος ἀν' ὕλαν.
Εἴκατι ταίδ', ὀκτὼ ταίδ', ἐννέα ταίδε, δέκ' ἄλλαι,
Σάμερον ἑνδεκάτα, ποτίθει δύο· καὶ δύο μᾶνες,
Ἐξ ὧ ἀπ' ἀλλάλων, οὐδὲ Θρᾳκιστὶ κέκαρμαι.
Οἱ δὲ Λύκος νῦν πάντα, Λύκῳ καὶ νυκτὸς ἀνῷκται·
Ἄμμες δ' οὔτε λόγω τινὸς ἄξιοι, οὔτ' ἀριθματοὶ,

ὁ Λαρισσαῖος. 34. Τὸν ἴσης τὺ] ὃν οἶδας καὶ αὐτός· παρὰ τὸ ἴσημι, ἴσης, ἴσησι. 35. Ἀνειρύσασα] συναγαγοῦσα, καὶ δήσασα. 36. Ἐμὸν κακὸν] ταῦτ' ἔλεγεν Αἰσχίνης, ἐκείνης ἀναχωρούσης. 38. Μᾶλα ῥέοντι] μῆλα λέγει τὰς παρειὰς ἐνταῦθα· ὡς παρὰ Μόσχῳ Εἰδ. Δ'. στίχ. 56. ἀποδιδώασι γὰρ οὕτω τὰ μῆλα τοῖς Ἔρωσι διὰ τὴν τοῦ χρώματος χάριν. 39. Μάσακα] τροφήν· ἔστι δὲ καὶ εἶδος ἀκρίδος λεπτῆς· ἣν ἔτι καὶ νῦν ἡ συνήθεια Μάστακα καλεῖ· δυνατὸν δὲ ταύτην λέγειν κἀνταῦθα, ἐπειδὴ τοιαῦτα ζωΰφια προσφέρουσι τοῖς ἀπτῆσιν ἑαυτῶν νεοσσοῖς. Ἴδε δὲ Ὅμ. Ἰλ. Ι'. στίχ. 324. ἐμῇ ἐκδόσει σχόλ. 42. Ἀμφιθύρω καὶ δικλίδος] ἔστω δὲ ταῦτ' ἀμφω

Θυώνιχε, ἔπαισα πὺξ αὐτὴν ἐπὶ κόῤῥης ἅπαξ πρῶτον, εἶτα δὲ καὶ δευτέραν ὁμοίαν· ἡ δὲ ἀνηρμένη τὰ ἑαυτῆς ἱμάτια παραχρῆμα, ᾤχετ᾽ ἀπιοῦσα, ἐμοῦ ἐπειπόντος· ὦ κακὸν ἐμὸν οὐκ ἀρέσκω σοὶ ἐγώ; ἄλλος ἐμοῦ τοῖς σοῖς κόλποις ἐστὶν ἡδίων; ἴθι ὑποθέρμαινε ἐκεῖνον, ᾧ καὶ τὰ δάκρυά σοι καταῤῥέουσιν ὡς μῆλα· Εἶδες δ᾽ οὖν, ὅπως χελιδὼν, μάστακα τοῖς ὑποῤῥόφοις τέκνοις κομίσασα, παραχρῆμ᾽ ἀπῆλθε πάλιν καὶ ἕτερον αὐτοῖς ποριουμένη· οὕτω κἀκείνη, ἀπὸ μαλακῆς ἐκπηδήσασα ἕδρας, ἐξέδραμεν δι᾽ ἀμφιθύρου καὶ δίκλιδος, ὅποι αὐτῇ οἱ πόδες ἡγεμόνες ἐγένοντο· Νῦν δ᾽ οὖν ἀληθεύει καὶ ἡ παροιμία, Ταῦρος ἐς τὸ δάσος· ἰδοὺ ἡμέραι εἴκοσι, ἔτι ὀκτὼ, ἔτι ἐννέα, δέκα ἕτεραι, καὶ σήμερον ἑνδεκάτη, εἰ προσθείης ἔτι καὶ δύο, ἰδοὺ μῆνες τὸ σύνολον δύο, ἐξ οὗ διαζευχθεὶς ἐκείνης, οὐδέπω ἐκειράμην κατ᾽ ἄνδρα Θρᾷκα· ἐκείνῃ δὲ πάντ᾽ ἐστὶ Λύκος, καὶ πάντα Λύκῳ καὶ νυκτὸς ἐστὶν ἀνεῳγμένα· ἡμεῖς δ᾽ οὐδὲ λόγου δοκῶμεν ἄξιοι εἶναι, οὐθ᾽ ὅλως ἐναρίθμιοι ἀνθρώποις· Δύστηνοι Με-

---

ἀνθ᾽ ἑνὸς καὶ ἐκ παραλλήλου· ἢ τὸ μὲν Ἀμφίθυρον εἰλήφθω ἐπὶ οἰκίας, δύο θύρας ἑκατέρωθεν ἐχούσας· τὸ δὲ Δικλὶς, ἐπὶ θύρας διπλῆς, ἑκατέρωθεν εἰς ἓν ἐπιζυγουμένης. 43. Αἶνος] λόγος, μῦθος, παροιμία· ὡς τὸν ταῦρον ἐν τῷ δάσει δύσληπτον δῆθεν ὄντα· οὕτω φησὶ καὶ τὴν Κυνίσκαν νῦν, εἰς ἑτέρων ἔρωτα ἐμπεσοῦσαν. Ἐνταῦθα δὲ, οἷον ἐπὶ τῶν δακτύλων ἀπαριθμεῖ τὰς ἡμέρας, ἀφ᾽ ἧς διεζεύχθησαν ἀπ᾽ ἀλλήλων. 46 Θρακιστὶ] ὡς εἰ ἔλεγε κα-

Δύστανοι Μεγαρῆες, ἀτιμοτάτῃ ἐνὶ μοίρᾳ.
Κ' εἰ μὲν ἀποστέρξαιμι, τὰ πάντα κεν εἰς δέον ἕρποι·
Νῦν δὲ ποθ', ὡς μῦς (φαντὶ) Θυώνιχε, γεύμεθα πίσσας.
Χῶτι τὸ φάρμακόν ἐστιν ἀμηχανέοντος ἔρωτος,
Οὐκ οἶδα· πλὰν Σῖμος, ὁ τᾶς Ἐπιχάλκω ἐρασθείς,
Ἐκπλεύσας ὑγιὴς ἐπανῆλθ' ἐμὸς ἁλικιώτας.
Πλευσοῦμαι κἠγὼν διαπόντιος· οὔτε κάκιστος,
Οὔτε πρᾶτος ἴσως, ὁμαλὸς δέ τις ὁ στρατιώτας.

ΘΥΩΝΙΧΟΣ.

Ὤφελε μὰν χωρῆν κατὰ νοῦν τεόν, ὧν ἐπεθύμεις,
Αἰσχίνα· εἰ δ' οὕτως ἄρα σοὶ δοκεῖ, ὥστ' ἀποδαμεῖν,
Μισθοδότας Πτολεμαῖος ἐλευθέρῳ οἷος ἄριστος.

ΑΙΣΧΙΝΗΣ.

Τἄλλα δ' ἀνὴρ ποῖός τις;

ΘΥΩΝΙΧΟΣ.

Ἐλευθέρῳ ὅστις ἄριστος.
Εὐγνώμων, φιλόμωσος, ἐρωτικὸς, εἰς ἄκρον ἁδύς.
Εἰδὼς τὸν φιλέοντα, τὸν οὐ φιλέοντ' ἔτι μᾶλλον·
Πολλοῖς πολλὰ διδούς· αἰτεύμενος, οὐκ ἀνανεύων,
Οἷα χρὴ βασιλῆ'· αἰτεῖν δὲ δεῖ οὐκ ἐπὶ παντί,

---

μῶ ἀτημελήτως, ὥσπερ ἡ Θρᾴκη. 49. Δύστανοι Μεγαρῆς] ἡ λέξις, Ἀριθματοί, ἐξεκίνησε τὴν μνήμην αὐτοῦ ἀναδραμεῖν εἴς τινα χρησμὸν τῆς Πυθίας τοῦτο αὐτὸ τὸ μὴ ἐν Ἀριθμῷ κἀκείνους εἶναι εἰπούσης. Ἔστι δ' ὁ χρησμὸς οὗτος.

» Γαίης μὲν πάσης τὸ Πελασγικὸν Ἄργος ἄμεινον·
» Ἵπποι Θρηΐκιαι, Λακεδαιμόνιαι δὲ γυναῖκες.

γαρεῖς, οἱ ἐν Καρὸς μοίρᾳ ποτὲ καταταχθέντες· Ἀλλ' εἰ μὲν ἀπαλλαγείην τοῦ πάθους τούτου, καλῶς ἔμοι γ' ἕξει· νῦν δὲ δίκην μυὸς κατὰ τὴν παροιμίαν γεγεύμεθα πίσσης· καὶ οὐκ οἶδ' ὅ,τι ἂν εἴη φάρμακον ἔρωτος ἀμηχάνου· εἰμὴ ὅ,τι πόθ' εὕρατο καὶ Σίμος οὑμὸς ἡλικιώτης, ὁ τῷ ἔρωτι τῆς τοῦ Ἐπιχάλκου θυγατρὸς ἁλούς· οὗτος γὰρ ἐκπλεύσας, ἐπανῆλθεν ἀπηλλαγμένος· Πλευσοῦμαι τοίνυν κἀγὼ, στρατιώτου βίον ἑλόμενος· καὶ οἶμαί γε, εἰ μὴ ἐν τοῖς πρώτοις δοκιμασθείην, ἀλλὰ τὴν τῶν ἐσχάτων ἀποφευξοῦμαι τάξιν.

ΘΥΩΝΙΧΟΣ.

Εἴθε ἦν σοι πάντα κατὰ θυμὸν ἐξ ἀρχῆς, ὡς ἐπεθύμεις, ὦ βέλτιστε Αἰσχίνη· ἀλλ' ἐπειδὴ νῦν ἔγνως οὕτω, Πτολεμαῖός ἐστιν ἐλευθέρῳ ἀνδρὶ ἄριστος μισθοδότης.

ΑΙΣΧΙΝΗΣ.

Εἶεν τοῦτο, τὰ δ' ἄλλα ποῖός ἐστιν ἀνήρ;

ΘΥΩΝΙΧΟΣ.

Ὡς ἄριστος ἐλευθέρῳ ἀνδρὶ, φιλόμουσος, ἐρωτικὸς, ἥδιστος, οἷος κρίνειν φιλοῦντα καὶ μὴ φιλοῦντα, κοινωνικός· αἰτούμενος γὰρ, δίδωσιν, ἃ χρὴ βασιλέα ὄντα, δοῦναι· ἀπο-

---

» Ἄνδρες δ' οἱ πίνουσιν ὕδωρ καλῆς Ἀρεθούσης.
» Ἀλλ' ἔτι καὶ τῶνδ' εἰσὶν ἀμείνονες, οἵτε μεσηγὺ
» Τίρυνθος ναίουσι καὶ Ἀρκαδίης πολυμήλου
» Ἀργεῖοι λινοθώρηκες, κέντρα πτολέμοιο.
» Ὑμεῖς δ', ὦ Μεγαρεῖς, οὔτε τρίτοι, οὔτε τέταρτοι,
» Οὔτε δυωδέκατοι, οὔτ' ἐν λόγῳ, οὔτ' ἐν ἀριθμῷ.

51. Μῦς] παροιμία· μῦς γὰρ πίσσης γευόμενος, οὐ μόνον αἰσθάνεται ἀηδίαν,

Αἰσχίνα· ὥστ' εἴ τοι κατὰ δεξιὸν ὦμον ἀρέσκει
Λῶπος ἄκρον περονᾶσθαι, ἐπ' ἀμφοτέροις δὲ βεβακὼς,
Τολμασεῖς ἐπιόντα μένειν θρασὺν ἀσπιδιώταν,
Ἆ τάχος εἰς Αἴγυπτον· ἀπὸ κροτάφων πελόμεσθα
Πάντες γηραλέοι, καὶ ἐπισχερὼ ἐς γένυν ἕρπει
Λευκαίνων ὁ χρόνος. ποιεῖν τι δεῖ, ἆς γόνυ χλωρόν.

---

ἀλλὰ καὶ ἑλιττόμενος ἐν αὐτῇ κινδυνεύει. 66. Λῶπος τὴν χλαμῖδα στρατιωτικήν· ἣν περονῶνται περὶ τὸν τράχηλον κατὰ τὸν ὦμον μᾶλλον τὸν δεξιόν. 68. Ἆ τάχο.] ἢ τάχους ἔχεις· ὅσον τάχος, ἀνάγου εἰς Αἴγυπτον πρὸς

ῥίπτει δὲ, ἃ οὐκ ἄξιον αὐτὸν ἀκούειν· διὸ αἰτεῖν δεῖ, ἃ δεῖ αἰτεῖν· Τέως δ᾽ οὖν εἰ τολμήσεις, ἐμπεπορπημένος τὴν χαμύδα, καὶ τοῖς σκέλεσι διαβεβηκὼς, ἐπιόντα πολέμιον ὑποστῆναι, ἴθι θᾶσσον εἰς Αἴγυπτον· ὁρᾷς γὰρ ὅπως ἀπὸ τῶν κροτάφων κατ᾽ ὀλίγον ἀρχομένη ἡ πολιὰ, κάτεισι τῷ χρόνῳ ἐπὶ τὸν πώγωνα· ποιεῖν οὖν τι χρὴ πρὸς τὸ γῆρας μέχρις οὗ ἐν ἀκμῇ ἐστι τὸ γόνυ.

---

τὸν Πτολεμαῖον, μέχρις αὖ νεώτερος εἶ. 69. Ἐπισχερὼ] κατὰ μικρὸν καὶ ἠρέμα τὸ γῆρας ἥκει. 70. Ἇς] ἕως οὗ τὸ γόνυ ἐστὶν ἀκμάζον.

## ΥΠΟΘΕΣΙΣ

Επιγραφεται μὲν τὸ Εἰδύλλιον Συρακούσιαι, ἢ Ἀδωνιάζουσαι· τὰ δὲ πράγματά εἰσιν ἐν Ἀλεξανδρείᾳ. Ὑποτίθεται γάρ τινας, Συρακουσίας τὸ γένος, παρεπιδημούσας ἐν Ἀλεξανδρείᾳ, καὶ κατὰ τάξιν ἐπὶ θέαν ἐξιούσας τῆς πομπῆς τοῦ κοσμηθέντος Ἀδώνιδος ὑπὸ Ἀρσινόης τῆς Πτολεμαίου τοῦ Φιλαδέλφου γυναικός. Ἔθος γὰρ εἶχον οἱ ἐν Ἀλεξανδρείᾳ ἐν τοῖς Ἀδωνίοις καλουμένοις (ἑορτὴ δὲ ἦν ὑπὲρ τοῦ Ἀδώνιδος τελουμένη,) κοσμεῖν εἴδωλα τοῦ Ἀδώνιδος, καὶ μετὰ τῶν ὑπερεχουσῶν ἐπὶ τὴν θάλατταν κομίζειν. Παραγίνεται ἡ Γοργὼ πρὸς Πραξινόην, καὶ παραλαβοῦσα αὐτὴν ἐξέρχονται ἐπὶ τὴν θέαν. Παρέπλασε δὲ τὸ ποιημάτιον ἐκ

# *ΣΥΡΑΚΟΥΣΙΑΙ*
# Η
# ΑΔΩΝΙΑΖΟΥΣΑΙ.

## *ΕΙΔΥΛΛΙΟΝ ΙΕ'.*

ΓΟΡΓΩ, ΠΡΑΞΙΝΟΗ, ΓΡΑΥΣ, ΞΕΝΟΣ, [ΕΤΕΡΟΣ ΞΕΝΟΣ, ΓΥΝΗ ΑΟΙΔΟΣ.]

ΓΟΡΓΩ.

Ενδοι Πραξινόα;

1. Ἔνδοι] ἡ Γοργὼ ἐλθοῦσα ἔξωθεν, πυνθάνεται Εὐνόης δούλης οὔσης, εἰ

τῶν παρὰ Σώφρονι θεμένων τὰ Ἴσθμια. Ἔστι δὲ κεχωρισμένον τοῦ ποιητικοῦ προσώπου· καὶ γὰρ πρόσωπα εἰσάγονται, ἥ τε Γοργὼ, καὶ ἡ Πραξινόη, καὶ ἡ τῆς Πραξινόης θεράπαινα. Ἄρχεται δὲ Γοργώ. Προϊόντος δὲ τοῦ Εἰδυλλίου καὶ ἕτερα πρόσωπα παρεισάγονται, Γραύς τις, Ἀνὴρ, καὶ γυνὴ Ἀοιδός.

Αἱ δὲ Συρακούσιαι, ἐξελθοῦσαι τῶν οἴκων, θαυμάζουσι τὸν ὄχλον, καὶ ὅσα ἐν τῷ ὄχλῳ. Διαγράφει δὲ ὁ Θεόκριτος ἐπιδημούσας ἐν Ἀλεξανδρείᾳ χαριζόμενος τῇ Βασιλίδι, τόν τε σκυλμὸν καὶ βιασμὸν τῶν ἀνδρῶν, καὶ ᾄδουσάν τινα, καὶ τὴν πολυτέλειαν τῆς Ἀρσινόης δι᾽ ᾠδῆς ἀπαγγέλλουσαν.

## *ΣΥΡΑΚΟΥΣΙΑΙ*
## Η
# ΑΔΩΝΙΑΖΟΥΣΑΙ.

## *ΕΙΔΥΛΛΙΟΝ ΙΕ΄.*

ΓΟΡΓΩ, ΠΡΑΞΙΝΟΗ, ΓΡΑΥΣ, ΞΕΝΟΣ, (ΕΤΕΡΟΣ ΞΕΝΟΣ, ΓΥΝΗ ΑΟΙΔΟΣ.)

ΓΟΡΓΩ.

ΕΝΔΟΝ ἐστὶν ἡ Πραξινόη;

ἡ Πραξινόη ἔνδον ἐστίν· ἡ δὲ Πραξινόη, ὑπολαβοῦσα, δέχεται αὐτὴν, καὶ

ΠΡΑΞΙΝΟΗ.

Γοργοῖ φίλα, ὡς χρόνῳ; ἐνδοῖ,
Θαῦμ᾽ ὅτι καὶ νῦν ἦνθες· ὅρη δίφρον, Εὐνόα, αὐτᾷ,
Ἔμβαλε καὶ ποτίκρανον.

ΓΟΡΓΩ.

Ἔχει κάλλιστα.

ΠΡΑΞΙΝΟΗ.

Καθίζευ.

ΓΟΡΓΩ.

Ὢ τᾶς ἀδαμάτω ψυχᾶς· μόλις ὔμμιν ἐσώθην,
Πραξινόα, πολλῶ μὲν ὄχλω, πολλῶν δὲ τεθρίππων·
Παντᾷ κρηπῖδες, παντᾷ χλαμυδηφόροι ἄνδρες·
Ἁ δ᾽ ὁδὸς ἄτρυτος· τὺ δ᾽ ἑκαστοτέρω ἔμ᾽ ἀποικεῖς.

ΠΡΑΞΙΝΟΗ.

Ταῦθ᾽ ὁ πάραρος τῆνος ἐπ᾽ ἔσχατα γᾶς ἔλαβ᾽ ἐνθὼν,
Ἰλεὸν, οὐκ οἴκησιν, ὅπως μὴ γείτονες ὦμες
Ἀλλάλαις ποτ᾽ ἔριν φθονερὸν κακὸν, αἰὲν ὅμοιος.

ΓΟΡΓΩ.

Μὴ λέγε τὸν τεὸν ἄνδρα, φίλα, Δείνωνα τοιαῦτα,
Τῶ μικκῶ παρεόντος. ὅρη, γύναι, ὡς ποθορῆ τυ.

---

φησιν ἀποκρινομένη περὶ ἑαυτῆς, ἔνδον ἐστίν. 3. Ποτίκρανον] πρόσκρανον, προσκεφάλαιον. 4. Ὢ τῆς ἀδαμάτου ψυχᾶς] αὐτὴ ἑαυτὴν θαυμάζει, ὡς τοσοῦτον ὑπομείνασα πόνον καθ᾽ ὁδόν. 5. Πολλῶ ὄχλω] ἕνεκα, ἢ οὕτως· ὃ καὶ μᾶλλον, διὰ πολλοῦ διεσώθην ὄχλου. 6. Κρηπῖδες] ὑποδήματα στρατιωτικά. 7. Ἑκαστοτέρω] πολὺ πόῤῥω ἀπ᾽ ἐμοῦ. 8 Ἐπ᾽ ἔσχα-

ΠΡΑΞΙΝΟΗ.

Γοργοῖ φίλη, ὡς διὰ χρόνου ἡμῖν πάρει· ἔνδον εἰμί· θαυμαστὸν δ᾽ ὅτι καὶ νῦν ἦλθες· σὺ δ᾽, Εὐνόη, φρόντισον αὐτῇ δίφρου, ἐμβαλοῦσα καὶ προσκεφάλαιον.

ΓΟΡΓΩ.

Καλῶς ἔχει· ἐνδεῖ οὐδενός.

ΠΡΑΞΙΝΟΗ.

Οὐκοῦν κάθησο·

ΓΟΡΓΩ.

Ὢ τῆς ἐμῆς καρτερίας! τί γὰρ οἴει, φίλη Πραξινόη; μόλις εἰς ὑμᾶς διεσώθην ὡς διὰ πολλοῦ μὲν ὄχλου, πολλῶν δὲ τεθρίππων διατρεχόντων, πανταχοῦ κρηπιδοφόροι ἄνδρες, πανταχοῦ χλαμυδοφόροι· καὶ ἡ ὁδὸς μάλιστα μακρὰ, τοσοῦτον σοῦ ἀπεχούσης.

ΠΡΑΞΙΝΟΗ.

Διὰ ταῦθ᾽ ὁ μωρὸς ἐκεῖνος, ἐς τοὔσχατον γῆς ἐλθὼν, ἔλαβεν οὐκ ἂν εἴποιμι οἰκίαν, ἀλλ᾽ αὐτόχρημα φωλεὸν, ὅπως μὴ ὦμεν γείτονες· τοιοῦτος φιλόνεικος καὶ μοχθηρὸς τυγχάνει.

ΓΟΡΓΩ.

Εὐφήμει, ὦ φίλη· μηδὲ λέγε τὸν σαυτῆς ἄνδρα κακῶς, παρόντος τοῦ παιδίου· ἢ οὐχ ὁρᾷς, ὅπως πρὸς τὸν λόγον ἐπιστραφὲν, φροντίζει;

---

τα γῆς] ὡς ὁ κοινὸς λόγος, εἰς τὰ πέρατα τῆς γῆς. 12. Τῷ μικκῷ] Δωρικῶς, ἀντὶ μικροῦ.—Ὡς ποθορῇ τυ] προσορῇ σε, ὅτι κακῶς εἶπας αὐτοῦ τὸν

ΠΡΑΞΙΝΟΗ.

Θάρσει, Ζωπυρίων, γλυκερὸν τέκος· οὐ λέγω ἀπφῦν.

ΓΟΡΓΩ.

Αἰσθάνεται τὸ βρέφος, ναὶ τὰν πότνιαν· καλὸς ἀπφῦς.

ΠΡΑΞΙΝΟΗ.

Ἀπφῦς μὰν τῆνος πρώαν, (λέγομες δὲ πρώαν θὴν
Πάντα) νίτρον καὶ φῦκος ἀπὸ σκανᾶς ἀγοράσδων,
Ἦνθε φέρων ἅλας ἄμμιν, ἀνὴρ τρισκαιδεκάπηχυς.

ΓΟΡΓΩ.

Χὡμὸς ταὖτά γ' ἔχει, φθόρος ἀργυρίω, Διοκλείδας·
Ἑπτὰ δραχμῶν, κυνάδας, γραιᾶν ἀποτίλματα πηρᾶν,
Πέντε πόκως ἔλαβ' ἐχθὲς, ἅπαν ῥύπον, ἔργον ἐπ' ἔργῳ·
Ἀλλ' ἴθι, τὠμπέχονον καὶ τὰν περονατρίδα λαζεῦ.
Βᾶμες τῶ βασιλῆος ἐς ἀφνειῶ Πτολεμαίω,
Θασόμεναι τὸν Ἄδωνιν· ἀκούω χρῆμα καλόν τι
Κοσμεῖν τὰν βασίλισσαν.

ΠΡΑΞΙΝΟΗ.

Ἐν ὀλβίῳ ὄλβια πάντα.
Ὧν εἶδες, χ' ὧν εἶπας, ἰδοῖσα τὺ τῷ μὴ ἰδόντι.

---

πατέρα. 13. Ἀπφῦν] τὸν πατέρα λέγει, ὡς οἱ παῖδες εἰώθασι καλεῖν αὐτόν· εἰσὶ δὲ τοιαῦτα πολλά· οἷον, Αττα καὶ Τάττα, Ἄππα καὶ Πάππα καὶ τοῦτο αὐτὸ, Ἀπφᾶ καὶ τὸ παρ' Ὁμήρῳ πολλάκις πρὸς σέβας, Τέττα. 14. Ναὶ τὴν πότνιαν.] τὴν Περσεφόνην λέγει. Ζεὺς γὰρ λέγεται δοῦναι τῇ Κόρῃ δῶρον τὴν Σικελίαν.—Καλὸς Ἀπφῦς] πρὸς τὸ παιδίον τοῦτο. 16. Ἀπὸ Σκηνῆς] ὑφ' ἣν ἐπωλοῦντο ταῦτα· ἢ ἀπὸ τῆς ἀγορᾶς. 17. Τρισκαιδεκάπηχυς]

ΠΡΑΞΙΝΟΗ.

Θάῤῥει σὺ, γλυκερὸν τέκνον Ζωπυρίων· οὐ τὸν σὸν φημι πατέρα·

ΓΟΡΓΩ.

Αἰσθάνεται τὸ βρέφος νὴ τὴν Περσεφόνην· Καλὸς ἀπφῶς, Ζωπυρίων.

ΠΡΑΞΙΝΟΗ.

Ἀπφῶς ἐκεῖνος, ὃς πρώην, πάνυ πρώην, ὠνησάμενος νίτρον καὶ φῦκος ἀπὸ τῆς ἀγορᾶς, ἀνὴρ τρισκαιδεκάπηχυς ὅλως, ἦλθε φέρων μοι ἅλας.

ΓΟΡΓΩ

Τοιοῦτός ἐστι χ᾽ οὑμὸς Διοκλείδης· ὃς πέντε πόκους ἀποτίλματα παλαιῶν θυλάκων, ὥσπερ ἐκ κυνῶν, ῥύπου πλέα, ἀμήχανα ἐκκαθάραι, ἑπτὰ ὠνήσατο δραχμῶν· Ἀλλὰ νῦν λαβοῦσα τὸ σαυτῆς ἀμπεχόνιον, καὶ τὴν περονήτιδα, βαδίζωμεν παρὰ τὰς θύρας τοῦ ἀφνειοῦ Πτολεμαίου. φασὶ γὰρ μέγα τι παρασκευάζεσθαι τὴν βασίλισσαν ἐπιδείξασθαι.

ΠΡΑΞΙΝΟΗ.

Παρ᾽ ὀλβίοις πάντα ὄλβια τυγχάνει γε ὄντα· σὺ δ᾽, ὧν εἶδες, καὶ ὧν εἶπας ἰδοῦσα, λέγοις ἄν τι καὶ ἡμῖν τοῖς μὴ ἰδοῦσι.

---

ἐπιμήκην μὲν τὸ σῶμα, μικρὸς δὲ τὸν νοῦν. 19. Γραιῶν πηρῶν] τίλματα παλαιῶν σάκκων, ἤτοι παλαιῶν δερμάτων· τὸ σύνολον ῥύπον αὐτόχρημα, ὥστε κέκμηκα ἀποπλύνουσα δὶς καὶ τρίς. 22. Ἐς βασιλῆος] ἐς τὰ ἀνάκτωρα τοῦ Πτολεμαίου. 24. Ἐν ὀλβίῳ] ἐν τῷ οἴκῳ τοῦ ὀλβίου ὄλβιά εἰσι πάντα· σὺ δὲ ὧν εἶδες καὶ εἶπας κοσμεῖν τὴν βασίλισσαν, λέγοις ἂν καὶ

ΓΟΡΓΩ.

Ἕρπειν ὥρα κ' εἴη· ἀεργοῖς αἰὲν ἑορτά.

ΠΡΑΞΙΝΟΗ.

Εὐνόα, αἶρε τὸ νᾶμα, καὶ ἐς μέσον, αἰνόθρυπτε,
Θὲς πάλιν· αἱ γαλέαι μαλακῶς χρήσδοντι καθεύδειν·
Κινεῦ δὴ, φέρε θᾶσσον ὕδωρ· ὕδατος πρότερον δεῖ.
Ἇδ' ὡς νᾶμα φέρει· δὸς ὅμως· μὴ πουλὺ, ἄπληστε,
Ἔγχει ὕδωρ· δύστανε, τί μευ τὸ χιτώνιον ἄρδεις;
Παῦσαι· ὁποῖα θεοῖς ἐδόκει, τοιαῦτα νένιμμαι.
Ἁ κλὰξ τᾶς μεγάλας πᾷ λάρνακος; ὧδε φέρ' αὐτάν.

ΓΟΡΓΩ.

Πραξινόα, μάλα τοι τὸ καταπτυχὲς ἐμπερόναμα
Τοῦτο πρέπει. λέγε μοι, πόσσω κατέβα τοι ἀφ' ἱστῶ;

ΠΡΑΞΙΝΟΗ.

Μὴ μνάσῃς, Γοργοῖ· πλέον ἀργυρίω καθαρῶ μνᾶν
Ἢ δύο· τοῖς δ' ἔργοις καὶ τὰν ψυχὰν ποτέθηκα.

ΓΟΡΓΩ.

Ἀλλὰ κατὰ γνώμαν ἀπέβα τοι.

ΠΡΑΞΙΝΟΗ.

Πᾷ ποκ' ἔλειπες
Τὠμπέχονον; φέρε μοι καὶ τὰν θολίαν· κατὰ κόσμον

---

ἡμῖν τινα. 27. Αἶρε τὸ νᾶμα] ὕδωρ φέρειν κελεύει νίψασθαι· κἀπειδὴ ἐκείνη διατρίβει, χαλεπήνασα, κελεύει αὖθις δὶς καὶ τρὶς τὸ αὐτό. Τὸ δὲ Αἰνόθρυπτε, τὴν μαλακότητα καὶ τὴν θρύψιν δηλοῖ· ἢ οὐ προσήκει ταῖς θερα-

ΓΟΡΓΩ.

Ὥρα ἤδη βαδίζειν· οἷς γὰρ μηδὲν πάρεστιν ἔργον, ἀεί ἐστιν ἑορτή.

ΠΡΑΞΙΝΟΗ.

Εὐνόη ῥαθυμοτάτη, φέρε ὕδωρ, δεύτερον ἤδη κελεύω ταῦτα, ἐς τὸ μέσον· ἀλλ' ἡ γαλὴ ἐν μαλακοῖς ἀεὶ φιλεῖ καθεύδειν· ὁρᾷς ὅπως κομίζει ὕδωρ; δεῦρο ἔγχει· μὴ οὕτως, ἄπληστε, ἀθρόως ἔγχει· δύστηνε, τί μοι τὸ χιτώνιον ἔβρεξας; ἰδοὺ νένιμμαι, ὅπως ἔδοξε τοῖς θεοῖς· ἡ δὲ κλεῖς τοῦ μεγάλου κιβωτίου πῇ πότ' ἐστί; φέρε αὐτὴν ὧδε.

ΓΟΡΓΩ.

Ὡς μάλιστα, Πραξινόη, ἡ διπλοῒς αὕτη σοι ἐμπρέπει· βουλοίμην δ' ἂν εἰδέναι πόσου ἀξία σοι ἀπέβη ἀπὸ τοῦ ἱςοῦ.

ΠΡΑΞΙΝΟΗ.

Ἔα, Γοργοῖ, ταῦτα· πλέον γὰρ ἢ μνᾶς, ἢ καὶ δύο καθαροῦ ἀργυρίου· οὓς δ' ὑπέστην πόνους ἀπαρτίσασθαι αὐτὴν, ἐῶ λέγειν.

ΓΟΡΓΩ.

Ἀλλ' ἀπέβη γέ σοι κατὰ θυμόν.

ΠΡΑΞΙΝΟΗ.

Πῇ μοι ἔλιπες σύ γε τὴν ἀμπεχόνην; φέρε δὴ καὶ τὴν θο-

---

παίναις. 33. Κλᾴξ] κλεῖς· αἰτεῖ δὲ ταύτην ἐκκομίσαι τὴν στολήν. 36. Μὴ μνάσῃς] μὴ μνησθῇς πρός με ἀργυρίου· ἀπέβη γάρ μοι βαρύτιμον, καὶ οἱ ἐμοὶ πόνοι ἐπ' αὐτῷ ἐπενθήκη. 39. Θολίαν] τὸ σκιάδιον, ἀπὸ τῆς κα-

Ἀμφίθες· οὐκ ἀξῶ τυ, τέκνον· μορμὼ, δάκνει ἵππος.
Δάκρυε ὅσσ' ἐθέλεις· χωλὸν δ' οὐ δεῖ τυ γενέσθαι.
Ἕρπωμες. Φρυγία, τὸν μικκὸν παῖσδε λαβοῖσα,
Τὰν κύν' ἔσω κάλεσον, τὰν αὔλείαν ἀπόκλαξον.
Ὦ θεοὶ, ὅσσος ὄχλος· πῶς καὶ πόκα τοῦτο περᾶσαι
Χρὴ τὸ κακόν; μύρμακες ἀνάριθμοι καὶ ἄμετροι.
Πολλά τοι, ὦ Πτολεμαῖε, πεποίηται καλὰ ἔργα.
Ἐξ ὧ ἐν ἀθανάτοις ὁ τεκὼν, οὐδεὶς κακοεργὸς
Δαλεῖται τὸν ἰόντα, παρέρπων Αἰγυπτιστί·
Οἷα πρὶν ἐξ ἀπάτας κεκροταμένοι ἄνδρες ἔπαισδον,
Ἀλλάλοις ὁμαλοὶ κακὰ παίγνια, πάντες ἐρειοί.
Ἁδίστα Γοργοῖ, τί γενώμεθα; τοὶ πτολεμισταὶ
Ἵπποι τῶ βασιλῆος· ἄνερ φίλε, μή με πατήσῃς,
Ὀρθὸς ἀνέστα ὁ πυῤῥός· ἴδ' ὡς ἄγριος· κυνοθαρσὴς
Εὐνόα, οὐ φευξῇ; διαχρησεῖται τὸν ἄγοντα.
Ὠνάθην μεγάλως, ὅτι μοι τὸ βρέφος μένει ἔνδοι.

ΓΟΡΓΩ.

Θάρσει, Πραξινόα· καὶ δὴ γεγενήμεθ' ὄπισθεν·
Τοὶ δ' ἔβαν ἐς χώραν.

ΠΡΑΞΙΝΟΗ.

Καὐτὰ συναγείρομαι ἤδη.

---

τασκευῆς τοῦ θολικοῦ σχήματος. 40. Μορμὼ] φόβητρον τερατῶδες τῶν παίδων προσηρμοσμένον ὡς πρὸς τὴν ὄψιν αὐτῶν ἐπὶ τῶν ἵππων. 42. Φρυγία] ἑτέρα δούλη αὕτη, ᾗ παραδίδωσι τὸν Ζωπυρίωνα· τὴν δὲ Εὐνόην ἐπάγεται αὐτή. 48. Αἰγυπτιστὶ] πανούργως, ὡς εἰ ἔλεγεν· ἐν γὰρ παιγνίοις ἐκ συμφώνου τινὲς ἀπατῶντες, ἔβλαπτον ἄλλους· τὸ δὲ Ἐρειοὶ μένει ἔτι ἀμφίβολον σημασίᾳ τε καὶ γραφῇ. 51. Τὶ γενώμεθα] ἰδοῦσα τοὺς βα-

λίαν· ὅρα, ὅπως εὖ καταθήσεις πάντα· σὲ δ', ὦ τέκνον, καταλείψω ἐνταῦθα, κἂν κλαύσῃς λίαν· ὁ ἵππος δάκνει· οὐ γὰρ ἂν βουλοίμην χωλόν σε τρέφειν· Ἴωμεν ἤδη· σὺ δὲ Φρυγία, λαβοῦσα τὸ παιδίον, τήν τε κύνα εἰσαγαγοῦσα, καὶ τὴν αὔλειον ἀποκλείσασα, παῖζε· Ὦ θεοί! ὅσος ὄχλος· πῶς ἂν τὸ κακὸν διέλθοιμεν τοῦτο; πλῆθος μυρίον, καὶ ἀναρίθμητον· ἴσα καὶ μύρμηκες.

Ὡς πολλὰ, ὦ Πτολεμαῖε, ἔργα πέπρακταί σοι καλά· ἐξ οὗ γὰρ ὁ σὸς μακάριος πατὴρ ἠριθμήθη ἐν θεοῖς, οὐδεὶς ἔτι κακοῦργος βλάπτει τὸν ὁδοιπόρον, ἐνεδρεύων Αἰγυπτιστί· οἷα πρίν τινες συμπεφυρμένοι ἐξ ἀπάτης, κακομήχανα συμπαίζοντες παίγνια, ὅμοιοι ἀλλήλοις, πάντες ἦσαν ἐπιβλαβεῖς· Ἀλλ' ὦ Γοργοῖ φίλη, τί ποιῶμεν; ἐπίασιν οἱ πολεμικοὶ ἵπποις τοῦ βασιλέως· ὦ φίλε ἄνερ, ὅρα μή με καταπατήσῃς· ὁ πυῤῥὸς οὗτος καταφρυάττει· ἴδ' ὅπως ἀνασκιρτᾷ· σὺ δὲ, ἀνάλγητε Εὐνόη, οὐ φυλάξῃ; οὐχ ὁρᾷς ὅπως ἐπανίσταται τῷ ἱπποκόμῳ; οὐ μεταμεμέλημαι, ὅτι κατέλιπον τὸ παιδίον οἴκοι.

ΓΟΡΓΩ.

Θάῤῥει τοῦ λοιποῦ, ὦ φίλη· οἵδε γὰρ παρῆλθον, καταλιπόντες ἡμᾶς ὀπίσω ἐν τῷ ἀσφαλεῖ.

ΠΡΑΞΙΝΟΗ.

Ἤδη ἀνέπνευσα κἀγώ· ἐκ γὰρ ἁπαλῶν ὀνύχων ἔτι ἵππον τε

---

σιλικοὺς ἵππους ἐπιόντας, πεφόβηται· καὶ ἀγωνιᾷ· διὸ καὶ ἐπιτιμᾷ τῇ Εὐνόῃ ὡς μὴ προσεχούσῃ. 56. γεγενήμεθα ὄπισθεν] ἐπέρασαν οἱ ἵπποι πρὸ ἡμῶν. 57. Συναγείρομαι ἤδη] ἐγενόμην ἐμαυτῆς, ἐθάῤῥησα, ἀνέπνευσα.

Ἵππον καὶ τὸν ψυχρὸν ὄφιν ταμάλιστα δεδοίκω
Ἐκ παιδός. σπεύδωμες· ὅσος ὄχλος ἄμμιν ἐπιῤῥεῖ;

ΓΟΡΓΩ.

Ἐξ αὐλᾶς, ὦ μᾶτερ;

ΓΡΑΥΣ.

Ἐγὼν, ὦ τέκνα.

ΓΟΡΓΩ.

Παρενθεῖν
Εὔμαρές;

ΓΡΑΥΣ.

Ἐς Τροίαν πειρώμενοι ἦνθον Ἀχαιοί.
Καλλίστα παίδων, πείρῃ θὴν πάντα τελεῖται.

ΓΟΡΓΩ.

Χρησμὼς ἁ πρεσβῦτις ἀπῴχετο θεσπίξασα.

ΠΡΑΞΙΝΟΗ.

Πάντα γυναῖκες ἴσαντι, καὶ ὡς Ζεὺς ἀγάγεθ' Ἥραν.

ΓΟΡΓΩ.

Θᾶσαι, Πραξινόα περὶ τὰς θύρας ὅσσος ὅμιλος.

ΠΡΑΞΙΝΟΗ.

Θεσπέσιος, Γοργοῖ, δὸς τὰν χέρα μοι· λαβὲ καὶ τὺ,
Εὐνόα, Εὐτυχίδος· πότεχ' αὐτᾷ, μὴ τὺ πλανηθῇς.

---

60. Ἐξ αὐλᾶς, ὦ μᾶτερ] ἡ Γοργὼ, ἰδοῦσα γραίαν τινὰ ἐρχομένην ἐκεῖθεν, ἐρωτᾷ αὐτὴν, εἰ ἐκ τῆς βασιλικῆς ἔρχεται αὐλῆς, καὶ εἰ εὐχερὲς καὶ αὐτὰς παρεισδύναι, ἡ δὲ πάντα τῇ ἐπιμελείᾳ καὶ τῇ πείρᾳ δοῦλα γίγνεται, ὡς δι' αἰνιγμάτων εἰποῦσα, ἀπέρχεται. 64. Πάντα γυναῖκες ἴσασι] ἔπαινος τῶν γυναικῶν ὡς πανσόφων ἕνεκα τῆς γραὸς οὕτως ἀπὸ τῆς ἀρχαίας ἱστορίας ἀποφηναμένης· ἀλλὰ καὶ αὐτὸ τὸ τοῦ γάμου τοῦ Διὸς καὶ τῆς Ἥρας

καὶ ὄφιν ψυχρὸν φοβοῦμαι· Σπεύδωμεν· πολὺς γὰρ ὄχλος ἡμῖν συῤῥεῖ.

ΓΟΡΓΩ.

Ἐκ τῆς αὐλῆς ἥκεις, ὦ μῆτερ;

ΓΡΑΫΣ

Μάλιστ᾽, ὦ τέκνον·

ΓΟΡΓΩ.

Τί δέ; δυνάμεθα χ᾽ ἡμεῖς εἰσελθεῖν ἐκεῖσε;

ΓΡΑΥΣ.

Πάντα πόνῳ κτητὰ, καλή μοι κόρη· καὶ οἱ Ἕλληνες αὐτοὶ, πολλῶν πειρώμενοι, τὴν Τροίαν εἷλον.

ΓΟΡΓΩ.

Χρησμοὺς εἰποῦσα τὸ γραΐδιον, ᾤχετ᾽ ἀπιοῦσα.

ΠΡΑΞΙΝΟΗ.

Πάντα ἴσασιν αἱ γυναῖκες, καὶ ὅπως ὁ Ζεὺς ἠγάγετο τὴν Ἥραν εἰς γυναῖκα.

ΓΟΡΓΩ.

Ἴδε Πραξινόη, ὅσον πλῆθος ἐπιῤῥεῖ παρὰ τὰς θύρας!

ΠΡΑΞΙΝΟΗ.

Μυρίος ὅσος ὄχλος, ἀλλ᾽ ὄρεξόν μοι τὴν χεῖρα· λαβοῦ δὲ καὶ σὺ, Εὐνόη, τῆς Εὐτυχίδος· ἔχου αὐτῆς ἀπρὶξ, ἵνα μὴ

---

ὡς οὐκ ἐδέχετο ἐκείνη, κρύος σφοδρὸν ποιήσας, αὐτὸς ἐγένετο κόκκυξ, καὶ καταφυγόντα εἰς τὰ γόνατα τῆς Ἥρας διὰ τὸ κρύος, ἐδέξατο αὐτὸν ἡ θεὸς, ἐλεήσασα τὸν ὄρνιν· κᾆτα τούτου μεταμορφωθέντος ἐκείνου εἰς τὸ κατὰ φύσιν, ἦλθον εἰς γάμον. 67. Πότεχ᾽ αὐτᾷ.] πρόσεχε αὐτῇ· ὅ ἐστιν προσέ-

Πᾶσαι ἄμ' εἰσένθωμες· ἀπρὶξ ἔχευ, Εὐνόα, ἁμῶν.
Ὤμοι δειλαία, δίχα μευ τὸ θερίστριον ἤδη
Ἔσχισται, Γοργοῖ· ποττῶ Διὸς, εἴτι γένοιο
Εὐδαίμων, ὤνθρωπε, φυλάσσεο τὠμπέχονόν μευ.

ΞΕΝΟΣ.

Οὐκ ἐπ' ἐμὶν μέν· ὅμως δὲ φυλάξομαι.

ΠΡΑΞΙΝΟΗ.

Ἀθρόος ὄχλος.
Ὤθευνθ' ὥσπερ ὕες.

ΞΕΝΟΣ.

Θάρσει, γύναι· ἐν καλῷ εἰμές.

ΠΡΑΞΙΝΟΗ.

Κεἰς ὥρας, κἤπειτα, φίλ' ἀνδρῶν, ἐν καλῷ εἴης,
Ἄμμε περιστέλλων, χρηστῶ κ' οἰκτίρμονος ἀνδρός.
Φλίβεται Εὐνόα ἄμμιν· ἄγ', ὦ δειλὰ, τὺ βιάζευ.
Κάλλιστ'· ἔνδοῖ πᾶσαι, ὁ τὰν νυὸν εἶπ' ἀποκλάξας.

ΓΟΡΓΩ.

Πραξινόα, πόταγ' ὧδε· τὰ ποικίλα πρᾶτον ἄθρησον,
Λεπτὰ καὶ ὡς χαρίεντα· θεῶν περονάματα φασεῖς.

ΠΡΑΞΙΝΟΗ.

Πότνι' Ἀθαναία· ποῖαί σφ' ἐπόνασαν ἔριθοι;
Ποῖοι ζωγράφοι τἀκριβέα γράμματ' ἔγραψαν;

---

χου αὐτῆς· ἡ δ' Εὐτυχὶς δῆλον ὅτι δούλη ἦν τῆς Γοργοῦς. 69. Τὸ θερίστριον] τὸ θερινὸν, λεπτὸν ἱμάτιον· συμπιεσθεισῶν γὰρ αὐτῶν ἐν τῷ πλήθει συνηρπάγη διαῤῥαγέν· τὸ αὐτὸ δέ φησι καὶ ἀμπέχονον ἑπομένως. 77. Ὁ τὰν νυὸν εἶπ' ἀποκλάξας] παροιμιῶδες τοῦτο ἐπὶ τῶν ἀσφαλιζομένων.

ἀποπλανηθῇς· δεῖ γὰρ ἡμᾶς ὁμοῦ συμπάσας εἰσελθεῖν· παρακολούθει, Εὐνόει, ἡμῖν ἀφύκτως· Οἴμοι, ὦ Γοργοῖ, τὸ θέριστόν μοι ἤδη διαῤῥαγὲν, ἐκτὸς ἐμοῦ ἐστιν· ὦ ἄνθρωπε, οὕτως ὄναιο, μή μοι βλάψῃς τὴν ἀμπεχόνην.

ΞΕΝΟΣ.

Τοῦτο μὲν οὐ κεῖται ἐπ᾽ ἐμοὶ, ἀλλὰ τὸ γ᾽ ἐμοὶ φυλάξομαι.

ΠΡΑΞΙΝΟΗ.

Ὄχλος πολὺς, ὠθούμενοι ὑπ᾽ ἀλλήλων, ὡς χοῖροι.

ΞΕΝΟΣ.

Θάῤῥει, γύναι, ἐν καλῷ νῦν ἐσμέν.

ΠΡΑΞΙΝΟΗ.

Ἐν καλῷ εἴης μοι κἀυτὸς ἐφέτος τε καὶ ἐς τὸν ἔπειτα αἰῶνα, χεῖρα βοηθείας ἡμῖν παρασχών· χρηστοῦ γὰρ ἀνδρὸς τοῦτό γε· Ἀλλ᾽ Εὐνόη ἔτι ἐξωθεῖται· ἄγ᾽, ὦ ματαία, ἐκβιάζου καὶ αὐτή· εὖ ἔχει νῦν· ἐντὸς ἐσμὲν πᾶσαι, ὡς ἂν εἴποι ὁ κλείσας τὴν κόρην ἔνδον.

ΓΟΡΓΩ.

Πραξινόη, δεῦρ᾽ ἄγε ὧδε· ἴδε πρῶτον τὰ ποικίλα ταυτὶ, ὅσον λεπτὰ, ὅσον χαρίεντα! θεῶν ἐοίκασιν ἐμπορπήμασιν.

ΠΡΑΞΙΝΟΗ.

Πότνια Ἀθηνᾶ, τίνων ἱστουργῶν χεῖρες εἰργάσαντο ταῦτα; τίνων γραφέων τὰς γραφὰς ταύτας ἔγραψαν· ὡς ἐν τῇ

---

79. Περονάματα θεῶν] πότερον, ἔργα ποικίλα τῶν θεῶν, ἢ Περονητρίδες ὡς ἀνωτέρω (21) ἐμπερονήματα, εἴτουν περόναις τῶν ὤμων ἐξηρτημένα ἱμά-

Ὡς ἔτυμ' ἑστάκαντι, καὶ ὡς ἔτυμ' ἐνδινεῦντι.
Ἔμψυχ', οὐκ ἐνυφαντά. Σοφόν τι χρῆμ' ὤνθρωπος,
Αὐτὸς δ' ὡς θαητὸς ἐπ' ἀργυρέω κατάκειται
Κλισμῶ, πρᾶτον ἴουλον ἀπὸ κροτάφων καταβάλλων,
Ὁ τριφίλατος Ἄδωνις, ὃ κἠν Ἀχέροντι φιλεῖται.

ΕΤΕΡΟΣ ΞΕΝΟΣ.

Παύσασθ', ὦ δύστανοι, ἀνάνυτα κωτίλλοισαι,
Τρυγόνες· ἐκκναισεῦντι πλατειάσδοισαι ἅπαντα.

ΓΟΡΓΩ.

Μᾶ, πόθεν ὤνθρωπος; τί δὲ τίν, εἰ κωτίλαι εἰμές;
Πασάμενος, ἐπίτασσε· Συρακοσίαις ἐπιτάσσεις;
Ὡς εἰδῇς καὶ τοῦτο, Κορίνθιαι εἰμὲς ἄνωθεν,
Ὡς καὶ ὁ Βελλεροφῶν· Πελοποννασιστὶ λαλεῦμες·
Δωρίσδεν δ' ἔξεστι, δοκῶ, τοῖς Δωριέεσσι.

ΠΡΑΞΙΝΟΗ.

Μὴ φυῇ, Μελιτῶδες, ὃς ἁμῶν καρτερὸς εἴη,

---

τια; φαίνεται τὸ δεύτερον πιθανώτερον. 87. Κωτίλλουσαι] φλυαροῦσαι, ὥσπερ αἱ τρυγόνες· ἕτερος δὲ οὗτος ξένος ἐπιμέμφεται αὐταῖς τὴν Δωρικὴν φωνὴν, ὅτι πλατειάζουσιν, ὅ ἐστιν πλατύνουσι τὸ στόμα, χρώμεναι τῷ Ἄλφα. Τὸ δὲ Ἐκκναισεῦντι Ἐκκνυσεῦντι ἔγραψεν ἄλλος. 89. Μᾶ.] λέξις θαυμαστικὴ, ὡς εἰ ἔλεγεν, Θεέ μου· ἐκ συγκοπῆς ἔοικε τοῦ Μᾶτερ· ἦν δὲ καὶ θεράπαινα τῆς Ῥέας, ᾗ παρέδωκεν ὁ Ζεὺς Διόνυσον ἀνατραφῆναι λάθρα Ἥρας, ἦν δὲ καὶ ἐπίθετον αὐτῆς τῆς Ῥέας. 90. Πασάμενος] κτησάμενος δούλους, ἐπίταττε ἐκείνοις. 92. Βελλεροφῶν] καὶ Βελλεροφόντης· παρὰ τὸ φονεῦσαι Βέλλερον ἀκουσίως τὸν ἑαυτοῦ ἀδελφὸν, πρότερον καλούμενος Ἱππόνοος ἐν Κορίνθῳ· καταφεύγει δὲ πρὸς Προῖτον τὸν τῆς Τίρυνθος βασιλέα, καὶ ἁγνίζεται παρ' αὐτοῦ. Ἀντείας δὲ τῆς βασιλίσσης σφοδρῷ ἔρωτι αὐτοῦ κατασχεθείσης, καὶ αὐτοῦ μὴ συνεύοντος, διαβαλούσης αὐτὸν πρὸς Προῖτον, λεγούσης » Προῖτε, σὺ τεθναίης, ἢ κάκτανε Βελλεροφόντην.

φύσει αὐτῇ πάντα ἵσταται, ὡς ἀληθῆ περιδονούμενα, ἔμψυχα δοκοῦσιν, οὐχ ὑφαντά· σοφὸν τῷ ὄντι χρῆμα ὁ ἄνθρωπος· ὁ δὲ τριφίλητος Ἄδωνις διαπρέπει ἐπ' ἀργυρᾶς κατακείμενος ἕδρας, πρῶτον ἴουλον δοκῶν ἀπὸ τῶν κροτάφων ἐκφύσαι κατὰ τοῦ πώγωνος· ὃς καὶ παρὰ τοῖς νεκροῖς φιλεῖται.

ΕΤΕΡΟΣ ΞΕΝΟΣ.

Παύσασθ', ὦ δύστηνοι, τοῦ πολλοῦ τούτου λήρου, ὃν ἴσα γε καὶ τρυγόνες πρὸς ἀλλήλας μινυρίζειν δοκεῖτε· ἐνοχλοῦσι γὰρ ἡμῖν αὗται· οὕτω χανδὸν προφέρουσιν ἅπαντα.

ΓΟΡΓΩ.

Ὦ θεοί, πόθεν ἡμῖν ὤνθρωπος οὗτος; τί πρὸς σέ, εἴγ' ἡμεῖς ἐσμὲν φλύαροι; σὺ δὲ τοῖς σαυτοῦ ἐπίταττε· Συρακουσίαις δ' οὐκ ἂν ἐπιτάξαις· ἢ οὐκ οἶσθ' ὅτι κάτειμεν ἄνωθεν ἐκ τῶν Κορινθίων, ὅθεν ἐστὶ καὶ ὁ ἐν μυρίᾳ ᾠδῇ Βελλεροφόντης· διὸ καὶ τὴν τῶν Πελοποννησίων προϊέμεθα φωνήν· δωρίζειν γάρ, Δωριέας ὄντας, φθόνος οὐδείς.

ΠΡΑΞΙΝΟΗ.

Μὴ γένοιτ', ὦ Κόρη, ὃς ἡμῶν εἴη κύριος πλὴν ἑνός· σοῦ

---

ἔπεμψεν αὐτὸν ὁ Προῖτος πρὸς Ἰοβάτην τὸν πενθερὸν αὐτοῦ εἰς Λυκίαν γράμμασιν, ὅπως αὐτὸν φονεύσῃ· ὁ δὲ προσέταξεν αὐτῷ φονεῦσαι τὴν Χίμαιραν· ἵνα φονευθῇ αὐτὸς ὑπ' ἐκείνης, ἀλλ' ὁ Βελλεροφόντης Ἀθηνᾶς συμβουλῇ ἀναβὰς ἐπὶ τὸν Πήγασον, τό,τε θηρίον ἐφόνευσε, καὶ τὴν τοῦ βασιλέως θυγατέρα ἔγημε, καὶ διάδοχος τοῦ θρόνου ἐγένετο· τοιοῦτοι τῆς σωφροσύνης οἱ καρποί· σὺ δ' ἐννόει μοι καὶ Ἰωσὴφ τὸν Πάγκαλον· ἐδυστύχησε δὲ Ἱππόλυτος, ἀλλ' ἐν θεοῖς ἐτιμήθη· τοιαῦτα παραδείγματα ὀφείλουσιν οἱ διδάσκαλοι λέγειν πρὸς μαθητάς, κωλύοντες αὐτὸν τὸ πρὸς ἀσωτείαν ἐπιρρεπές.

94. Μελιτῶδες] ἢ κατὰ ἀντίφρασιν τὴν Περσεφόνα λέγει, ἢ ὅτι τὰς ἑταίρας

Πλὰν ἑνός· οὐκ ἀλέγω, μή μοι κενεὰν ἀπομάξῃς.

ΓΟΡΓΩ.

Σίγα, Πραξινόα· μέλλει τὸν Ἄδωνιν ἀείδειν
Ἁ τᾶς Ἀργείας θυγάτηρ πολύϊδρις ἀοιδὸς,
Ἅτις καὶ Σπέρχιν τὸν ἰάλεμον ἠρίστευσε·
Φθεγξεῖταί τι (σαφ᾽ οἶδα) καλόν· διαθρύπτεται ἤδη.

ΓΥΝΗ ΑΟΙΔΟΣ.

Δέσποιν᾽, ἃ Γολγώς τε καὶ Ἰδάλιον ἐφίλασας,
Αἰπεινὸν τ᾽ Ἔρυκα, χρυσῷ παίσδοισ᾽, Ἀφροδίτα,
Οἷόν τοι τὸν Ἄδωνιν ἀπ᾽ ἀενάω Ἀχέροντος
Μηνὶ δυωδεκάτῳ μαλακαίποδες ἄγαγον Ὧραι,
Βάρδισται μακάρων, Ὧραι φίλαι, ἀλλὰ ποθειναὶ
Ἔρχονται, πάντεσσι βροτοῖς αἰεί τι φέροισαι.
Κύπρι Διωναία, τὺ μὲν ἀθανάταν ἀπὸ θνατᾶς,
Ἀνθρώπων ὡς μῦθος, ἐποίησας Βερενίκαν,
Ἀμβροσίαν ἐς στῆθος ἀποστάξασα γυναικός·
Τὶν δὲ χαριζομένα, πολυώνυμε καὶ πολύναε,

---

αὐτῆς καὶ τῆς Δήμητρος μελίσσας λέγεσθαι. 95. Ἀπομάξῃς] ἀπομάττ[ου]σι τὸν μέδιμνον μάκτρᾳ, ξύλῳ εὐθεῖ, καταβάλοντες τὸ ὑπερχειλὲς ὁριζοντίως· καὶ τοῦτό ἐστι δίκαιον· τὸ δὲ κενὸν τὸν μόδιον ἀπομάττειν βούλεται [ε]ἰπεῖν ζημιοῦν, μὴ ὄντος τοῦ μεδίμνου μεστοῦ· τοῦτο οὖν, φησὶν, οὐ πτοοῦμαι. Παροιμιῶδες δὲ καὶ τοῦτο· ὡς εἰ ἔλεγεν, οὐ φοβοῦμαι, μή μοι δὸς τὸ μέτρον κενόν· ὅμοιον τῷ τῆς συνηθείας, μή μοι κόψῃς τὸν μισθὸν, ἢ τὸν ἄρτον. 97. Ἀργείας] οὐ γνωστὸν τίς ἦν αὕτη. 98. Σπέρχις] ἢ Σπερθίης καὶ Βοῦλις Σπαρτιᾶται, προσήνεγκαν ἑαυτοὺς τῷ μεγάλῳ βασιλεῖ φονεῦσαι ἀντὶ τῶν πρέσβεων τῶν παρανόμως φονευθέντων ἐν Σπάρτῃ· ὁ δὲ ἀπέπεμψεν αὐτοὺς πάλιν, εἰπὼν, μὴ ἂν τοιαῦτα πρᾶξαι. 99. Διαθρύπτεται] τὴν μετὰ φιλο-

δ', ὦ ἄνθρωπε οὐδ' ἐπιστρέφομαι, ὅστις εἴης· οὐ γὰρ δέδοικα μὴ βαθεῖαν κατὰ τοῦ μεδίμνου μοι τὴν μάκτραν ἐπισύρῃς.

ΓΟΡΓΩ.

Ἔχ' ἡσύχως, Πραξινόη· ἡ γὰρ θυγάτηρ τῆς Ἀργείας, ἡ πολύπειρος ὑμνῳδὸς, ἣ καὶ ἐν τῇ τοῦ Σπέρχεως ᾠδῇ ἔτυχε τῶν ἀριστείων, μέλλει ἤδη τὸν Ἄδωνιν ὑμνήσειν· ᾄσει δ' ἄξιόν τι· ἤδη γὰρ δοκεῖ φροιμιάζεσθαι ᾆσαι, ὅσον ἐκ τῆς περὶ ταῦτα σπουδῆς.

ΓΥΝΗ ΑΟΙΔΟΣ.

Δέσποιν' Ἀφροδίτη ἡ Γολγούς τε καὶ Ἰλάδιον καὶ τὸν ὑψηλὸν Ἔρυκα ὑπερφιλοῦσα, ἡ χρυσῷ τοὺς ἔρωτας παίζουσα, οἷόν σοι τὸν Ἄδωνιν αἱ καλλίπεζαι Ὧραι δωδεκάτῳ μηνὶ ἑκάστοτε ἀπὸ ἀενάου Ἀχέροντος ἄγουσιν· Ὧραι φίλαι, βραδύτεραι μὲν μακάρων, ἀλλὰ ποθηταὶ παραγίγνονται, καλόν τι νέον ἀεὶ φέρουσαι τοῖς ἀνθρώποις· Κύπρι Διωναία σὺ μὲν Βερενίκην ἀπὸ θνητῆς, ὡς λόγος παρ' ἀνθρώποις, ἀθάνατον ἐποίησας, ἀμβροσίας σταλαγμοὺς ἀποστάξασα τοῖς κόλποις· ἀνθ' ὧν Ἀρσινόη ἡ θυγάτηρ ἐκείνης, ὦ πολυώνυμε καὶ πο-

---

τιμίας αὐτῆς σπουδὴν ἐν τῷ παρασκευάζεσθαι δηλοίη ἂν τοῦτο. 100. Γολγώς] πόλις ἐπὶ τῆς Κύπρου ἔχουσα καὶ ναὸν τῆς Ἀφροδίτης. Ἰδάλιον δὲ ὄρος τοῦτο ἐπὶ τῆς αὐτῆς νήσου, ἔνθα καὶ ναὸς καὶ ἄλσος τῆς αὐτῆς. Ἔρυξ δὲ, ὄρος καὶ τοῦτο, ἀλλ' ἐπὶ Σικελίας, ἐν ᾧ καὶ ναὸς αὖθις τῆς Ἀφροδίτης. 101. Χρυσῷ παίσδοισα] ὅτι οἱ ἔρωτες, φασὶ, χρυσῷ πείθουσι τοὺς ἐρωμένους, ἢ ἡ πλουτοδότειρα. 104. Βάρδιστοι] κατὰ μετάθεσιν στοιχείου ἀντὶ Βράδιστοι· ὁ δὲ αὐτὸς παρακατιὼν (Εἰδ. κϐ'. 30.) κἀν τῷ συγκριτικῷ, Βαρδύτεροι, ἔφη. 106. Διωναία] θυγάτηρ Διώνης ἐκ τοῦ Διός. 107. Βερενίκην] γυνὴ αὕτη Πτολεμαίου τοῦ Λάγου· ὧν θυγάτηρ κατωτέρω ἡ Ἀρσι-

Ἁ Βερενικεία θυγάτηρ, Ἑλένᾳ εἰκυῖα
Ἀρσινόα πάντεσσι καλοῖς ἀτιτάλλει Ἄδωνιν.
Πὰρ μὲν οἱ ὥρια κεῖται, ὅσα δρυὸς ἄκρα φέροντι,
Πὰρ δ' ἁπαλοὶ κᾶποι, πεφυλαγμένοι ἐν ταλαρίσκοις
Ἀργυρέοις, Συρίω δὲ μύρω χρύσει' ἀλάβαστρα.
Εἴδατά θ' ὅσσα γυναῖκες ἐπὶ πλανθάνῳ πονέονται,
Ἄνθεα μίσγοισαι λευκῷ παντοῖ' ἄμ' ἀλεύρῳ·
Ὅσσα τ' ἀπὸ γλυκερῶ μέλιτος, τά τ' ἐν ὑγρῷ ἐλαίῳ,
Πάντ' αὐτῷ πετεηνὰ καὶ ἑρπετὰ τῆδε πάρεστι.
Χλωραὶ δὲ σκιάδες, μαλακῷ βρίθοισαι ἀνήθῳ,
Δέδμανθ'· οἱ δέ τε κῶροι ὑπερποτόωνται Ἔρωτες,
Οἷοι ἀηδονιδῆες ἐφεζόμενοι ἐπὶ δένδρων,
Πωτῶνται, πτερύγων πειρώμενοι, ὄζον ἀπ' ὄζω.
Ὦ ἔβενος, ὦ χρυσὸς, ὦ ἐκ λευκῶ ἐλέφαντος
Αἰετὼ, οἰνοχόον Κρονίδᾳ Διῒ παῖδα φέροντες.
Πορφύρεοι δὲ τάπητες ἄνω, μαλακώτεροι ὕπνω·
Ἁ Μίλατος ἐρεῖ, χὡ τὰν Σαμίαν καταβόσκων.
Ἔστρωται κλίνα τῷ Ἀδώνιδι τῷ καλῷ ἄλλα.
Τὰν μὲν Κύπρις ἔχει, τὰν δ' ὁ ῥοδόπαχυς Ἄδωνις,
Ὀκτωκαιδεκέτης ἢ ἐννεακαίδεχ' ὁ γαμβρός.
Οὐ κεντεῖ τὸ φίλαμ'· ἔτι οἱ περὶ χείλεα πυῤῥά.
Νῦν μὲν Κύπρις ἔχοισα τὸν αὐτᾶς χαιρέτω ἄνδρα.
Ἀῶθεν δ' ἄμμες νιν ἅμα δρόσῳ ἀθρόαι ἔξω

νόη καὶ αὐτὸς ὁ Πτολεμαῖος ὁ ἀνὴρ αὐτῆς. 113. Κᾶποι] κῆπος ἁπαλὸς, τὰ ἐν ταῖς οἰκίαις ἐν ὀστρακίνοις ἀγγείοις χλοάζοντα εὐώδη ἄνθη. 115. Πλαθάνω] τὴν νῦν πλαστεῖραν καλουμένην φησὶ πλάθανον, ἐφ' ἧς πλάττου-

λύθρονε Κύπρι, ὁμοία οὖσα τῇ Ἑλένῃ κάλλει, πᾶσι καλοῖς Ἄδωνι θεραπεύει· παρ' αὐτῷ δὲ κεῖται πάντα τρωκτὰ ὡραῖα, ὅσα τοῖς τῶν φυτῶν κλάδοις βρίθουσι· καὶ κῆποι ἁπαλοὶ ἐν ταλαρίσκοις ἀργυροῖς πεφυλαγμένοι, ἀλάβαστρά τε χρύσεα Συρίου μύρου· ἐδώδιμά τε, ὅσα τε αἱ γυναῖκες πλάττουσιν ἐν ταῖς πλαθάναις, ποικίλα μίσγουσαι ἄνθη ἐν μέλιτι γλυκεῖ καὶ ὑγρῷ ἐλαίῳ· πτηνῶν δὲ καὶ ἑρπετῶν οὐκ ἔσθ' ὅ,τι μὴ πάρεστιν αὐτῷ· σκηναί τε ἄνθεσιν ὠροφωμέναι πεποίηνται, μαλακῷ βρίθουσαι ἀνήθῳ· οἱ δὲ νέοι ἔρωτες ἐφεζόμενοι, περιΐπτανται, ὥσπερ οἱ τῆς ἀηδόνος νεοσσοί, κλάδον παραμείβοντες ἐκ κλάδου, τῶν πτερυγισμάτων ἀποπειρώμενοι· ὦ ἔβεννος! ὦ χρυσός! ὦ ἐξ ἐλέφαντος λευκοῦ ἀετοί, οἱ τὸν Γανυμήδην οἰνοχόον ἀναφέροντες Διῒ Κρονίδῃ· οἱ δὲ τάπητες αὖθις ἄνωθεν πορφυροὶ μαλακώτεροι τοῦ ὕπνου, ὡς ἂν εἴποιεν οἱ τὴν Μίλητον καὶ τὴν Σάμον κατοικοῦντες· κλίναι δὲ ὑπέστρωνται δύο, ἡ μὲν τῇ καλῇ Ἀφροδίτῃ· ἡ δὲ, Ἄδωνι τῷ ῥοδοπήχει· ὃς ὀκτωκαιδέκατον μάλιστ' ἔτος τῆς ἡλικίας ἄγων, οὐ κεντεῖ ἐν φιλήμασι· περὶ δὲ τὰ χείλη αὐτοῦ ἐκπεριουσίας ἐπανθεῖ τὸ ἐρυθρόν· Τέως δ' οὖν Κύπρις μὲν χαιρέτω, τὸν ἑαυτῆς ἔχουσα ἄνδρα· ἡμεῖς δ' ἅμα ἕῳ, δρόσου

---

σιν αἱ γυναῖκες τοὺς πλακοῦντας. 119. Σκιάδες] οἷον σκηναὶ ἐκ θαλερῶν φυτῶν καὶ ἀνθέων· ὡς καὶ ἐν αὐλαῖς τῶν εἴκων πολλαχῇ ἀναδενδράδες τῶν κλημάτων 122. Πτερύγων πειρώμενοι] πτερυγίζοντες, λαμβάνουσι πεῖραν, εἰ δύναιντο πτῆναι. 123. Ὢ ἔβενος] ἐτράπη νῦν πρὸς τὴν τοῦ Πτολεμαίου εὐδαιμονίαν· τὸ δὲ Αἰετῷ δυϊκόν. 130. Οὐ κεντεῖ τὸ φίλημα] πῶς γὰρ, ὃς τὸν πώγωνα οὔπω κέκαρτο; Τὸ δὲ Περὶ ἀντὶ τοῦ Περίεστιν, ὡς ἐγὼ οἶμαι, λαμβάνεται· ἵνα ᾖ, τὰ χείλη αὐτῷ ἐπὶ πολὺ πυῤῥὰ, ἐρυθρά.

Οἰσεῦμες ποτὶ κύματ' ἐπ' ἀϊόνι πτύοντα·
Λύσασαι δὲ κόμαν, καὶ ἐπὶ σφυρὰ κόλπον ἀνεῖσαι,
Στήθεσι φαινομένοις, λιγυρᾶς ἀρξώμεθ' ἀοιδᾶς.
Ἕρπεις, ὦ φίλ' Ἄδωνι, καὶ ἐνθάδε, κεἰς Ἀχέροντα,
Ἁμιθέων (ὡς φαντὶ) μονώτατος· οὔτ' Ἀγαμέμνων
Τοῦτ' ἔπαθ', οὔτ' Αἴας ὁ μέγας βαρυμάνιος ἥρως,
Οὔθ' Ἕκτωρ Ἑκάβας ὁ γεραίτατος εἴκατι παίδων,
Οὐ Πατροκλῆς, οὐ Πύῤῥος ἀπὸ Τροίας ἐπανελθὼν,
Οὔθ', οἱ ἔτι πρότεροι, Λαπίθαι, καὶ Δευκαλίωνες
Οὐ Πελοπηϊάδαι τε, καὶ Ἄργεος ἄκρα Πελασγοί.
Ἵλαθι νῦν, φίλ' Ἄδωνι, καὶ ἐς νέωτ' εὐθυμήσαις·
Καὶ νῦν ἦνθες, Ἄδωνι, καὶ ὄκκ' ἀφίκῃ, φίλος ἥξεις.

ΓΟΡΓΩ.

Πραξινόα, τὸ χρῆμα σοφώτερον. ἁ θήλαια
Ὀλβία, ὅσσα ἴσατι, πανολβία, ὡς γλυκυφωνεῖ.
Ὥρα ὅμως κ' εἰς οἶκον· ἀνάριστος Διοκλείδας.
Χὡνὴρ ὄξος ἅπαν· πεινᾶντι δὲ μηδὲ ποτένθῃς.
Χαῖρε, Ἄδων' ἀγαπητὲ, καὶ ἐς χαίροντας ἀφικνεῦ.

---

133. Οἰσοῦμεν] οἴσομεν αὐτὸν εἰς τὰ πτύοντα (ἐκβράζοντα) κύματα ἐπὶ τῆς ἠϊόνος· εἰώθασι γὰρ μετὰ τὴν ἑορτὴν, λύουσαι τὴν κόμην, καὶ ἀνοίγουσαι τὸν ἄνω πέπλον ἀνοικτὸν ἕως κάτω, καὶ παραγυμνοῦσαι τὰ περὶ τὸ στῆθος, προὔπέμπειν αὐτὸν ἐπὶ τὸν Αἰγιαλὸν, καὶ ῥίπτειν εἰς τὴν θάλασσαν. 140.

ἐπιγενομένης, κομίσωμεν Ἄδωνιν σύμπασαι προπέμπουσαι ἐπὶ τὴν ἠϊόνα· κἀπειδὰν λύσωμεν τὴν κόμην καὶ τὴν ἐφεστρίδα μέχρι τῶν σφυρῶν, τοὺς κόλπους ἐν τῷ φανερῷ ἀνεῖσαι, τότε δὴ ἀρξώμεθα ᾠδῆς τοιαύτης.

Ἥκεις, ὦ φίλτατε Ἄδωνι, ὁ μόνος τῶν ἡμιθέων πάντων ἐπί τε γῆς καὶ ἐν Ἅδου διατρίβων· οὗ περ οὔτ' Ἀγαμέμνων ἠξίωται, οὔτ' Αἴας ὁ μέγας καὶ βαρύθυμος ἐκεῖνος Ἥρως, οὔθ' Ἕκτωρ αὐτὸς ὁ τῶν εἴκοσι παίδων τῆς Ἑκάβης πρεσβύτερος, οὐ Πάτροκλος, οὔτε Πύῤῥος ἐπανελθὼν ἀπὸ τῆς Τροίας, οὔτε οἱ πρὸ τούτων Λαπίθαι, καὶ Δευκαλιωνίδαι, οὔτε Πελοπίδαι καὶ τῶν ἐν Ἄργει Πελασγῶν ὅ,τι περ ὄφελος· Ἀλλ' εἴης, ὦ φίλε Ἄδωνι, νῦν τε χαίρων, καὶ ἐς νέωτα εὔθυμος αὖθις ἡμῖν ἐπιφανείης· νῦν τε γὰρ φίλος, καὶ αὖθις ἐλθὼν, φίλος ἡμῖν ἥξεις.

ΓΟΡΓΩ.

Πραξινόη, ὡς σοφὸν τὸ μέλος τοῦτο· ὀλβία καὶ πανολβία, οἷα οἶδεν ἡ κόρη ἥδε· ἧς ἀπὸ τῶν χειλέων ῥεῖ φωνὴ καὶ μέλιτος αὐτοῦ γλυκίων· Νῦν δ' οὖν ὥρα ἀπιδεῖν ἐπὶ τὸν οἶκον· Διοκλείδης γὰρ οὑμὸς οὔπω ἠριστηκὼς τυγχάνει· ὁ δ' ἀνὴρ ὀξύχολος· καὶ πεινῶν ἀπρόσιτος ἔσθ' ὅλως· Χαῖρε, Ἄδωνι ἀγαπητὲ, καὶ ἐς χαίροντας ἡμᾶς ἐς νέωτ' αὖθις ἐπανέλθοις.

---

Πατροκλῆς] καὶ Πάτροκλος παρ' Ὁμήρῳ ἄμφω. Πύῤῥος δὲ ὁ Νεοπτόλεμος.

## ΥΠΟΘΕΣΙΣ.

Τουτο τὸ Εἰδύλλιον γέγραπται εἰς Ἱέρωνα τὸν Ἱεροκλέους, τὸν ἔσχατον Σικελίας τύραννον. Κατέσχε δὲ τὴν ἀρχὴν, στρατηγὸς ἀποδειχθεὶς ὑπὸ τῶν πολιτῶν, καὶ φθείρας τὰς δυνάμεις, ὥστε τύραννον αὐτὸν ἀγορευθῆναι. Μετὰ δὲ τοῦτον ἦρξεν Ἱέρων ὁ Γέλωνος. Μηδὲν οὖν εἰληφὼς παρὰ τοῦ Ἱέρωνος ὁ Θεόκριτος, τὸ Εἰδύλλιον τοῦτο πεποίηκε, καὶ Χά-

# ΧΑΡΙΤΕΣ Η ΙΕΡΩΝ.

### *ΕΙΔΥΛΛΙΟΝ ΙϚ.*

Αἰεὶ τοῦτο Διὸς κώραις μέλει, αἰὲν ἀοιδοῖς,
Ὑμνεῖν ἀθανάτους, ὑμνεῖν ἀγαθῶν κλέα ἀνδρῶν.
Μῶσαι μὲν θεαὶ ἐντὶ, θεοὺς θεαὶ ἀείδοντι·
Ἄμμες δὲ βροτοὶ, οἱ δὲ βροτοὺς βροτοὶ ἀείδοντι.
Τίς γὰρ τῶν, ὁπόσοι γλαυκὰν ναίουσιν ὑπ' ἀῶ,
Ἁμετέρας χάριτας, πετάσας, ὑποδέξεται οἴκῳ
Ἀσπασίως, οὐδ' αὖθις ἀδωρήτως ἀποπεμψεῖ;
Αἱ δὲ σκυζόμεναι γυμνοῖς ποσὶν οἴκαδ' ἴασι,

---

7. Ἁμετέρας χάριτας] τὰ ἑαυτοῦ ποιήματα ἐννοεῖ· δοκεῖ γὰρ γράψαι μέν τι πρὸς Ἱέρωνα, ἐκεῖνον δὲ δεξάμενον, μηδενὶ ἀνταμείψασθαι· διὸ καὶ τοῦτο μᾶλλον τῷ λόγῳ ὑπόθεσιν ἐποιήσατο. 8. Ἀλιθίαν] ματαίαν, πεπλανημένην

ριτας αὐτὸ ἐπέγραψεν· ἐν ᾧ καὶ τὰ τοῦ Σιμωνίδου ὑπεμφαίνει κιβώτια. Λέγουσι γὰρ αὐτὸν ἔχειν δύο κιβώτια, τὸ μὲν Χαρίτων, τὸ δὲ Διδόντων. Ὅτε οὖν τις παρ' αὐτὸν παρεγένετο χάριν αἰτούμενος, ἐκέλευε φέρειν τὰ κιβώτια· εὑρίσκετο οὖν τὸ μὲν τῶν Χαρίτων κενὸν, τὸ δὲ τῶν Διδόντων πλῆρες· καὶ οὕτως ὁ τὴν δωρεὰν αἰτούμενος ἀνεκόπτετο.

# ΧΑΡΙΤΕΣ Η ΙΕΡΩΝ.

## *ΕΙΔΥΛΛΙΟΝ ΙϚ΄.*

ΜΟΥΣΩΝ, τούτων δὴ τῶν τοῦ Διὸς θυγατέρων, καὶ ποιητῶν ἔργον ὑμνεῖν μὲν τοὺς θεοὺς, μέλπειν δὲ καὶ τὰς τῶν ἀγαθῶν ἀνδρῶν εὐκλεεῖς πράξεις· μεμέρεσται δὲ τὸ ἔργον, τὸ προσανῆκον ἑκατέροις ἀποδιδόμενον· αἱ μὲν γὰρ Μοῦσαι, θεαὶ τῇ φύσει ὑπάρχουσαι, θεοὺς εἰλήχασιν ᾄδειν· ἡμῖν δὲ τοῖς ἀοιδοῖς, θνητοῖς οὖσι, τὰ τῶν θνητῶν μέλπειν κεκλήρωται· τίς γὰρ ἂν τῶν ὑπὸ τὸν οὐρανὸν κατοικούντων, ἀναπετάσας τὰς πύλας ταῖς ἡμετέραις Χάρισι χαριέντως, εἶθ' οὕτως ὑποδεξάμενος, ἀποπέμψειεν αὐτὰς μετὰ μικρὸν ἀβραβεύτους; αἱ δὲ γυμνοῖς ποσὶν ἐπιστρέψασαι οἴκαδε, συ-

Πολλά με τωθάσδοισαι, ὅτ' ἀλιθίαν ὁδὸν ἦνθον·
Ὀκνηραὶ δὲ πάλιν κενεᾶς ἐπὶ πυθμένι χηλῶ
Ψυχροῖς ἐν γονάτεσσι κάρη μίμνοντι βαλοῖσαι,
Ἔνθ' αὔη σφίσιν ἕδρα, ἐπὰν ἄπρακτοι ἵκωνται.
Τίς τῶν νῦν τοιόσδε; τίς εὖ εἰπόντα φιλασεῖ;
Οὐκ οἶδ'· οὐ γὰρ ἔτ' ἄνδρες ἐπ' ἔργμασιν, ὡς πάρος, ἐσθλοῖς
Αἰνεῖσθαι σπεύδοντι· νενίκανται δ' ὑπὸ κερδέων.
Πᾶς δ', ὑπὸ κόλπω χεῖρας ἔχων, πόθεν αὔξεται ἀθροῖ
Ἄργυρος· οὐδέ κεν ἰὸν ἀποτρίψας τινὶ δοίη·
Ἀλλ' εὐθὺς μυθοῖται, ἀπωτέρω, ἢ γόνυ κνήμα·
Αὐτῷ μοί τι γένοιτο· θεοὶ τιμῶσιν ἀοιδούς·
Τίς δέ κεν ἄλλου ἀκοῦσαι; ἅλις πάντεσιν Ὅμηρος·
Οὗτος ἀοιδῶν λῷστος, ὃς ἐξ ἐμεῦ οἴσεται οὐδέν·
    Δαιμόνιοι, τί δὲ κέρδος ὁ μυρίος ἔνδοθι χρυσὸς
Κείμενος; οὐχ ἅδε πλούτου φρονέουσιν ὄνασις.
Ἀλλὰ τὸ μὲν ψυχᾷ, τὸ δὲ καί τινι δοῦναι ἀοιδῶν·
Πολλοὺς δ' εὖ ἔρξαι παῶν, πολλοὺς δὲ καὶ ἄλλων
Ἀνθρώπων· ᾀεὶ δὲ θεοῖς ἐπιβώμια ῥέζειν.

---

ἦλθον εἰς τὸν οἶκον ἐκείνου ἐπ' οὐδενὶ κέρδει. 10. Ἐπὶ πυθμένι χηλοῦ] κιβωτοῦ. Τὸ τοῦ Σιμωνίδου αἰνίττεται· φασὶ γὰρ ἐκεῖνον δύο κιβώτια ἔχειν· τὸ μὲν, Χαρίτων· τὸ δὲ, Διδόντων· ὅτε οὖν τὶς ἐλθὼν, ᾔτει χάριν, ἐκέλευε φέρειν τὰ κιβώτια· Εὑρίσκετο τοίνυν τὸ μὲν τῶν Χαρίτων, κενόν· τὸ δὲ τῶν Διδόντων πλῆρες· καὶ οὕτως ὁ τὴν δωρεὰν αἰτούμενος, ἀνεκόπτετο. 16. Ὑπὸ κόλπῳ χεῖρας ἔχων] τὸ προσεκτικὸν τῆς ψυχῆς πρὸς τὸ κέρδος δηλοίη ἂν ἡ τῆς χειρὸς ὑποκόλπωσις. 18. Ἀπωτέρω ἢ γόνυ κνήμα] παροιμία ἐπὶ τῶν βουλομένων ἀποφεύγειν τι· ὡς εἰ ἔλεγε, περὶ ἐμαυτοῦ φροντιστέον, τῶν δ' ἐκτὸς ἐμοῦ θεοὶ φροντιοῦσιν. 21. Οἴσεται οὐδὲν] πῶς; γὰρ ἀποθανὼν;

νέλκουσι τὰς ὀφρῦς, καὶ πολλὰ μὲν καταμεμφόμεναι, ἐφ' οἷς τοιαύτην ὁδὸν ματαίαν προείλοντο· ὀκνηρῶς δὲ διατιθέμεναι τοῦ λοιποῦ, κἀπὶ ψυχρῶν τὰς ἑαυτῶν κεφαλὰς ἐπερείδουσαι γονάτων, ἀφορῶσιν ἐν ἀνοικτῷ κιβωτίῳ, οὗ ὁ πυθμὴν εὑρίσκεται ἀεὶ κενός· Τὶς οὖν ἂν εἴη τῶν νῦν ζώντων, ὃς τιμήσειεν ἂν ἀξίως τὸν εὖ εἰπόντα; ἐγὼ μὲν οὐκ οἶδα· οἱ γὰρ ἀνομοίως μὲν τοῖς πάλαι διάγοντες, πάντα δὲ πρὸς κέρδος σκοποῦντες, οὐκ ἐθέλουσιν ἐπ' ἔργοις ἀγαθοῖς ἐπαινεῖσθαι· πᾶς γὰρ ὑποκόλπιον ἔχων τὴν χεῖρα, οὐδὲν σκοπεῖ, ἢ ὅθεν ἂν αὐτῷ χρυσὸς ἐπιῤῥέοι· μεταδοῦναι δὲ καὶ ἄλλῳ τῳ οὐδ' ἀπότριμμα προαιρεῖται τοῦ πλούτου· ἀλλὰ πρόχειρον αὐτῷ εὐθὺς τὸ τῆς παροιμίας, Ἡ κνήμη ποῤῥωτέρω κεῖται τοῦ γόνατος· μελέτω δέ μοι ὅ,τι ἐμαυτῷ ποτε γένοιτ' ἂν πλέον· περὶ δὲ τῶν ὑμνῳδῶν φροντιζέσθωσαν οἱ θεοί· τὶς γὰρ ἂν ἐθέλοι ἀκούειν ἑτέρου, ὁπόθ' Ὅμηρος αὐτὸς μόνος ἐξαρκεῖ ἀντὶ πάντων; ἄριστος γὰρ ἔμοιγε ποιητῶν, ὃς ἄδων, οὐδὲν παρ' ἐμοῦ ἀξιοῖ λαμβάνειν.

Ὦ παράδοξοι ἄνθρωποι, τίποθ' ὑμῖν ὁ πλοῦτος ἐντὸς, κατακείμενος, χρήσιμος ἔσται; οὐ γὰρ οὕτως οἱ μὴ ἐν τῇ πτέρνῃ τὸν ἐγκέφαλον ἔχοντες περὶ αὐτοῦ φρονοῦσιν· ἀλλ' ὅπως καλῶς αὐτῷ χρήσεται ἕκαστος, τὸ μὲν ἑαυτῷ εἰς εὐδαιμονίαν ἀφοσιούμενος, τὸ δὲ καὶ ἀοιδῷ τῳ μεταδιδόναι· πολλοὺς μὲν τῶν συγγενῶν εὖ ποιεῖν, πολλοὺς δὲ καὶ τῶν ἄλλων ἀνθρώπων· ἀεὶ δ' ἐπὶ τῶν βωμῶν θύειν θεοῖς, ξένους δὲ

---

οὗτοι λόγοι τοῦ φιλοκερδοῦς εἰσιν. 25. Πάων] συγγενῶν, ἀλλ' οὐκ ἐξ αἵματος μάλιστα, ἢ τῶν ἐκ γάμου παρὰ τὸ Πάομαι· τὸ κτῶμαι· οἱ γὰρ ἐξ

Μηδὲ ξεινοδόκον κακὸν ἔμμεναι, ἀλλὰ τραπέζᾳ
Μειλίξαντ' ἀποπέμψαι, ἐπὰν ἐθέλητ' νέεσθαι·
Μουσάων δὲ μάλιστα τίειν ἱεροὺς ὑποφήτας·
Ὄφρα καὶ εἰν ἀΐδαο κεκρυμμένος ἐσθλὸς ἀκούσῃς,
Μηδ' ἀκλεὴς μύρηαι ἐπὶ ψυχρῷ Ἀχέροντος,
Ὡς εἴ τις μακέλᾳ τετυλωμένος ἔνδοθι χεῖρας,
Ἀχὴν ἐκ πατέρων πενίαν ἀκτήμονα κλαίων.
Πολλοὶ ἐν Ἀντιόχοιο δόμοις καὶ ἄνακτος Ἀλεύα
Ἁρμαλιὰν ἔμμηνον ἐμετρήσαντο πενέσται·
Πολλοὶ δὲ Σκοπάδαισιν ἐλαυνόμενοι ποτὶ σακὸν
Μόσχοι σὺν κεραῇσιν ἐμυκήσαντο βόεσσι·
Μυρία δ' ἀμπεδίον Κρανώνιον ἐνδιάασκον
Ποιμένες ἔκκριτα μᾶλα φιλοξένοισι Κρεώνδαις·
Ἀλλ' οὔ σφιν τῶν ἦδος, ἐπεὶ γλυκὺν ἐξεκένωσαν
Θυμὸν ἐς εὐρεῖαν σχεδίαν στυγνοῦ Ἀχέροντος,
Ἄμναστοι δὲ, τὰ πολλὰ καὶ ὄλϐια τῆνα λιπόντες,
Δειλοῖς ἐν νεκύεσσι μακροὺς αἰῶνας ἔκειντο,
Εἰ μὴ δεινὸς ἀοιδὸς ὁ Κήϊος αἰόλα φωνέων
Βάρϐιτον ἐς πολύχορδον, ἐν ἀνδράσι θῆκ' ὀνομαστοὺς
Ὁπλοτέροις, τιμᾶς δὲ καὶ ὠκέες ἔλλαχον ἵπποι,

---

ἐπιγαμίας οὐ φύσει, ἀλλὰ κτήσει εἰσὶ συγγενεῖς. 35: Ἁρμαλιὰν ἔμμηνον] σιτηρέσιον κατὰ μῆνα· τὸν πλοῦτον τοῦ Ἀντιόχου καὶ Ἀλεύα τοῦ βασιλέως τῶν ἐν Θετταλίᾳ βούλεται παραστῆσαι μάταιον ἂν αὐτοῖς γενέσθαι, εἰ μὴ Σιμωνίδης ἀθανάτους αὐτοὺς τῇ πολυχόρδῳ βαρϐίτῳ ἐποίησε. — Ἐμετρίσαντο, μοῖραν ἰδίαν ἑαυτῷ ἐλάμβανεν ἕκαστος. Τὸ δὲ Πενέσται ἐν Θεσσαλίᾳ ταὐτὸν ἂν εἴη, ὅπερ ἐν Λακεδαιμονίᾳ οἱ Εἵλωτες. 36. Σκοπάδαις] Ἀπόγονοι τοῦ Σκόπα βασιλέως τῶν Φερῶν, ὃν Σιμονίδης ἐξύμνησεν. 38.

μειλιχίως παρ' ἑαυτῷ προσιέμενος, καὶ τὰ εἰκότα φιλοξενίσας, εὖ διατεθειμένους ἀποπέμψαι, ἐπειδὰν τοῦτο ἐκείνοις δόξῃ· μάλιστα δὲ πάντων τοὺς τῶν Μουσῶν νεωκόρους, εἴγε βούλοιο, κἂν ᾅδου κείμενος, καλῶς ἀκούειν, μηδὲν ἐπ' ἀδοξίᾳ ἐν τῷ ψυχρῷ Ἀχέροντι ὀδυρόμενος, ὥσπερ τὶς τῶν τύλοις ἐντὸς τὰς χεῖρας ἐκ τῆς σκαπάνης ἐξηνθηκὼς, ἄχθεται, ὅτι μὴ πατρῴας οὐσίας γέγονε μέτοχος.

Πολλοὶ μὲν παρ' Ἀντιόχῳ καὶ Ἀλεύᾳ τοῖς ὀλβιωτάτοις Πενέσται τροφὴν ἀπελάμβανον κατὰ μῆνα καὶ ὡρισμένως· πολλοὶ δὲ καὶ παρὰ τοῖς Σκοπάδαις μόσχοι, πρὸς τὸν σαθμὸν ἐλαυνόμενοι, σὺν κερασφόροις ἐμηκῶντο μητράσι· μυρία δ' ὅσα τῶν θρεμμάτων ἀνὰ τὸ Κρανώνιον πεδίον ποιμένες νέμουσι τοῖς φιλοξένοις Κρεοντίδαις ἐξαίρετα· ἀλλ' οὐδὲν ἂν αὐτοῖς ἦν ὄφελος, οὐδ' ἡτισοῦν ἡδονὴ, ὁπότ' ἐπιβάντες τῆς τοῦ στυγνοῦ Ἀχέροντος σχεδίας, τὴν ἑαυτῶν ἀπέλιπον ψυχὴν, ἀλλὰ καὶ πάντ' ἂν τὸν αἰῶνα ἔκειντο λαθόντες ἐν νεκροῖς, τὰ πολλὰ καὶ ὄλβια ἐκεῖνα ὀπίσω καταλιπόντες πάντα, εἰ μὴ ὁ Κεῖος ποιητὴς, ἀνὴρ δαιμόνιος ἐν ᾠδαῖς γεγενημένος, πολλὰ ᾄσας ἐς αὐτοὺς ἐν βαρβίτῳ πολυχόρδῳ, ὀνομαστοὺς τοῖς ἐπιγιγνομένοις ἐποίησε· καὶ οὐ μόνοι τοῦτο, ἀλλὰ καὶ ἵπποι ἐπὶ τάχει τιμῆς ἠξιώθησαν, καὶ στεφανηφόροι ἀπὸ τῶν

---

Κρανώνιον] ἦν πόλις Κρανὼν (ἡ νῦν ἴσως Κρανία) παρὰ τὰ Τέμπη τῆς Θεσσαλίας· ἐξ ἧς τὸ Κρανώνιον πεδίον. 38. Ἐνδιάασκον] ἔβοσκον· τὸ δὲ θέμα, Ἐνδιάω, ὅ ἐστιν ἐν τόπῳ ἐνδίῳ (ἀσκεπεῖ) διατρίβω ποιμαίνων. 39. Κρεώνδαις] ἀντὶ Κρεοντίδαις] γενεά τις ἐν Θεσσαλίᾳ ἀπὸ ἀρχαίου τινὸς Κρέοντος βασιλεύσαντος. 44. Κήϊος] Κεῖος, ἐκ τῆς νήσου Κέω ὁ Σιμωνί-

Οἵ σφισιν ἐξ ἱερῶν στεφανηφόροι ἦνθον ἀγώνων.
Τίς δ' ἂν ἀριστῆας Λυκίων ποτὲ, τίς κομόωντας
Πριαμίδας, ἢ θῆλυν ἀπὸ χροιᾶς Κύκνον ἔγνω,
Εἰ μὴ φυλόπιδας προτέρων ὕμνησαν ἀοιδοί;
Οὐδ' Ὀδυσεὺς, ἑκατόν τε καὶ εἴκατι μῆνας ἀλαθεὶς
Πάντας ἐπ' ἀνθρώπως, ἀΐδαν τ' εἰς ἔσχατον ἐνθὼν
Ζωὸς, καὶ σπήλυγγα φυγὼν ὀλοοῖο Κύκλωπος,
Δηναιὸν κλέος ἔσχεν· ἐσιγάθη δ' ὁ συφορβὸς
Εὔμαιος, καὶ βουσὶ Φιλοίτιος ἀμφ' ἀγελαίαις
Ἔργον ἔχων, αὐτός τε περίσπλαγχνος Λαέρτας,
Εἰ μὴ σφᾶς ὤνασαν Ἰάονος ἀνδρὸς ἀοιδαί.
Ἐκ Μοισᾶν ἀγαθὸν κλέος ἔρχεται ἀνθρώποισι.
Χρήματα δὲ ζώοντες ἀμαλδύνοντι θανόντων.
Ἀλλ' ἶσος γὰρ ὁ μόχθος, ἐπ' ἀόνι κύματα μετρεῖν,
Ὅσσ' ἄνεμος χέρσονδε μετὰ γλαυκᾶς ἁλὸς ὠθεῖ,
Ἢ ὕδατι νίζειν θολερὰν ἰοειδέϊ πλίνθον,
Καὶ φιλοκερδείᾳ βεβλαμμένον ἄνδρα παρελθεῖν.

---

δας.—Αἰόλα φωνέων] ποικίλα καὶ εὔστροφα ᾄδων. 47. Ἐξ ἱερῶν ἀγώνων] ἱερούς φησιν, ὡς ἐν ἑορτῇ τοῦ Διὸς γιγνομένους. 48. Ἀριστῆας Λυκίων] τοὺς περὶ τὸν Γλαῦκον καὶ Σαρπηδόνα Ὁμηρικοὺς Ἥρωας. 49. Κύκνον] υἱὸς ἦν οὗτος Ἄρεως καὶ Πελοπίας (ἢ ὡς ἄλλοι Ποσειδῶνος) ἔχων εἰς γυναῖκα τὴν Θεμιστινόην θυγατέρα τοῦ Κήϋκος, διατρίβων ἐν Θετταλίᾳ, ἐλῄστευε· μονομαχήσας δὲ πρὸς αὐτὸν Ἡρακλῆς, ἐφόνευσεν· ἦν δὲ κατὰ μὲν Ἑλλάνικον, ὥς φασί, λευκὸς τὴν χροιὰν ἐκ γενετῆς· διὸ καὶ Θῆλυν αὐτὸν ἐποίησεν ὁ Θεόκριτος· κατὰ δὲ τὸν Ἡσίοδον τὴν κεφαλὴν μόνον εἶχε λευκήν. 50. Φυλόπιδας] τὰς μάχας· πολλάκις δ' εὕρηνται ἄμφω συνώνυμα, Φύλοπις μάχη. 52. Ἀΐδαν] ἀναχωρήσας Ὀδυσσεὺς ἀπὸ τῆς Κίρκης, κατέβη εἰς τὸν Ἅδην χρησόμενος Τειρεσίᾳ περὶ τῆς ἑαυτοῦ εἰς τὴν Ἰθάκην νόστου· ταῦτα δὲ καὶ τὰ περὶ τὸν Εὔμαιον καὶ Φιλοίτιον διὰ πολλῶν εὑρήσεις ἐν Ὀδυσσείᾳ. 67

ἱερῶν αὐτοῖς ἐπανῆλθον ἀγώνων· τίς δὲ τοὺς τῶν Λυκίων ἀριστέας; τίς ἂν τοὺς τοῦ Πριάμου παῖδας ἔγνω ποτὲ, ἢ τίς Κύκνον θῆλυν ἐκ τῆς χροιᾶς διέγνω, εἰ μὴ φθάντες οἱ ποιηταὶ τοὺς τῶν ἀρχαίων ἐξύμνησαν πολέμους; ἀλλ' οὐδ' Ὀδυσσεὺς, δέκατον ἔτος ἐπὶ πάντας ἀποπλανηθεὶς ἀνθρώπους, καὶ τελευταῖον ἐν ᾅδου ζῶν κατελθὼν, τό,τε σπήλαιον διαφυγὼν τὸ τοῦ Κύκλωπος καὶ τἄλλα, μέγα οὕτως ἤρατο κλέος· νῦν δὲ καὶ Εὔμαιος αὐτὸς ὁ συφορβὸς αὐτοῦ, καὶ Φιλοίτιος ὁ βουκόλος, καὶ ὁ μεγάθυμος Λαέρτης, φήμης ἠξιώθησαν προσηκούσης, ἐπειδὴ Ἰωνικὴ μοῦσα ἀνδρὸς ἀοιδοῦ ἐποίησεν αὐτοὺς ἀθανάτους.

Ἐκ μὲν οὖν τῶν Μουσῶν κλέος ἀεὶ ἀγαθὸν παρακολουθεῖ τοῖς ἀνθρώποις· τὰ δὲ τῶν ἀνθρώπων κτήμαθ' οἱ ζῶντες ἄλλοτ' ἄλλος ἐκ διαδοχῆς διαφθείρουσιν· ἀλλ' ἔργον ἔστι φιλάργυρον ψυχὴν μεταπείθειν· ὥσπερ καὶ τὰ ἐπὶ τῆς ἠϊόνος κύματα μετρεῖν ἐπιβάλλεσθαι, ὅτ' ἄνεμος ἀλλεπαλλήλως ἐκ θαλάσσης μετωθεῖ ἐς τὴν χέρσον, ἢ πλίνθον βορβορώδη ὕδατι ἰοειδεῖ ἐκπλύνειν, ὁ αὐτὸς ἔσται πόνος.

---

Ἰόνος ἀνδρὸς] τοῦ Ὁμήρου, ὡς ἐν Ἰάδι διαλέκτῳ γράψαντος. 59. Ἀμαλδύνοντι] μαραίνουσι, φθείρουσι. 60. Ἀόνι] ἠϊόνι. 61. Μετὰ . . . ὠθεῖ] μετωθεῖ ἕτερον ἐφ' ἑτέρῳ· τὸ δὲ Ἁλὸς ἀποδοθήτω μᾶλλον κτητικῶς εἰς τὸ Κύματα. 62. Ὕδατι νίζειν θολερὰν ἰοειδέϊ πλίνθον] ἰοειδὲς ὕδωρ ἐστὶ τὸ θαλάσσιον, ἐπειδὰν κυμαίνηται ὑπὸ τῶν ἀνέμων· θολερὰ δὲ πλίνθος ἡ ἐκ γῆς βορβορώδης· ὁ δὲ νοῦς ἔοικε παροιμιώδης ὅμοιος τῷ Αἰθίοπα σμήχειν ἀδύνατον, ἐπὶ τῶν ματαίως ἐνασχολουμένων περί τι, ἢ μᾶλλον ἐπὶ τῶν πειρωμένων μεταπείθειν ἰσχυρογνώμονας· ἔστι δ' ἀμφιγνοούμενον ἔτι τὸ χωρίον, εἰ μή τις μεταβαλὼν τι ἑρμηνεύσειεν οὕτως, ὕδατι βεβαμμένῳ ἰοειδεῖ θολερὰν πλίνθον λευκαίνειν. 63. Παρελθεῖν] ἀπατῆσαι, ἢ παραπεῖσαι· εἰ

Χαιρέτω, ὅστις τοῖος· ἀνήριθμος δέ οἱ εἴη
Ἄργυρος· αἰεὶ δὲ πλεόνων ἔχοι ἵμερος αὐτόν.
Αὐτὰρ ἐγὼν τιμάν τε καὶ ἀνθρώπων φιλότητα
Πολλῶν ἡμιόνων τε καὶ ἵππων πρόσθεν ἑλοίμαν.
Δίζημαι δ', ᾧ κεν θνατῶν κεχαρισμένος ἔνθω
Σὺν Μοίσαις· χαλεπαὶ γὰρ ὁδοὶ τελέθοντι ἀοιδοῖς
Κουράων ἀπάνευθε Διὸς μέγα βουλεύοντος.
Οὔπω μῆνας ἄγων ἔκαμ' οὐρανὸς, οὐδ' ἐνιαυτούς·
Πολλοὶ κινησεῦντι ἔτι τροχὸν ἅρματος ἵπποι.
Ἔσσεται οὗτος ἀνὴρ, ὃς ἐμεῦ κεχρήσετ' ἀοιδᾷ,
Ῥέξας ἢ Ἀχιλεὺς ὅσσον μέγας, ἢ βαρὺς Αἴας
Ἐν πεδίῳ Σιμόεντος, ὅθι Φρυγὸς ἠρίον Ἴλου.
Ἤδη νῦν Φοίνικες, ὑπ' ἀελίῳ δύνοντι
Οἰκεῦντες Λιβύας ἄκρον σφυρὸν, ἐῤῥίγαντι·
Ἤδη βαστάζουσι Συρακόσιοι μέσα δοῦρα,
Ἀχθόμενοι σακέεσσι βραχίονας ἰτεΐνοισιν·
Ἐν δ' αὐτοῖς Ἱέρων, προτέροις ἴσος ἡρώεσσι,
Ζώννυται, ἵππειαι δὲ κόρυν σκεπάουσιν ἔθειραι.
Αἲ γὰρ, Ζεῦ κύδιστε πάτερ, καὶ πότνι' Ἀθάνα,
Κώρα θ', ἃ σὺν ματρὶ πολυκλάρων Ἐφυραίων

---

μὴ διεφθαρμένον εἴη τοῦτο. 69. Ἀοιδοῖς κουράων] ἀοιδᾶν Μουσάων ἐν ἄλλοις κεῖται. 72. Κινησεῦντι] κινήσουσι· ἐννοεῖ δὲ πόλεμον, ἐν ᾧ ἀναφαίνονται ἄνδρες ἀγαθοὶ, ἵνα ἔχωσιν οἱ ποιηταὶ, οὕστινας μέλψουσι. 75. Σιμόεντος] ποταμὸς οὗτος ἐν Τροίᾳ· ὁ δὲ Ἶλος βασιλεὺς ἦν αὐτόθι υἱὸς Δαρδάνου, ἀδελφὸς δὲ Γανυμήδους. 76. Φοίνικες] οἱ Καρχηδόνιοι, οὓς ἡ Διδὼ ἀπῴκισεν αὐτοῦ ἐκ Φοινίκης τῆς Συρίας. 77. Ἄκρον σφυρὸν] ἄκρον πόδα,

Χαιρέτω τοίνυν, ὅστις ἐστὶ τοιοῦτος· καὶ ὁ ἄργυρος αὐτῷ ἀνόνητος εἴη· πλειόνων δὲ ἔρως αὐτὸν κατατήκοι· ἐμοὶ δ' εἴη τιμήν τε καὶ φιλίαν ἀνθρώπων πολλῶν, ἡμιόνων τε καὶ ἵππων περὶ πλείονος ποιεῖσθαι· Βουλοίμην δ' ἂν σὺν Μούσαις εὑρεῖν, ὅτῳ ποτὲ κεχαρισμένα δράσω· ἄνευ γὰρ τῶν τοῦ Διὸς θυγατέρων τοῦ τὰ κράτιστα ἀεὶ βουλευομένου, χαλεπὸν ποιηταῖς εὑρεῖν τοιοῦτον.

Τέως δ' οὖν ὁ οὐρανὸς ἐν τῷ ἑαυτοῦ στρεφόμενος ἄξωνι, οὔπω κέκμηκε μῆνάς τε καὶ ἐνιαυτοὺς ἡμῖν παρέχων, ἐν οἷς πολλοὶ ἐν ἀγῶσι πολεμικοῖς δραμοῦνται ἵπποι. ἔσθ' ὅστις ἀνδρῶν, ὃν ἡ ἐμὴ τιμήσει μοῦσα· ἔσθ' ὅστις πράξει, ὅσα ὁ μέγας Ἀχιλλεύς, ἢ ὁ Εὐρύνωτος Αἴας ἐν τῷ τοῦ Σιμόεντος πεδίῳ, ἔνθ' ἐστὶ τοῦ Ἴλου τοῦ Φρυγὸς τὸ μέγα μνῆμα· ἤδη γὰρ οἱ Φοίνικες οἱ πρὸς δυόμενον ἥλιον οἰκοῦντες τὸ ἄκρον Λιβύης, τρέμουσι δέει· οἱ δὲ Συρακούσιοι ἀράμενοι ἤδη τὰ δόρατα ἐν χερσὶ καὶ τὸ τῶν οἰσυΐνων ἀσπίδων ἄχθος ἐπὶ τῶν βραχιόνων, ἕτοιμοί εἰσιν· ὁ δὲ Ἱέρων ἐν αὐτοῖς, ἴσος τοῖς πάλαι ἥρωσιν ὑπάρχων, καὶ ἵππουριν ἐπὶ κεφαλῆς ἐπικυματουμένην φέρων, περιζώννυται ἤδη τὸ ξίφος.

Αἲ Ζεῦ πάτερ, κύδιστε, καὶ πότνι' Ἀθηνᾶ, καὶ Κόρη ἡ σὺν μητρὶ λαχοῦσα τὸ τῶν Ἐφυραίων μέγα ἄστυ, παρὰ τῇ Λυ-

---

ἐσχατιὰ ὄρους, ἀκρωτήριον. Τὸ δὲ Ἐῤῥίγαντι, ῥίγω, ἔῤῥιγα, ἐῤῥίγασι μέσος παρακείμενος, φόβον δὲ σημαίνει ἐνταῦθα, ὡς καὶ τὸ Τρέμω. 79. Ἰτείνοισι] σάκος ἐξ ἰτέας πεπλεγμένον, ὥσπερ κάλαθος. 80. Ἱέρων] ἀπορεῖται, ὅπως ὃν ἐμέμφετο ἐν αἰνίγμασιν ἀνωτέρω, τοῦτον νῦν ἐπαινεῖ. 83. Ἐφυραίων] Συρακουσίων· ἄποικοι γὰρ ἦσαν Κορινθίων, ὧν τὸ ἀρχαῖον Ἐφύ-

Εἴλαχας μέγα ἄστυ, παρ' ὕδασι Λυσιμελείας,
Ἐχθροὺς ἐκ νάσοιο κακαὶ πέμψειαν ἀνάγκαι
Σαρδόνιον κατὰ κῦμα, φίλων μόρον ἀγγελέοντας
Τέκνοις ἠδ' ἀλόχοισιν, ἀριθματοὺς ἀπὸ πολλῶν·
Ἄστεα δὲ προτέροισι πάλιν ναίοιτο πολίταις,
Δυσμενέων ὅσα χεῖρες ἐλωβήσαντο κατ' ἄκρας,
Ἀγροὺς δ' ἐργάζοιντο τεθαλότας· αἵ τ' ἀνάριθμοι
Μήλων χιλιάδες, βοτάναις διαπιανθεῖσαι,
Ἀμπεδίον βλήχοιντο, βόες δ' ἀγελαδὸν ἐς αὖλιν
Ἐρχόμεναι σκνιπαῖον ἐπισπεύδοιεν ὁδίταν·
Νειοὶ δ' ἐκπονέοιτο ποτὶ σπόρον, ἁνίκα τέττιξ,
Ποιμένας ἐνδίους πεφυλαγμένος, ἔνδοθι δένδρων
Ἀχεῖ ἐν ἀκρεμόνεσσιν· ἀράχνια δ' εἰς ὅπλ' ἀράχναι
Λεπτὰ διαστήσαιντο, βοᾶς δ' ἔτι μηδ' ὄνομ' εἴη.
Ὑψηλὸν δ' Ἱέρωνι κλέος φερέοιεν ἀοιδοὶ
Καὶ πόντου Σκυθικοῖο πέραν, καὶ ὅπη πλατὺ τεῖχος
Ἀσφάλτῳ δήσασα Σεμίραμις ἐμβασίλευεν.
Εἷς μὲν ἐγὼν, πολλοὺς δὲ Διὸς φιλέοντι καὶ ἄλλους
Θυγατέρες, τοῖς πᾶσι μέλοι Σικελὰν Ἀρέθοισαν
Ὑμνεῖν σὺν λαοῖσι, καὶ αἰχμητὰν Ἱέρωνα.
Ὦ Ἐτεόκλειοι θύγατρες θεαὶ, αἱ Μινύειον

---

ρη ἐκαλεῖτο ἡ πόλις· ἡ δὲ Λυσιμέλεια Λίμνη ἦν. 93. Σκνιπαῖον] σκνίψ, φασὶ, ζωΰφιόν ἐστιν ἀργοκίνητον· σημαίνει τοίνυν οὕτω τὸν βραδύν· ἔτι ὁ σκνὶψ οὗτος καὶ ἤδη σκοντίζοντος φαίνεται, ἐκ τούτου εἴη ἂν τὸ Σκνιπαῖος καὶ σκότιος, καθ' ὃν χρόνον οἱ βόες ἐπανέρχονται εἰς τὸν σηκόν· ἢ βλαπτικὸς ὡς οἱ σκνίπες. οὕτως οὖν οἱ βόες ἐκβιάζονται τὸν τοιοῦτον ὁδίτην ὄπισθεν· βουκολικὸς μὲν ὁ λόγος, ψυχρὸς δὲ καὶ ταπεινὸς, εἰ μὴ ἄλλως τι ἐννασι.

σιμελείᾳ κατέχειν, τοὺς μὲν πολεμίους χαλεπαὶ ἀπὸ τῆς νήσου πρὸς τὸ Σαρδώνιον πέλαγος ἀποπέμψειαν ἀνάγκαι, καὶ τούτους ἀπὸ πολλῶν ὀλίγους, τὸν τῶν φίλων θάνατον τοῖς αὐτῶν φιλτάτοις γυναιξί τε καὶ τέκνοις ἀγγελοῦντας μόνους· αἱ δὲ πόλεις, ὅσας αἱ τῶν πολεμίων ἐλωβήσαντο χεῖρες, κατοικοῖντο αὖθις παρὰ τῶν πολιτῶν· παρ᾽ ὧν καὶ οἱ ἀγροὶ ἀροτριούμενοι ἀναθάλλοιεν· αἱ δὲ μυρίαι χιλιάδες τῶν θρεμμάτων πιανθεῖσαι ἐξ ἀφθόνου ποίας, βλήχοιντο ἀνὰ πᾶν ἀνακιρτῶντα τὸ πεδίον· αἱ δ᾽ αὖ βόες ἐπανήκουσαι ἐς τὸν σταθμὸν ἑσπέρας, ἐπισπεύδοιεν τὸν βραδύνοντα ὁδίτην· οἱ δ᾽ ἀγροὶ ἀροτριῷντο πρὸς εὐφορίαν σίτου, ὁπόθ᾽ ὁ τέττιξ, φυλαττόμενος τοὺς ποιμένας κατὰ σταθερὰν μεσημβρίαν, μελῳδεῖ ἐν μέσῳ τῶν ἀκρεμόνων· Αἱ δὲ ἀράχναι αὖθις, λεπτὰ διυφάνασαι ἀράχνια μεταξὺ, κωλύοιεν τὰ ὅπλα, καὶ βοῆς πολεμικῆς μηκέτ᾽ ὄνομα εἴη· οἱ δὲ ποιηταὶ ὑμνοῖεν τὸ μέγα τοῦ Ἱέρωνος κλέος, πέραν τοῦ Εὐξείνου αἴροντες αὐτὸ, καὶ ὅπη ποτε Σεμίραμις, μέγα τεῖχος ἀσφάλτῳ δειμαμένη, ἐβασίλευεν· ἐμοί τε γὰρ καὶ πᾶσι τοῖς ἄλλοις, οὓς αἱ τοῦ Διὸς ἐφίλησαν θυγατέρες, μέλοι τὴν ἐν Σικελίᾳ Ἀρέθουσαν, τόν τε λαὸν ὁμοίως καὶ τὸν τοῦ λαοῦ ἡγούμενον ἀγαθὸν Ἱέρωνα μέλπειν.

Ὦ χάριτες, αἷς Ἐτεοκλῆς ἐχαρίσατο μάλιστα, αἱ τὸν Μι-

---

97. Διαστήσαιντο] διυφάνειαν, στήσαιεν μεταξὺ κωλύουσαι. Τὸ δὲ Βοᾶς τὸν ἀλαλαγμὸν ἐννοεῖ τοῦ πολέμου.—Σικελὰν Ἀρέθουσαν] πηγὴ αὕτη· πρὸς διαφορὰν ἄλλων πηγῶν ὁμωνύμων προσετέθη τὸ Σικελή. 104. Ἐτεόκλειος θυγατέρες] πρῶτος Ἐτεοκλῆς ἐν Κηφισῷ ἐν Ὀρχομενῷ ἔθυσε ταῖς Χάρισιν,

Ὀρχομενὸν φιλέοισαι, ἀπεχθόμενόν ποκα Θήβαις,
Ἄκλητος μὲν ἔγωγε μένοιμί κεν· ἐς δὲ καλεύντων
Θαρσήσας Μοίσαισι σὺν ἁμετέραισιν ἱκοίμαν.
Καλλείψω δ' οὐδ' ὔμμε· τί γὰρ Χαρίτων ἀγαπατὸν
Ἀνθρώποις ἀπάνευθεν; ἀεὶ Χαρίτεσσιν ἅμ' εἴην.

---

καὶ διὰ τοῦτο πατὴρ αὐτῶν ἀκούει. 105. Ἀπεχθόμενον Θήβαις] Ἐργῖνος Ὀρχομένιος, φονευθέντος τοῦ πατρὸς αὐτοῦ Κλυμένου ὑπὸ Θηβαίων, εἷλε τὰς

νύειον Ὀρχομενὸν φιλεῦσαι, πολέμιόν ποτε Θήβαις γεγενημένον, ἐγὼ μὲν ἄκλητος οὐκ ἂν ἔλθοιμι παρ' οὐδένα· εἰ δέ τις καλοίη, οὔτε τῶν ἐμῶν Μουσῶν, οὔτε τῶν Χαρίτων ἄνευ πρὸς ἐκεῖνον ἂν ἥκοιμι· οὐδ' ἂν καταλίποιμι ὑμᾶς ὀπίσω· τί γὰρ ἂν τῶν παρ' ἀνθρώποις εἴη ἂν χάριεν Χαρίτων ἄνευ; ἔμοιγ' οὖν εἴη ἀεὶ ὑμῖν συνεδριάζειν.

---

Θήβας, καὶ φόρους ἔταξεν, ἕως οὗ Ἡρακλῆς μάχῃ νικήσας τοὺς Ὀρχομενοὺς, ἀπέλυσε Θηβαίους τοῦ φόρου.

## ΥΠΟΘΕΣΙΣ

Τοῦτο τὸ Εἰδύλλιον εἰς Πτολεμαῖον τὸν Φιλάδελφον γέγραπται. Ἀρατείᾳ δὲ κέχρηται εἰσϐολῇ. Ὁ δὲ Φιλάδελφος Πτολεμαῖος Πτολεμαίου τοῦ Λάγου καὶ Βερενίκης ἦν

## ΕΓΚΩΜΙΟΝ

ΕΙΣ

# ΠΤΟΛΕΜΑΙΟΝ.

## ΕΙΔΥΛΛΙΟΝ ΙΖ'.

Ἐκ Διὸς ἀρχώμεσθα, καὶ ἐς Δία λήγετε Μοῖσαι,
Ἀθανάτων τὸν ἄριστον ἐπὴν ᾄδωμεν ἀοιδαῖς·
Ἀνδρῶν δ' αὖ Πτολεμαῖος ἐνὶ πρώτοισι λεγέσθω,
Καὶ πύματος, καὶ μέσσος· ὁ γὰρ προφερέστατος ἀνδρῶν.
Ἥρωες, τοὶ πρόσθεν ἀφ' ἁμιθέων ἐγένοντο,
Ῥέξαντες καλὰ ἔργα σοφῶν ἐκύρησαν ἀοιδῶν·

---

1. Πρῶτος Αἰγυπτίων μετ' Ἀλέξανδρον τὸν μέγαν βασιλεὺς γέγονε Πτολεμαῖος ὁ Λάγου καὶ Ἀρσινόης· ἀφ' οὗ οἱ διάδοχοι ἐπὶ ἔτη 300, ἑπτὰ δεόντων, ἀπὸ τοῦ 323 ἕως τῶν 30 πρὸ Χριστοῦ πάντες ὑπὸ τῷ αὐτῷ ὀνόματ' ἐϐασίλευον. Τούτου δὲ καὶ Βερενίκης ἐγένετο Πτολεμαῖος ὁ φιλάδελφος ἐπικληθείς. Τούτου δ' αὖ καὶ Ἀρσινόης τῆς πρώτης ἑαυτοῦ γυναικὸς, τῆς τοῦ

παῖς. Διὸ καὶ ἁμαρτάνει ὁ Μούνατος, τοὺς χρόνους τοῦ Θεοκρίτου ἀναβιβάζων εἰς τὸν Φιλοπάτορα, τοσούτου χρόνου μαχόμενος διαστήματι.

# *ΕΓΚΩΜΙΟΝ* ΕΙΣ ΠΤΟΛΕΜΑΙΟΝ.

## *ΕΙΔΥΛΛΙΟΝ ΙΖ΄.*

ΔΙΚΑΙΟΝ, ὦ πότνιαι Μοῦσαι, ὥσπερ, ὁπότε θεῶν τὸν κράτιστον μέλλοιμεν ᾄσειν, ἐκ Διὸς ἀρχόμεθα, καὶ εἰς αὐτὸν καταλήγομεν· οὕτω καὶ Πτολεμαῖον, ἄριστον ἁπάντων ἀνδρῶν γεγενημένον, πρῶτον αὐτὸν καὶ μέσον καὶ τελευταῖον ἐν μέλεσιν αἰνέσαι· Οἱ μὲν οὖν Ἥρωες, ὧν ἡ ἀρχή ἐστιν ἐξ ἡμιθέων, ἀγαθὰ πράξαντες ἔργα, οὐκ εὐκαταφρονήτων ἔτυ-

Λυσιμάχου θυγατρὸς (ἣν ἀπολύσας, ἔλαβε γυναῖκα δευτέραν ὁμώνυμον τὴν ἑαυτοῦ ἀδελφὴν) ἐγένετο Πτολεμαῖος ὁ ἐπικληθεὶς Εὐεργέτης. Περὶ τούτους οὖν τὸν τοῦ Λάγου καὶ Βερενίκην, τὸν φιλάδελφον καὶ Ἀρσινόην (τὴν ἀδελφὴν) τὸ πᾶν τοῦτο συγκλείεται Εἰδύλλιον. 4. Ὁ γὰρ] οὕτως ἄμεινον καὶ Ὁμηρικώτερον (ὁ γὰρ Ἀχιλῆϊ χολωθεὶς) ὡς κἀν τῇ ἀρχαίᾳ ἀντὶ τοῦ ὅς.

Αὐτὰρ ἐγὼ Πτολεμαῖον, ἐπιστάμενος καλὰ εἰπεῖν,
Ὑμνήσαιμ'· ὕμνοι δὲ καὶ ἀθανάτων γέρας αὐτῶν.
Ἴδαν εἰς πολύδενδρον ἀνὴρ ὑλατόμος ἐνθὼν,
Παπταίνει, παρεόντος ἅδην, πόθεν ἄρξεται ἔργω.
Τὶ πρᾶτον καταλεξῶ; ἐπεὶ πάρα μυρία εἰπεῖν,
Οἷσι θεοὶ τὸν ἄριστον ἐτίμασαν βασιλήων.

Ἐκ πατέρων· οἷος μὲν ἔην τελέσαι μέγα ἔργον
Ὁ Λαγίδας Πτολεμαῖος, ὅκα φρεσὶν ἐγκατάθοιτο
Βουλὰν, ἂν οὐκ ἄλλος ἀνὴρ οἷός τε νοῆσαι.
Τῆνον καὶ μακάρεσι πατὴρ ὁμότιμον ἔθηκεν
Ἀθανάτοις, καὶ οἱ χρύσεος δόμος ἐν Διὸς οἴκῳ
Δέδμηται· παρὰ δ' αὐτὸν Ἀλέξανδρος φίλα εἰδὼς
Ἑδριάει, Πέρσαισι βαρὺς θεὸς αἰολομίτραις
Ἀντία δ' Ἡρακλῆος ἕδρα σφιν ταυροφόνοιο.
Ἵδρυται, στερεοῖο τετυγμένα ἐξ ἀδάμαντος·
Ἔνθα σὺν ἄλλοισιν θαλίας ἔχει οὐρανίδαισι,
Χαίρων υἱωνῶν περιώσιον υἱωνοῖσιν,
Ὅττι σφέων Κρονίδας μελέων ἐξείλετο γῆρας·
Ἀθάνατοι δὲ καλεῦνται θεοὶ νέποδες γεγαῶτες.
Ἀμφοῖν γὰρ πρόγονός σφιν ὁ καρτερὸς Ἡρακλείδας,

---

7. Εἰπεῖν] τὰ τοιαῦτα οἱ νεώτεροι Ἑλληνισταὶ γράφουσι διὰ τοῦ Η. εἶεν, εἰπῆν, εὑρῆν, ἐλθῆν· ἐγὼ δ' ἀκολουθῶ τοῖς ἀρχαιοτέροις. 13. Ἐκ πατέρων.] ἔστιξα εὐθὺς μετὰ τοῦτο· δοκεῖ γὰρ ἀνεξάρτητον εἶναι, ὡς εἰ ἔλεγε, δότε μοι ἐκ τῶν πατέρων τὸν ἔπαινον πλέξαι τῷ Φιλαδέλφῳ· καὶ γὰρ ἐκ πατρὸς καὶ μητρὸς αὐτοῦ ἄρχεται. 17. Ἀθανάτοις] ταῦτα δὲ λέγει ὡς ἀποθεώσαντος τοῦ υἱοῦ τὸν πατέρα. 19. Αἰολομίτραις] ἢ ζώνας εἶχον ποικίλας, ἢ ἐπὶ τῆς κεφαλῆς ἀναδέσμους τοιούτους. 22. Θαλίας] εὐωχείας,

χον μελῳδῶν· Ἐγὼ δ' εὖ εἰδὼς ᾄδειν, τὸ τοῦ Πτολεμαίου προελοίμην ἂν ὑμνῆσαι· ὃ κοινὸν ἂν εἴη θνητοῖς τε καὶ ἀθανάτοις γέρας· Ὥσπερ οὖν ὑλοτόμος ἀνὴρ, ἀνελθὼν εἰς ὄρος πολύσκιον, ἀφθόνου αὐτῷ ὕλης προκειμένης, σκοπεῖ, ὅθεν ἄρξεται τοῦ ἔργου· οὕτω κἀγὼ, πολλῶν παρόντων εἰπεῖν, οἷς οἱ θεοὶ τὸν ἄριστον ἐτίμησαν τῶν βασιλέων, ἀπορῶ, πόθεν ἄρξωμαι.

Ὁ γὰρ πατὴρ αὐτοῦ (ἵν' ἐκεῖθεν προοιμιάσωμαι) Πτολεμαῖος ὁ Λάγου, ἐγένετο ἀνὴρ, οἷος μεγάλα ἔργα τελέσαι διὰ βουλῆς βαθείας, ἣν ἕτερος εἷς οὐδεὶς συλλαβεῖν ἐν ἑαυτῷ οἷός τ' ἂν εἴη· Ἐκεῖνον τοίνυν Ζεὺς ὁ πατὴρ, χρυσοῦν αὐτῷ παρ' ἑαυτῷ δωρησάμενος δῶμα, ὁμότιμον τοῖς ἀθανάτοις ἐποίησεν· ᾧ καὶ Ἀλέξανδρος ὁ τοῖς ποικιλομίτροις Πέρσαις ἐπίφοβος θεὸς, φίλα φρονῶν συνεδριάζει· ὧν ἀπέναντι ἵδρυται ἡ τοῦ ταυροκτόνου Ἡρακλέους ἕδρα, ἐξ ἀδάμαντος στερεοῦ κατεσκευασμένη. ἔνθα σὺν ἄλλοις τῆς κοινῆς τῶν μακάρων ἀπολαύει εὐωχείας, χαρᾷ χαίρων, ἐφ' οἷς, ἐξελόντος αὐτοῖς τοῦ Διὸς ἐκ τῶν μελῶν τὸ γῆρας, οἱ υἱωνοὶ αὐτοῦ ἑξῆς ἄλλος μετ' ἄλλον ἀθανασίας εἰληχότες, θείας ἠξιώθησαν κλήσεως· ἀμφότεροι γὰρ ἐπὶ Ὕλον τὸν Ἡρακλέους

---

εἰς Αἰτιατικὴν μᾶλλον, εἰ μή τις τὸ, Ἔχει, λάβοι ἀντὶ τοῦ Μετέχει. 23. Υἱωνῶν υἱωνοῖσι] Κάρανος ἀπόγονος Ἡρακλέους, ἐλθὼν ἐξ Ἄργους εἰς Μακεδονίαν, πρῶτος συνέστησε τὸ βασίλειον τοῦτο· ἐντεῦθεν οὖν Ἀλέξανδρος καὶ Πτολεμαῖοι Ἡρακλεῖδαί εἰσιν· οὓς ὁ τῶν νῦν Ἡρακλῆς ἀθανάτους γεγεννημένους, περιούσιον χαίρει. 25. Νέποδες] οἱ παῖδες αὐτοῦ, δοκεῖ δὲ τοῦτο ἀπὸ τῶν βρεφῶν τῶν μηκέτι δυναμένων χρῆσθαι τοῖς ποσὶν τὴν ἀρχὴν εἰληφέναι· τὸ γὰρ Παῖς ὄνομα ἐξενίκησε λαμβάνεσθαι ἁπλῶς ἀντὶ τοῦ Υἱὸς κἂν τις ἀνὴρ ᾖ, σχετικῶς πρὸς τοὺς τεκόντας. 26. Ἡρακλείδας] τὸν Ὕλλον υἱὸν

Ἀμφότεροι δ' ἀριθμεῦνται ἐς ἔσχατον Ἡρακλῆα.
Τῷ καὶ ἐπεὶ δαίτηθεν ἴοι κεκορημένος ἤδη
Νέκταρος εὐόδμοιο φίλας ἐς δῶμ' ἀλόχοιο,
Τῷ μὲν τόξον ἔδωκεν ὑπωλένιόν τε φαρέτραν·
Τῷ δὲ, σιδάρειον σκύταλον, κεχαραγμένον ὄζοις·
Οἱ δ' εἰς ἀμβρόσιον θάλαμον λευκοσφύρω Ἥβας
Ὅπλα καὶ αὐτὸν ἄγοντι γενειήταν Διὸς υἱόν.
Οἵα δ' ἐν πινυταῖσι περικλειτὰ Βερινίκα
Ἔπρεπε θηλυτέραις, ὄφελος μέγα γειναμένοισι.
Τᾶς μὲν Κύπρον ἔχοισα, Διώνας πότνια κώρα,
Κόλπον εἰς εὐώδη ῥαδινὰς ἐσεμάξατο χεῖρας.
Τῷ οὔπω τινὰ φαντὶ ἁδεῖν τόσον ἀνδρὶ γυναῖκα,
Ὅσσον περ Πτολεμαῖος ἑὰν ἐφίλασεν ἄκοιτιν.
Ἦ μὰν ἀντεφιλεῖτο πολὺ πλέον· ὧδέ κε παισὶ
Θαρσήσας σφετέροισιν ἐπιτρέποι οἶκον ἅπαντα,
Ὁππότε κεν φιλέων βαίνῃ λέχος ἐς φιλεοίσας.
Ἀστόργω δὲ γυναικὸς ἐπ' ἀλλοτρίῳ νόος αἰὲν,
Ῥηΐδιαι δὲ γοναὶ, τέκνα δ' οὔποτ' ἐοικότα πατρί.
Κάλλει ἀριστεύοισα θεάων πότν' Ἀφροδίτα,
Σοὶ τήνα μεμέλητο· σέθεν δ' ἕνεκεν Βερενίκα
Εὐειδὴς Ἀχέροντα πολύστονον οὐκ ἐπέρασεν·
Ἀλκά μιν ἁρπάξασα, πάροιθ' ἐπὶ νᾶμα κατενθεῖν

---

Ἡρακλέους ἐννοεῖ· ἢ αὐτὸν τὸν Κάραννον. 33. Γενειήταν] πότερον, πωγωνίαν ἢ γεννέτην, ἢ ἁπλῶς γόνον τοῦ Διός· ὁ μὲν νοῦς τοῦτ' ἐθέλει μᾶλλον, ἡ δὲ λέξις σφαδάζει. 36. Ἐσεμάξατο] ἐν δὲ τῇ Ἀρχαίᾳ, Ἐπιμάξατο κεῖται. 41. Σφετέροισι] φασὶ γὰρ ζῶν ἔτι ὁ Λαγίδης, κοινωνὸν τῆς βασιλείας ἀπέδειξε τὸν Φιλάδελφον. 43. Ἀστόργῳ] ἀπὸ τοὐναντίου τοὐπιχείρ

τὸ γένος ἀνάγοντες, ἐς ἔσχατον αὐτὸν Ἡρακλέα στηρίζονται· διό, ἐπειδὰν αὐτῷ καλῶς ἀπὸ τοῦ νέκταρος καὶ τῆς εὐωχείας σχῇ, μέλλων εἰς τὴν φίλην ἄλοχον ἰέναι, τῷ μὲν αὐτῶν δίδωσι τῶν ὅπλων τό,τε τόξον καὶ τὴν ὑπωλένιον φαρέτραν· τῷ δὲ, τὸ ῥόπαλον ἥλοις πεπαρμένον· οἱ δὲ λαβόντες ταῦτα καὶ τὸν ἑαυτῶν μὲν πατέρα, παῖδα δὲ τοῦ μεγάλου Διὸς, ἄγουσιν εἰς τὸν θάλαμον τῆς ἀργυροπέζης Ἥβης.

Ἡ δ' αὖ περικλεὴς Βερενίκη διέπρεπεν ἐν γυναιξὶν, ὧν λόγος φρονήσεως καὶ σωφροσύνης παρὰ πᾶσι πολὺς, κλέος μέγα τοῖς τεκοῦσι γεγενημένη· Ταύτης οὖν ἐς τὸν κόλπον ἡ Διώνης μὲν κόρη, βασιλὶς δὲ τῆς Κύπρου, ἁπαλὰς αὐτόθι ἐξεμάξατο χεῖρας· Ἐντεῦθεν ἄρα μηδεμίαν φασὶ τῶν γυναικῶν τοσοῦτον ἀρεστὴν ἀνδρὶ γενέσθαι, μηδ' ἄνδρα φιλούμενον, οὕτω τὴν ὁμόλεκτρον ἀντιφιλῆσαι· Οὕτω δὴ θαῤῥήσας, ὅτε τοιούτῳ ἔρωτος ἀμοιβαίῳ δεσμῷ εἰς τὸν θάλαμον εἰσέλθοι, κοινὴν ἐποίησε καὶ τοῖς νεωτέροις τὴν τῆς ἀρχῆς φροντίδα· ἥτις γὰρ ἂν ἀλλοτρίως ἔχοι πρὸς τὸν ἑαυτῆς ἄνδρα, πρὸς ἕτερον πάντως ἑτέρου ἔρωτος κατεπείγεται οἴστρῳ· καὶ εἰς μὲν τέκνωσιν παίδων εἴη ἂν εὔφορος, ἀλλ' οἱ τεχθέντες οὐκ ἂν εἶεν τῷ πατρὶ ἐοικότες.

Ὦ πότνι' Ἀφροδίτη ἡ πασῶν θεῶν διαφέρουσα κάλλει· σοὶ γὰρ διαφερόντως Βερενίκης ἐμέλησε· σοῦ γὰρ ἕνεκα ἡ καλὴ τὸν πολύστονον Ἀχέροντα οὐκ ἐπέρασε· σὺ γὰρ πρὶν

---

ρημα· δεικνύει δὲ, ὅτι διχονοίας οὔσης καὶ ἀσωτείας, οὐδὲν ὑγιὲς οἴκῳ ἔρπει· κἂν γὰρ ἀκολουθῇ ἡ τέκνωσις, ἀλλά γε τὰ τεχθέντα οὐχ ὅμοια, νόθα

Κυάνεον καὶ στυγνὸν ἀεὶ πορθμῆα καμόντων,
Ἐς ναὸν κατέθηκας, ἑᾶς δ' ἀπεδάσσαο τιμᾶς.
Πᾶσιν δ' ἤπιος ἅδε βροτοῖς μαλακῶς μὲν ἔρωτας
Προσπνείει, κούφας δὲ διδοῖ ποθέοντι μερίμνας.
Ἀργεία κυάνοφρυ, σὺ λαοφόνον Διομήδεα,
Μισγομένα Τυδῆϊ, τέκες, Καλυδώνιον ἄνδρα·
Ἀλλὰ Θέτις βαθύκολπος ἀκοντιςὰν Ἀχιλῆα
Αἰακίδᾳ Πηλῆι· σὲ δ', αἰχμητὰ Πτολεμαῖε,
Αἰχμητᾷ Πτολεμαίῳ ἀρίζαλος Βερενίκα.
Καί σε Κόως ἀτίταλλε βρέφος νεογιλὸν ἐόντα,
Δεξαμένα παρὰ ματρὸς, ὅτε πράταν ἴδες ἀῶ.
Ἔνθα γὰρ Εἰλείθυιαν ἐβώσατο λυσίζωνον,
Ἀντιγόνας θυγάτηρ βεβαρημένα ὠδίνεσσιν.
Ἁ δὲ οἱ εὐμενέοισα παρίστατο, κάδ δ' ἄρα πάντων
Νωδυνίαν κατέχευε μελῶν· ὁ δὲ πατρὶ ἐοικὼς
Παῖς ἀγαπατὸς ἔγεντο. Κόως δ' ὀλόλυξεν ἰδοῖσα
Φᾶ δὲ, καθαπτομένα βρέφεος χείρεσσι φίλαισιν·
Ὄλβιε κῶρε γένοιο, τίοις δέ με τόσσον, ὅσον περ
Δῆλον ἐτίμασεν κυανάμπυκα Φοῖβος Ἀπόλλων·
Ἐν δὲ μιᾷ τιμᾷ Τρίοπος καταθεῖο κολώναν,

---

ὄντα, ἔσοιντ' ἂν τῷ πατρί. 52. Κούφας] ἀνακουφίζει τῶν φροντίδων τοὺς αὐτὴν ἀγαπῶντας. 53. Ἀργεία] ἡ θυγάτηρ Ἀδράστου αὕτη, γυνὴ Τυδέως. 54. Καλυδώνιον] Τυδεὺς γὰρ ἐκ τῆς Καλυδῶνος (πόλεως ἐν Αἰτωλίᾳ, ἧς Οἰνεὺς ἐβασίλευε) κατήγετο. 56. Πτολεμαῖε] κατέβη ὁ λόγος ἐντεῦθεν ἐπὶ τὸν Φιλάδελφον. 58. Κῶος ἀτίταλλε] ἀνέθρεψεν· ἐνταῦθα γὰρ λέγεται ὁ Φιλάδελφος γεννηθῆναι. 61. Ἀντιγόνη] θυγάτηρ ἦν αὕτη Κασάνδρου τοῦ Ἀντιπάτρου ἀδελφοῦ· ἧς θυγάτηρ ἡ Βερενίκη. 62. Κάδ' δ' ἄρα πάντων]

ἐπὶ τὸ κυάνιον ῥεῦμα, κατελθεῖν εἰς τὸν τῶν νεκρῶν στυγνὸν Πορθμέα, ἀναρπάσασα, ἀνέθηκας εἰς τὸν ναὸν, οἰκείας μεταδοῦσα τιμῆς· ἦν γὰρ πᾶσιν ἀνθρώποις εὐμενὴς, μαλακοὺς μὲν ἐκπνέουσα ἔρωτας, κούφας δὲ διδοῦσα τῷ φιλοῦντι μερίμνας.

Σὺ δ', ὦ Δηϊπύλη μελανόφθαλμε Ἀργεία, μιγεῖσα Τυδεῖ, ἔτεκες τὸν λαοφθόρον Διομήδη, τὸν Καλυδώνιον Ἥρω· ἡ δ' αὖ βαθύκολπος Θέτις, Πηλεῖ τῷ τοῦ Αἰακοῦ συνελθοῦσα, μήτηρ τοῦ ἀκοντιστοῦ Ἀχιλλέως ἐγένετο. Σὲ δὲ, Πτολεμαῖε, Πτολεμαίῳ τῷ πάνυ ἄριστον παῖδα πατρὶ ἀρίστῳ ἡ ἀρίςη Βερενίκη ἐγείνατο· ὃν ἡ Κῶς ἐμαίευσε νῆσος, βρέφος σε παρὰ τῆς μητρὸς παραδεξαμένη, ὁπότε πρῶτον τὴν ἡλίου ἑώρακας ἀκτῖνα· ἐκεῖ γὰρ ἡ τῆς Ἀντιγόνης θυγάτηρ, ἐπίτεξ γενομένη, καὶ ταῖς ὠδῖσιν ἤδη ἐπειγομένη πρὸς τὸν τόκον, μετεκαλέτατο Εἰλείθυιαν τὴν λυσίζωνον· ἡ δὲ εὐμενῶς σπεύσασα παραχρῆμα, κατέχει τῶν μελῶν αὐτῆς τὴν νωδυνίαν· ὅθεν ἀγαςὸς παῖς αὐτοῖς ἐγένετο, ἐοικὼς ὅλως τῷ πατρί· ὃν ἰδοῦσα ἡ Κῶς, καὶ φίλαις χερσὶν ἀψαμένη τοῦ παιδὸς ἠρέμα, ἀνωλόλυξεν, ἐπειποῦσα τοιάδε.

Ὄλβιός μοι γένοιο, ὦ παῖ, καί με τοσοῦτον τιμήσειας, ὅσον τὴν τὸν κυανοῦν ἀνάδεσμον ἔχουσα Δῆλον ὁ Φοῖβός ποτ' ἐτίμησεν Ἀπόλλων· ἐν ἴσῃ δὲ τιμῇ θείης καὶ τὸ Τριόπιον, ἴσον

---

κατὰ δὲ πάντων ἄρα. Νωδυνίαν δὲ, στέρησιν τῶν ὠδίνων. 64. Ὀλόλυξε] ὠλόλυξεν, ηὔξατο, χαρᾶς ἀφῆκε φωνήν. 68. Τρίοπος] Τρίοψ καὶ Τρίοπος παλαιὸς ἔοικεν τῆς Κῶ βασιλεύς· ἐξ οὗ καὶ πόλις, ἢ τὸ ἀκρωτήριον ὠνόμαςται τῆς Κνίδου ἐν Καρίᾳ· ὅπου οἱ Δωριεῖς οὗτοι ἦσαν, πόλεις πέντε, Λίν-

Ἶσον Δωριέεσσι νέμων γέρας ἐγγὺς ἐοῦσιν,
Ὅσον καὶ Ῥήναιαν ἄναξ ἐφίλατεν Ἀπόλλων.
Ὣς ἄρα νᾶσος ἔειπεν· ὁ δ' ὑψόθεν ἔκλαγε φωνᾷ
Ἐς τρὶς ὑπαὶ νεφέων Διὸς αἴσιος αἰετὸς ὄρνις·
Ζηνός που τόδε σῆμα. Διῒ Κρονίωνι μέλοντι
Αἰδοῖοι βασιλῆες· ὁ δ' ἔξοχος, ὅν κε φιλάσῃ
Γεινόμενον τὰ πρῶτα· πολὺς δέ οἱ ὄλβος ὀπαδεῖ·
Πολλᾶς μὲν κρατέει γαίας, πολλᾶς δὲ θαλάσσας.
Μυρίαι ἄπειροί τε, καὶ ἔθνεα μυρία φωτῶν
Λήϊον ἀλδήσκουσιν ὀφελλόμενον Διὸς ὄμβρῳ,
Ἀλλ' οὔτις τόσα φύει, ὅσα χθαμαλὸς Αἴγυπτος,
Νεῖλος ἀναβλύζων, διερὰν ὅτε βώλακα θρύπτει.
Οὐδέ τις ἄστεα τόσσα βροτῶν ἔχει ἔργα δαέντων·
Τρεῖς μέν οἱ πολίων ἑκατοντάδες ἐνδέδμηνται,
Τρεῖς δ' ἄρα χιλιάδες τρισσαῖς ἐπὶ μυριάδεσσι,
Δοιαὶ δὲ τριάδες, μετὰ δέ σφισιν ἐνδεκάδες τρεῖς·
Τῶν πάντων Πτολεμαῖος ἀγάνωρ ἐμβασιλεύει.
Καὶ μὴν Φοινίκας ἀποτέμνεται, Ἀῤῥαβίας τε,
Καὶ Συρίας, Λιβύας τε, κελαινῶν τ' Αἰθιοπήων·
Παμφύλοισί τε πᾶσι καὶ αἰχμηταῖς Κιλίκεσσι
Σαμαίνει, Λυκίοις τε, φιλοπτολέμοισί τε Καρσί,
Καὶ νάσοις Κυκλάδεσσιν· ἐπεί οἱ νᾶες ἄρισται

---

δος, Ἰάλυσος, Κάμειρος, Κῶς, Κνίδος. 70. Ῥήναιαν] νῆσος αὕτη ἔρημος πλησίον τῆς Δήλου, ἣν πολυκράτης ὁ Σάμιος ἀνέθηκεν Ἀπόλλωνι, δήσας αὐτὴν ἁλύσει ἀπὸ τῆς Δήλου κατὰ Θουκυδίδην. 77. Μυρίαι] γέαι καὶ θάλασσαι. 83. Τρεῖς ἑκατοντάδες] οὐ δύναμαι ταῦτ' ἐννοεῖν, ὅπως ἔχει.

γέρας ἀπονέμων τοῖς γείτοσι Δωριεῦσιν, ὅση Ἀπόλλων ἄναξ ἐτίμησε Ῥήνειαν.

Τοῦτ' εὐξαμένης τῆς Κῶ, παραχρῆμα αἴσιος ἐκ Διὸς ἀετὸς ἔκλαγξε τρὶς ἑξῆς ἄνωθεν ἀπὸ τῶν νεφῶν. Διὸς δὲ τοῦτ' ἀτεχνῶς σημεῖον μάλιστα μέλειν αὐτῷ τῶν ἀρίστων βασιλέων· ὧν ἔξοχός ἐστιν, ὃν αὐτὸς Ζεὺς, ἅμα τικτόμενον, ἐτίμησε σημείοις· ὀλβιώτατος γάρ ἐστι πάντων ἀνθρώπων, πολλῆς μὲν ἄρχων γῆς, πολλῆς δὲ καὶ θαλάσσης· μυρίαι γὰρ πόλεις καὶ ἔθνη ὅλα ἀνθρώπων γεωργοῦσι τὰς ἀρούρας, τῇ τοῦ Διὸς ἀρδευομένας ὄμβρῳ· ἀλλ' οὐδαμῇ ἂν φύοιντο τοιαῦτα, οἷά γε καὶ ὅσα ἐν τῇ ὁμαλῇ Αἰγύπτῳ, ταῖς τοῦ Νείλου ἀρδείαις διαθρυπτομένης αὐτῇ τῆς βώλου· οὐδὲ μὴν πόλεις ἀνθρώπων τῶν περὶ τὰς τέχνας ἐνασχολουμένων τοσαύτας ἔστιν εὑρεῖν παρ' ἄλλῳ· πλειόνων γὰρ ἢ τριῶν μάλιστα χιλιάδων ἐπὶ τρισὶ μυριάσι Πτολεμαῖος ὁ μεγάθυμος ἄρχει· καὶ γὰρ τῆς τε Φοινίκης μέρος τι ἀποτεμνόμενον, Συρίας τε τὰ πολλὰ καὶ Ἀραβίας, Λιβύης τε καὶ Αἰθιοπίας αὐτῷ μάλισθ' ὑπακούει. Τοῖς δ' αὖ Παμφύλοις καὶ Κίλιξι τοῖς πολεμικοῖς, Λυκίοις τε καὶ τοῖς φιλοπολέμοις Καρσὶν αὐτὸς ἐπιτάσσει· τούτοις τε καὶ τῶν νήσων ταῖς Κυκλάσιν· ἔστι γὰρ αὐτῷ

---

| | | |
|---|---|---|
| 3. | τὰ ἑκατὸν . . . | 300. |
| 3. | χιλιάδες . . . | 3000. |
| 3. | μυριάδες . . | 30000. |
| 2. | τριάδες . . | 6. |
| 3. | ἑνδεκάδες . . | 33. |
| | | 33339. |

Πῶς οὖν φασιν ἄλλοι, ὅτι ταῦτα πόλεις πᾶσαί εἰσι, 33033. ἀφαιροῦντες τοῦ ἀριθμοῦ τὰς πρώτας τριακοσίας, καὶ τὰς δύο τριάδας;

Πόντον ἐπιπλώοντι· θάλασσα δὲ πᾶσα καὶ αἶα
Καὶ ποταμοὶ κελάδοντες ἀνάσσονται Πτολεμαίῳ.
Πολλοὶ δ' ἱππῆες, πολλοὶ δὲ οἱ ἀσπιδιῶται
Χαλκῷ μαρμαίροντι σεσαγμένοι ἀσφαραγεῦντι·
Ὄλϐῳ μὲν πάντας καταϐεϐρίθει βασιλῆας·
Τόσσον ἐπ' ἆμαρ ἕκαστον ἐς ἀφνεὸν ἔρχεται οἶκον
Πάντοθε· λαοὶ δ' ἔργα περιστέλλουσιν ἕκηλοι·
Οὐ γάρ τις δηΐων πολυκήτεα Νεῖλον ἐπεμϐὰς
Πεζὸς ἐν ἀλλοτρίαισι βοὰν ἐστάσατο κώμαις·
Οὐδέ τις αἰγιαλόνδε θοᾶς ἐξάλατο ναὸς
Θωρηχθεὶς ἐπὶ βουσὶν ἀνάρσιος Αἰγυπτίῃσιν.
Τοῖος ἀνὴρ πλατέεσιν ἐνίδρυται πεδίοισι,
Ξανθόκομος Πτολεμαῖος, ἐπιστάμενος δόρυ πάλλειν·
Ὧ ἐπίπαγχυ μέλει πατρώϊα πάντα φυλάσσειν,
Οἷ' ἀγαθῷ βασιλῆϊ· τὰ δὲ κτεατίζεται αὐτός.
Οὐ μὰν ἀχρεῖός γε δόμῳ ἐνὶ πίονι χρυσὸς,
Μυρμάκων ἅτε πλοῦτος ἀεὶ κέχυται μογεόντων·
Ἀλλὰ πολὺν μὲν ἔχοντι θεῶν ἐρικυδέες οἶκοι,
Αἰὲν ἀπαρχομένοιο, σὺν ἄλλοισιν γεράεσσι·
Πολλὸν δ' ἰφθίμοισι δεδώρηται βασιλεῦσι.
Πολλὸν δὲ πτολίεσσι, πολὺν δ' ἀγαθοῖσιν ἑταίροις,

94. Ἀσφαραγεῦντι] σφαραγοῦσι, κροτοῦσι σμαραγοῦσι, κατ' ἐπέκτασιν τοῦ Α. κρότον καὶ ἦχον τραχὺν ἄναρθρον δηλοῖ. 107. Μυρμάκων] περὶ τῶν χρυσοφόρων ἐν Ἰνδοῖς μυρμήκων ἄλλοι τε πολλοὶ διηγήσαντο καὶ Ἀρριανὸς ἐν τῇ Ἀλεξάνδρου ἱστορίᾳ, καὶ ὁ μέγας Βασίλειος ἐν τῷ πρὸς Παῖδας παραινετικῷ, ὡς ἐν μύθοις· ἦσαν δὲ οἱ μύρμηκες οὗτοι ἴσοι ταῖς παρ' ἡμῖν

ναυτικὸν ἐπὶ τῶν θαλασσῶν ἄριστα ἐξηρτυμένον, ἅτε δὴ θαλάσσης ἁπάσης καὶ ξηρᾶς καὶ ποταμῶν κελαρυζόντων ἐκείνῳ κατακουόντων· περὶ δὲ τῶν ὁπλητῶν καὶ ἱππέων, ὅπως ἐπικροτοῦσι καταλάμποντες τοῖς ὅπλοις, τί καὶ ἂν εἴποιμι; τί δὲ καὶ ἐς πλοῦτον, ᾧ πάντων βασιλέων πολλῷ προὔχει, ἑκάστης ἡμέρας ἄλλοθεν ἄλλον, νέον τῷ παλαιῷ πανταχόθεν ἐπισωρευούσης; καὶ τούτων μάλισθ' οὕτως ἐχόντων, οἱ λαοὶ οὐκ ἀργοῦσι τὸ ἑαυτὸ ἐργαζόμενος ἕκαστος κατὰ πολλὴν ἡσυχίαν· τὶς γὰρ ἂν πολεμίων εἴτ' ἐκ τῆς ξηρᾶς, διαβὰς τὸν Νεῖλον, ταραχὴν ἐμποιήσειεν ἀλλοτρίαις κώμαις, εἴτ' ἐκ θαλάσσης, ἀποβὰς τῆς νεώς, ἔνοπλος ταῖς τῶν Αἰγυπτίων ὡς ἐχθρὸς ἐπιπέτοι ἂν ἀγέλαις, Πτολεμαίου πολλῶν νεῶν ἄρχοντος, καὶ πολεμικῶν εὖ εἰδότος ἀγώνων; μέλει μὲν γὰρ αὐτῷ μάλιστα μὲν τὰ πατρῷα φυλάττειν, οἷα ἀγαθῷ προσήκει βασιλεῖ· πρὸς ἃ δ' αὐτῷ ἐκτήσατο ὁ πατὴρ, χ' ἕτερα ἐπικτήσασθαι, ὅθεν ἂν ᾖ δίκαιον, οὐκ ἀπέχεται· μήτ' αὖ τὸν πλοῦτον φυλάττει κατάκλειστον, μήτ' ἀχρεῖον κατὰ τοὺς παρ' Ἰνδοῖς λεγομένους χρυσοφόρους μύρμηκας· οἱ γὰρ περικαλλεῖς τῶν θεῶν ναοὶ πλήθουσι τούτου, καὶ πρὸς τούτῳ ἑτέρων δωρημάτων πολλῶν, ὁπότε θύοι· ἀνὴρ γὰρ ἀνδρῶν ἁπάντων ἐλευθεριώτατος γεγονὼς, καὶ αὐτοῖς τοῖς κραταιοῖς τῶν βασιλέων πολλὰ πολλάκις δεδώρηται· πολλὰ δὲ καὶ πόλεσιν, οὐκ ὀλίγα δὲ καὶ τοῖς ἀγαθοῖς τῶν ἑταίρων· τίς δε καὶ τῶν ποιητῶν, ὧν καὶ λόγος

---

ἀλώπεξι τὸ μέγεθος, ἐπικινδυνώτατοι τοῖς προσιοῦσιν ἐς αὐτοὺς ἐπὶ τῇ τοῦ θησαυροῦ ἐπιβουλῇ· σκάπτοντες γὰρ, ἐφ' ᾧ φωλεοὺς ἑαυτοῖς κατασκευάσωσι,

Οὐδὲ Διωνύσου τὶς ἀνὴρ ἱεροὺς κατ' ἀγῶνας
Ἵκετ' ἐπιστάμενος λιγυρὰν ἀναμέλψαι ἀοιδὰν,
Ὧ οὐ δωτίναν ἀντάξιον ὤπασε τέχνας.
Μουσάων δ' ὑποφῆται ἀείδοντι Πτολεμαῖον
Ἀντ' εὐεργεσίας. Τί δὲ κάλλιον ἀνδρί κεν εἴη
Ὀλβίῳ, ἢ κλέος ἐσθλὸν ἐν ἀνθρώποισιν ἀρέσθαι;
Τοῦτο καὶ Ἀτρείδαισι μένει· τὰ δὲ μυρία τῆνα,
Ὅσσα μέγαν Πριάμοιο δόμον κτεάτισσαν ἑλόντες,
Ἀέρι πᾷ κέκρυπται, ὅθεν πάλιν οὐκέτι νόστος.
Μοῦνος ὅδε προτέρων τοκέων ἔτι θερμὰ κονίῃ,
Στειβόμενος καθύπερθε, ποδῶν ἐκμάσσεται ἴχνη.
Ματρὶ φίλᾳ καὶ πατρὶ θυώδεας εἵσατο ναώς·
Ἐν δ' αὐτὼς χρυσῷ περικαλλέας ἠδ' ἐλέφαντι
Ἵδρυσεν πάντεσσιν ἐπιχθονίοισιν ἀρωγώς.
Πολλὰ δὲ πιανθέντα βοῶν ὅδε μηρία καίει
Μασὶ περιπλομένοισιν ἐρευθομένων ἐπὶ βωμῶν,
Αὐτός τ', ἰφθίμα τ' ἄλοχος· τᾶς οὔτις ἀρείω
Νυμφίον ἐν μεγάροισι γυνὰ περιβάλλετ' ἀγοστῷ,
Ἐκ θυμῶ στέργοισα κασίγνητόν τε πόσιν τε.
Ὧδε καὶ ἀθανάτων ἱερὸς γάμος ἐξετελέσθη,
Οὓς τέκετο κρείοισα Ῥέα βασιλῆας Ὀλύμπου·

---

ἐξώρυττον τὸν χρυσόν. 120. Ἀέρι κέκρυπται] ἄελλαι ἀναρπάσασαι, ἐς μεγακήτεα πόντον ἀνέῤῥιψαν, ὅθεν οὐδέποτ' ἂν ἐπανέλθοιεν. 121. Προτέρων πατέρων] Τῶν προηγησαμένων, ἢ τῶν ἄρτι τετελευτηκότων· εἰ μὲν γὰρ προὔκειτο τὸ Τῶν, τῶν προτέρων, ἀνεφέρετ' ἂν εἰς τὸ Μοῦνος. Τὸ δὲ, μόνος ἐκμάσσεται ἴχνη,

τίς ἐστιν ἐν Μούσαις, ἐκ τῶν ἱερῶν τοῦ Διονύσου ἀγώνων ἐπανῆλθεν, οὐ δῶρον ἄξιον δεξάμενος τῆς τέχνης; ταῦτ' ἄρα οἱ τῶν Μουσῶν ὑποφῆται ὑμνοῦσι Πτολεμαῖον, ἀνθ' ὧν εὖ πεπόνθασι· τί γὰρ ἂν κάλλιον εἴη ἀνδρὶ πλουσίῳ, ἢ κλέος ἐσθλὸν ἀράμενον τυγχάνειν εὐφημίας; τοῦτο γὰρ μόνον ἴσμεν περιὸν καὶ τοῖς Ἀτρείδαις· ἃ δ', ἐξελόντες τὴν τοῦ Πριάμου πόλιν, ἐκτήσαντο ἐκεῖθεν, ταῦτα πνεῦμα ἐναντίον ἀντιπνεῦσαν, ἐξηφάνισε τελέως· καὶ οὐκ ἄν ποτε παλίνορσα γένοιτο· Μόνος δ' οὖν Πτολεμαῖος αὐτὸς τὰ τῶν τεκόντων ἴχνη οἶδεν ἔτι θερμὰ ἐκμάσσεσθαι· ἵδρυσε γὰρ μητρί τε καὶ πατρὶ τοῖς φίλοις ναοὺς εὐώδεις· οὓς ἐκόσμησε χρυσῷ τε καὶ ἐλέφαντι ἐς κάλλος, ἐφ' ᾧ ἀρωγοὺς πᾶσιν ἀνθρώποις εἶναι· ἐν οἷς πολλὰ τῶν βοῶν μυρία αὐτός τε καὶ ἡ πότνια γυνὴ, τοῦ χρόνου ῥέοντος, κατακαίουσιν ἐπὶ τῶν βωμῶν· Γυνὴ δ' αὖ, εἴτις τἀληθὲς εἰπεῖν ἐθέλει, μία οὐδεμία τοιοῦτον πώποτ' ἄνδρα ἔσχεν ἐν ἀγκάλαις, στέργουσ' αὐτὸν οὐ μᾶλλον ὡς νυμφίον, ἢ καὶ ἀδελφόν· Οὕτω γὰρ καὶ τῶν μεγίστων Θεῶν ἱερὸς γέγονε γάμος, οὓς ἡ πότνια ἔτεκε Ῥέα βασιλέας

---

ἢ ὅτι κατ' ἴχνος βαίνοι ἐπὶ τῆς ἀρετῆς τοῦ πατρὸς, ἢ ὅτι θερμὴν ἀεὶ καὶ πρόσφατον τῶν γονέων τὴν μνήμην ἔχει· ἡ δὲ θέσις τῶν ὀνομάτων κατὰ σύνταξιν οὕτω. Μοῦνος ὅδε ἐκμάσσεται τὰ ἴχνη τῶν ποδῶν τῶν τοκέων ἔτι θερμὰ, σειόμενος ἐν κονίῃ καθύπερθεν (αὐτῶν τῶν ἰχνῶν.) 123. Εἵσατο] παρὰ τὸ ἕω καὶ ἕνημι, ἐνδύω, ἱδρύω. 127. Ἐπὶ βωμῶν ἐρευθομένων] ἐρυθρῶν ἐκ τοῦ πυρὸς, φλογιζομένων. 129. Ἀγοστῷ] ἀγοστὸς τὸ μέρος τῆς χειρὸς, καθ' ὃ διαιροῦνται ἀπ' ἀλλήλων οἱ δάκτυλοι· ἐνταῦθα δὲ τὸ ὅλον ἂν εἴη τῆς χειρὸς ὁ πῆχυς, ἡ ὠλένη, ὁ ἀγκών. 131. Ἱερὸς γάμος] τῆς Ἥρας καὶ Διὸς,

Ἐν δὲ λέχος στόρνυσιν ἰαύειν Ζηνὶ καὶ Ἥρᾳ,
Χεῖρας φοιβήσασα μύροις, ἔτι παρθένος Ἶρις.
Χαῖρ', ὦ 'ναξ Πτολεμαῖε· σέθεν δ' ἐγὼ ἶσα καὶ ἄλλων
Μνάσομαι ἁμιθέων· δοκέω δ', ἔπος οὐκ ἀπόβλητον 136
Φθέγξομαι ἐσσομένοις· ἀρετάν γε μὲν ἐκ Διὸς ἕξεις.

---

ὅτι καὶ ἀδελφοὶ ὄντες, ἦλθον εἰς γάμον. 134. Φοιβήσασα] νίψασα, ἵνα

ἐν Ὀλύμπῳ· Ἡ δὲ παρθένος Ἶρις, καθαίρουσα τὰς χεῖρας μύροις, Διΐτε καὶ Ἥρᾳ ὑποστρώννυσιν τὸ λέχος.

Χαῖρε, ὦ ἄναξ Πτολεμαῖε· σοῦ γὰρ ἔγωγ᾽ οὐδέ ποτ᾽ ἐπιλήσομαι· ἀλλ᾽ ἴσον καὶ ἄλλων μεμνήσομαι Ἡρώων· ὃ γὰρ ἂν ᾄσωμαί σοι· τοῦτ᾽ οὐκ εἴη ἀπόβλητον τοῖς ἐπιγιγνομένοις· σὺ δ᾽ εὔχου μόνον ἀρετὴν θεόθεν σοι γενέσθαι.

---

καθαρίως τοῦ λέχους ἅψηται.

## ΥΠΟΘΕΣΙΣ

ΔΥΩΚΑΙΔΕΚΑ παρθένοι τῶν εὐγενεςάτων ἐν Σπάρτῃ, ἐλθοῦσαι εἰς τὰ ἀνάκτορα τοῦ Μενελάου, ὁπότε ἠγάγετο γυ-

## ΕΛΕΝΗΣ ΕΠΙΘΑΛΑΜΙΑ.

## ΕΙΔΥΛΛΙΟΝ ΙΗ'.

ΕΝ ποκ' ἄρα Σπάρτᾳ, ξανθότριχι πὰρ Μενελάῳ,
Παρθενικαὶ θάλλοντα κόμαις ὑάκινθον ἔχοισαι,
Πρόσθε νεογράπτω θαλάμω χορὸν ἐστάσαντο,
Δώδεκα ταὶ πρᾶται πόλιος μέγα χρῆμα Λακαινᾶν,
Ἁνίκα Τυνδάρεω κατεκλάξατο τὰν ἀγαπατὰν
Μναστεύσας Ἑλέναν ὁ νεώτερος Ἀτρέος υἱός.
Ἄειδον δ' ἄρα πᾶσαι ἐς ἓν μέλος ἐγκροτέοισαι
Ποσσὶ περιπλίκτοις, περὶ δ' ἴαχε δῶμ' ὑμεναίῳ.
  Οὕτω δὴ πρώϊζα κατέδραθες, ὦ φίλε γαμβρέ;
Ἦ ῥά τις ἐσσὶ λίαν βαρυγούνατος; ἦ ῥα φίλυπνος;
Ἦ ῥα πολύν τιν' ἔπινες, ὅτ' ἐς εὐνὰν κατεβάλλευ;
Εὕδειν μὲν χρῄζοντα καθ' ὥραν αὐτὸν ἐχρῆν τυ,

3. Νεογράπτω] νεωςὶ ἐζωγραφημένω. 4. Λακαινᾶν] ἀντὶ Λακαινῶν
8. Ποσὶ περιπλίκτοις] ἀνοικτιῶς περικινουμένοις. 12. Καθ' ὥραν] ἐχρῆν σε

ναῖκα τὴν Ἑλένην, ἐστεμμέναι ὑακίνθῳ, ᾄδουσι τὸν Ὑμέναιον τοῦ γάμου, χορὸν ἱστᾶσαι.

## ΕΛΕΝΗΣ ΕΠΙΘΑΛΑΜΙΑ.

## ΕΙΔΥΛΛΙΟΝ ΙΗ΄.

Ὁπόθ' ὁ ξανθὸς Μενέλαος ὁ νεώτερος Ἀτρείδης ἠγάγετο ἐν Σπάρτῃ τὴν ἐράσμιον Τυνδαρίδα εἰς γυναῖκα, τότε δυωκαίδεκα παρθένοι τῶν Λακαίνων ὅ,τι περ ὄφελος, ἐστεμμέναι ὑακίνθῳ θαλερῷ,, χορὸν πρὸ τοῦ νεογράφου στησάμεναι θαλάμου, ᾖδον πᾶσαι, τὸν αὐτὸν ῥυθμὸν τῇ τῶν ποδῶν εὐκινησίᾳ συγκροτοῦσαι· ἐκ δὲ τοῦ Ὑμεναίου ἀντήχει πᾶν τὸ δῶμα.

Υἱὲ Ἀτρέως, ὀλβιώτατε γαμβρὲ, οὕτω σὺ πρόωρος ὕπνον βαθὺν καθεύδεις; μῶν βάρει ἐπιβρίθεις τῶν μελῶν; μῶν λίαν εἶ ἐπιῤῥεπὴς εἰς ὕπνον; μῶν ζωρότερον σπασάμενος, εἰς τὸν θάλαμον εἰσῆλθες; εἰ δέ σοι ἀνάγκη τίς ἦν καθεύδειν, ἔδει σε ἐν καιρῷ τοῦτο ποιεῖν, ἐῶν τὴν παῖδα ταῖς παισὶν

εὐροιῖν καιρὸν ἕτερον ἀνήκοντα ὥστεὶ ἔλεγεν· εἰ δὲ ἐβούλει καθεύδειν, ἐχρῆν

Παῖδα δ' ἐᾶν σὺν παισὶ φιλοστόργῳ παρὰ ματρὶ
Παίσδειν ἐς βαθὺν ὄρθρον· ἐπεὶ καὶ ἔνας, καὶ ἐς ἀῶ,
Κῆς ἔτος ἐξ ἔτεος, Μενέλαε, τεὰ νυὸς ἅδε.
Ὄλβιε γάμβρ', ἀγαθός τις ἐπέπταρεν ἐρχομένῳ τοι
Ἐς Σπάρταν, ὅποι ὧλλοι ἀριστέες ὡς ἀνύσαιο.
Μοῦνος ἐν ἁμιθέοις Κρονίδαν Δία πενθερὸν ἑξεῖς.
Ζανός τοι θυγάτηρ ὑπὸ τὰν μίαν ᾤχετο χλαῖναν,
Οἵα Ἀχαιϊάδων γαῖαν πατεῖ οὐδεμί' ἄλλα.
Ἦ μέγα τοί κε τέκοιτ', εἰ ματέρι τίκτεν ὁμοῖον.
Ἄμες γὰρ πᾶσαι συνομάλικες, ἇς δρόμος ωὑτὸς
Χρισαμέναις ἀνδριστὶ παρ' Εὐρώταο λοετροῖς,
Τετράκις ἑξήκοντα κόραι, θῆλυς νεολαία·
Τᾶν οὐδ' ἄν τις ἄμωμος, ἐπεὶ χ' Ἑλένᾳ παρισωθῇ.
Ἀὼς ἀντέλλοισα καλὸν διέφαινε πρόσωπον,
Πότνια νὺξ ἅτε, λευκὸν ἔαρ χειμῶνος ἀνέντος,
Ὧδε καὶ ἁ χρυσέα Ἑλένα διεφαίνετ' ἐν ἁμῖν.
Πιείρᾳ μεγάλα ἅτ' ἀνέδραμε κόσμος ἀρούρᾳ,
Ἢ κάπῳ κυπάρισσος, ἢ ἅρματι Θεσσαλὸς ἵππος,
Ὧδε καὶ ἁ ῥοδόχρως Ἑλένα Λακεδαίμονι κόσμος.
Οὔτέ τις ἐν ταλάρῳ πανίσδεται ἔργα τοιαῦτα,

---

σε καταμόνας τοῦτο ποιεῖν· τὴν δὲ παῖδα ἐᾶν κ. τ. λ. 14. Ἔνας] ἔνης. ἡ ἔνη· ἡ σήμερον ἡμέρα. 16. Ἐπέπταρεν] ἴδε ἀνωτέρω. Εἰδ. Ζ'. στίχ. 96. 25. Ἐπεὶ χ'] ἐπεὶ ἄν, ὅ ἐστιν Ἐπειδάν. 27. Πότνια νὺξ ἅτε] ὁ μὲν νοῦς, οἶμαι, αὐτὸς ἀληθής, ὡς ἐν τῇ παραφράσει μοι σεσαφήνισται· ἡ δὲ λέξις κακοσύντακτος· καὶ οὐκ οἶδ' ὅ,τι καὶ φῶ. 29. Πιείρᾳ μεγάλα] καὶ τοῦτο οὐχ ἧττον σκοτεινόν· καὶ ἡ γραφὴ ἐν τῇ Ἀρχαίᾳ διάφορος οὕτω.

» Πιείρη, μεγάλη· ἅτε ἀνέδραμεν ὄγμος (ἀντὶ τοῦ, Κόσμος) ἀρούρῃ· ὅ ἐστιν, ἡ Ἑλένη ἐστὶν, Εὔρωστος, μεγάλη, ὡς ὄγμος (τὸ λήϊον) τῇ ἀρούρῃ

ἐς βαθὺν ὄρθρον παρὰ τῇ μητρὶ συμπαίζειν· σὴ γάρ ἐστιν, παῖ Ἀτρέως, ἡ νύμφη καὶ σήμερον καὶ αὔριον καὶ εἰς πάντα τὸν αἰῶνα· Ὀλβιώτατε γαμβρὲ, ἀγαθός τις ἐρχομένῳ σοι εἰς Σπάρτην ἐπέπταρεν, ὅπως εὐτυχῶς συγκαταμετρηθῇς, ἔνθ' εἰσὶν μάλιστα πολλοὶ τῶν ἀριστέων· μόνος γὰρ αὐτὸς τῶν πάντων ἡμιθέων, πενθερὸν τὸν Δία ἔσχες· ἡ γὰρ θυγάτηρ τοῦ Διὸς, ἧς ὁμοίαν εὑρεῖν ἐν Ἀχαιοῖς οὐκ ἔςιν, ὑπὸ τὴν αὐτὴν συγκατακαλύπτεταί σοι χλαῖναν· καὶ ὃ ἂν τέκῃ αὕτη, εἰ ὅμοιον τέκοι τῇ μητρὶ, οἷον ἂν εἴη τὸ τεχθέν! ἡμεῖς γὰρ πᾶσαι θῆλυς νεολαία τετράκις ἑξήκοντα γεγενημέναι τῇ αὐτῇ ἡλικίᾳ, αἷς τὸ αὐτὸ στάδιον τοῦ δρόμου πρόκειται παρὰ τὰ ῥεῖθρα τοῦ Εὐρώτα κατ' ἄνδρας τρέχειν, οὐκ ἂν εἴποιμεν εἶναι τινὰ ἡμῶν ἄνευ μώμου, παραβληθεῖσαν πρὸς ἐκείνην· ὥσπερ γὰρ Ἠὼς ἀνατέλλουσα, τῆς νυκτὸς παρῳχημένης, τὸ ἑαυτῆς ἐνδείκνυται πρόσωπον, καὶ τὸ ἔαρ μάλιστα ἐμφαίνεται λευκὸν, τοῦ χειμῶνος ὑποχωροῦντος· οὕτως ἡ χρυσῆ Ἑλένη ἐν ἡμῖν ἐνδιαπρέπει· καὶ ὥσπερ κόσμος ἐν πίονι ἀρούρῃ, ἣ ἂν εἰς ὕψος ἀναδράμῃ, ἢ κυπάρισσος ἐν κήπῳ, ἢ ἐν δίφρῳ ὁ ἐκ Θετταλίας ἵππος· οὕτω κόσμος ἐν τῇ Σπάρτῃ ἐςὶν ἡ ῥοδόχροος Ἑλένη· τίς γὰρ ἐν ταλάρῳ τοιαῦτα κατορθοίη ἔργα; τίς καὶ ἐν ἱςῷ

---

ἀνέδραμεν· νῦν δ' ὡς ἔχει, διερμηνευθήσεται ᾠδί· ὥσπερ κόσμος τῇ πίονι γῇ τὸ ἀνδραμεῖν ἐπὶ πολύ· τὸ γὰρ, Ἅτε ἀνέδραμεν, ἀνάλυσις δοκεῖ εἶναι τοῦ Ἀπαρεμφάτου Ἀναδραμεῖν· ὡς εἰ ἔλεγε, Κόσμος ἀρούρῃ τοῦτο, εἴτις ἀνέδραμε. Ὥστε ἐκ μὲν τῶν ἡγουμένων ἄμεινόν μοι δοκεῖ δέξασθαι τὴν ἀρχαίαν γραφήν· ἀλλὰ τὰ ἑπόμενα, οἷον τὸ Ἢ ἐπαναλαμβανόμενον, καὶ ἡ λέξις μάλιστα Κόσμος, πρὸς τὸ δεύτερον ῥέπει. 32. Πηνίσδεται] πηνίζω, ἱστουργῶ, πηνίον (ὅθεν καὶ πανίον Δωρικῶς τὸ ἐν τῇ συνηθείᾳ) ποιῶ· τάλαρος δὲ τὸ κάνιστρον, ἐν ᾧ τὰ πηνία τὰ ἐν τῷ κάλῳ ἔτι περιειλημένα. Ἀ-

Οὔτ' ἐνὶ δαιδαλέῳ πυκινώτερον ἄτριον ἱστῷ
Κερκίδι συμπλέξασα, μακρῶν ἔταμ' ἐκ κελεόντων,
Οὐ μὰν οὐ κιθάραν τὶς ἐπίσταται ὧδε κροτῆσαι,
Ἄρτεμιν ἀείδοισα καὶ εὐρύστερνον Ἀθάναν,
Ὡς Ἑλένα, τᾶς πάντες ἐπ' ὄμμασιν ἵμεροι ἐντί.
Ὦ καλὰ, ὦ χαρίεσσα κόρα, τὺ μὲν οἰκέτις ἤδη·
Ἄμμες δ' ἐς δρόμον ἦρι καὶ ἐς λειμώνια φύλλα
Ἑρψοῦμες· στεφάνως δρεψεύμεναι ἁδὺ πνέοντας,
Πολλὰ τεοῦς, Ἑλένα, μεμναμέναι, ὡς γαλαθηναὶ
Ἄρνες γειναμένας ὄϊος μαστὸν ποθέοισαι.
Πρᾶτᾳ τοι στέφανον λωτῶ χαμαὶ αὐξομένοιο
Πλέξασαι, σκιερὰν καταθήσομεν ἐς πλατάνιστον·
Πρᾶτᾳ δ', ἀργυρέας ἐξ ὄλπιδος ὑγρὸν ἄλειφαρ
Λασδόμεναι, σταξεῦμες ὑπὸ σκιερὰν πλατάνιστον·
Γράμματα δ' ἐν φλοιῷ γεγράψεται (ὡς παριών τις
Ἀννείμῃ) Δωριστὶ, Σέβου μ'· Ἑλένας φυτὸν εἰμί.

Χαίροις, ὦ νύμφα, χαίροις, εὐπένθερε γαμβρέ.
Λατὼ μὲν δοίη, Λατὼ κουροτρόφος, ὔμμιν
Εὐτεκνίαν· Κύπρις δὲ, θεὰ Κύπρις, ἶσον ἔρασθαι
Ἀλλάλων· Ζεὺς δὲ, Κρονίδας Ζεὺς, ἄφθιτον ὄλβον,
Ὡς ἐξ εὐπατριδᾶν εἰς εὐπατρίδας πάλιν ἔνθῃ·

---

τριον δὲ, τοῦτό ἐςι· Ἤτριον, τὸ ἰςοργημένον ὕφος. 34. Κερκίδι] κερκὶς ποτὲ μὲν ἐκλαμβάνεται τὸ ὄργανον, ὃ Σαΐταν νῦν ἡ συνήθεια καλεῖ· ποτὲ τὸ λεγόμενον Κτένιον. Ἀλλ' ἡ μηχανὴ αὕτη ἦν ὀρθία παρὰ τοῖς παλαιοῖς, καὶ τὰ μέρη αὐτῆς ἀλλοῖα· διὸ καὶ οἱ Κελέοντες. οἱ ἱστόποδες νῦν οὐχ ὑπάρχουσιν· ἰκρία γὰρ δοκοῦσιν εἶναι, οἷον ξύλα ὀρθὰ ὡς στηρίγματα τῆς μηχανῆς.

ποικίλῳ, ἐξυφάνασα κερκίδι, πυκνότερον ἐκ τῶν ἱςοπόδων πηνίον ἂν ἐξέλοι; τίς δὲ καὶ κιθάραν, εἴτις ποτ' ἐθέλοι τὴν Ἄρτεμιν, ἢ τὴν Ἀθηνᾶν ὑμνῆσαι, ἀνακρούσει οὕτως, καθάπερ ἡ Ἑλένη, ἧς ἐπὶ τῶν βλεφάρων ἐπικάθηνται οἱ ἔρωτες ἀθρόοι; Ἀλλ' ὦ καλλίστη, κόρη, ὦ χαρίεσσα νύμφη, σὲ μὲν ὁ ὑμέναιος ἐπιτάττει ἤδη μένειν ἐν θαλάμῳ· ἡμεῖς δ' ἅμα ἦρι κατελθοῦσαι εἰς τὸν δρομικὸν ἀγῶνα, καὶ ἄνθη δρεψάμεναι ἐκ τῶν λειμώνων, εὐώδεις σοὶ πλέξομεν ςεφάνους· οὐδέποτε γὰρ ἐπιλησόμεθά σου, οὐ μᾶλλον, ἢ καὶ ἄρνες ὑπομάζιοι τοῦ τῆς τεκούσης οἴος μαστοῦ· πρώτῃ γάρ σοι ςέφανον ἐκ λωτοῦ τοῦ ἐκ τῆς γῆς ἀναφυομένου πλέξασαι, ἀναθήσομεν αὐτὸν ἐν πλατανίσκῳ βαθυσκίῳ· πρώτῃ δὲ καὶ ἔλαιον, ἐκ λυκίθου λαβοῦσαι ἀργυρᾶς, καταστάξομεν αὐτὸ ὑπὸ τὴν πλατανίσκον, ἧς ἐν τῷ φλοιῷ γράμματα ἐγχαραχθήσονται ἐκεῖνα, ἵνα καί τις τῶν ὁδοιπόρων ἀναγνώσῃ· Οὗτος, σέβου με· Ἑλένης γάρ εἰμι φυτόν·

Χαίροις τοίνυν, ὦ καλλίστη νύμφη· χαίροις καὶ σὺ εὐπένθερε γαμβρέ· καὶ ἡ μὲν Λητώ, Λητὼ ἡ κουροτρόφος, δῴη ὑμῖν πολλοὺς κἀγαθοὺς γενέσθαι παῖδας· ἡ δὲ Κύπρις ἡ θεός, ἀμοιβαίῳ ἔρωτι ὑμᾶς πρὸς ἀλλήλλους συζευχθῆναι· Ζεὺς δέ, Ζεὺς ὁ τοῦ Κρόνου, ἀφθονίαν πλούτου, ὅπως ἐξ εὐπατριδῶν

---

38. Οἰκέτις] μένεις ἐν οἴκῳ, ὡς συζευχθεῖσα ἀνδρί· μόναις γὰρ ταῖς παρθένοις ἔξῆν εἰς δρόμον ἐξιέναι. 48. Ἀννείμῃ] ἀναγνῶ. Δωριέων τοῦτο.
49. Εὐπένθερε] τὸν Δία ἐννοεῖ πενθερὸν ὡς ἐκ τῆς Λήδας γεννήσαντα τὴν

Εὕδετ' ἐς ἀλλάλων στέρνον φιλότητα πνέοντες,
Καὶ πόθον· ἔγρεσθαι δὲ πρὸς ἀῶ μὴ 'πιλάθησθε.
Νεύμεθα κἄμμες ἐς ὄρθρον, ἐπεί κα πρᾶτος ἀοιδὸς
Ἐξ εὐνᾶς κελαδήσῃ ἀνασχὼν εὔτριχα δειράν.
Ὑμὰν, ὦ Ὑμέναιε, γάμῳ ἐπὶ τῷδε χαρείης.

---

Ἑλένην. 36. Ἀοιδὸς] ὁ ἀλέκτωρ. Τὸ δ' οὖν Ἐπιθαλάμιον λέγεται Κατακοι-

τοκέων εἰς εὐπατρίδας ἀπογόνους ῥέῃ. Μέμνησθε δ' οὖν ἅμα ἕῳ ἐγερθῆναι, ὁπότ' ἀλέκτωρ ὁ τῆς νυκτὸς κήρυξ, ἀνασχὼν τὴν καλὴν δειρὴν, κελαδήσῃ τὸ περίορθρον· τότε γὰρ ἐλευσόμεθα καὶ ἡμεῖς. Ὦ Ὑμέναιε, Ὑμέναιε, εἴης εὐτυχὴς τῷ γάμῳ τούτῳ.

---

μητικόν· ὃ δὲ μέλλουσιν ᾄδειν κατ' ὄρθρον, ὀνομάζεται διεγερτικόν.

## ΥΠΟΘΕΣΙΣ

Ο Ἔρως κεντηθεὶς ὑπὸ μελίσσης, ἤλγει· καὶ ἐλθὼν εἰς τὴν μητέρα Ἀφροδίτην προσανεκλαίετο πρὸς αὐτὴν, ὅτι ὑπὸ

# ΚΗΡΙΟΚΛΕΠΤΗΣ.

## *ΕΙΔΥΛΛΙΟΝ ΙΘʹ.*

ΤΟΝ κλέπταν ποτ᾽ Ἔρωτα κακὰ κέντασε μέλισσα,
Κηρίον ἐκ σίμβλων συλεύμενον· ἄκρα δὲ χειρῶν
Δάκτυλα πάνθ᾽ ὑπένυξεν· ὁ δ᾽ ἄλγεε, καὶ χέρ᾽ ἐφύσση,
Καὶ τὰν γᾶν ἐπάταξε, καὶ ἅλατο· τᾷ δ᾽ Ἀφροδίτᾳ
Δεῖξεν τὰν ὀδύναν, καὶ μέμφετο, ὅττί γε τυτθὸν
Θηρίον ἐντὶ μέλισσα, καὶ ἁλίκα τραύματα ποιεῖ.
Χ᾽ ἁ μάτηρ γελάσασα· Τὺ δ᾽ οὐκ ἴσον ἐσσὶ μελίσσαις;
Χὠ τυτθὸς μὲν ἔῃς, τὰ δὲ τραύματα ἁλίκα ποιεῖς.

3. Ἄκρα δάκτυλα] μόλις εὑρίσκεται τοὔνομα τοῦτο παρὰ ποιηταῖς ἐν γένει οὐδετέρῳ.—Ἐφύσση] σύνηθες τοῦτο τοῖς ἀλγοῦσι θεραπεύειν τὸ πάσχον μέλος φύσῃ. 6. Θηρίον] πᾶν τὸ κακοποιοῦν, κἂν ἐλάχιστον ᾖ, θηρίον καλεῖται· καί τοι παρὰ ποιηταῖς καὶ ἀβλαβῆ οὐ μόνον τὰ διὰ μέγεθος, ὡς ἐ-

μικροῦ ζωϋφίου τοσοῦτον ἄλγος ἐδέξατο· ἡ δὲ καὶ σὺ, ὦ τέκνον, ἔφη, μικρὸς μὲν εἶ, πικρῶς δὲ δάκνεις τῷ τόξῳ.

# ΚΗΡΙΟΚΛΕΠΤΗΣ.

## ΕΙΔΥΛΛΙΟΝ ΙΘ'.

Μελισσα κακοήθης ἐκέντησέ ποτε τὸν ἔρωτα ὡς κλέπτην, κηρίον ἐκ τῶν σίμβλων ὑφαιρούμενον ἐκείνης, τὰς τῶν χειρῶν αὐτοῦ δακτύλους ὑπονύξασα κατ' ἄκρας· ὁ δὲ ἀλγήσας, κατέψυχε τῇ φύσῃ τὸ τετρωμένον μέλος· καὶ φυσῶν, ἐπάτασσε τὴν γῆν τοῖς ποσὶ, καὶ ἥλλετο· ὡς δὲ προσιὼν τῇ Ἀφροδίτῃ, κατεμέμφετο, δείξας τὴν πληγὴν, ὅτι μικρὸν ἡ μέλισσα θηρίον οὖσα, οἷα τραύματα ἐργάζοιτο τοῖς προσιοῦσιν, ἡ μήτηρ ὑπομειδιάσασα, σὺ, ὦ τέκνον, ἔφη, οὐκ ἴσον κακὸν ὑπάρχεις ταῖς μελίσσαις; καὶ γὰρ αὐτὸς μικρὸς μὲν εἶ, ἡλίκα δὲ τιτρώσκεις.

λέφαντες, καὶ βούβαλοι, ἀλλὰ καὶ ἔλαφοι καὶ λαγωοὶ θηρία ἤκουσαν. 8. Χῶ τυτθὸς] καὶ ὃς, καὶ αὐτός.

## ΥΠΟΘΕΣΙΣ.

Τῶν ἀγροδιαίτων τις μέμφεται Εὐνίκην τινὰ, ὅτι οὐκ

# ΒΟΥΚΟΛΙΣΚΟΣ.

## ΕΙΔΥΛΛΙΟΝ Κ'.

Ευνικα μ' ἐγέλαξε θέλοντά μιν ἁδὺ φιλᾶσαι,
Καὶ μ' ἐπικερτομέοισα, τάδ' ἔννεπεν, Ἔῤῥ' ἀπ' ἐμεῖο·
Βωκόλος ὢν, ἐθέλεις με κύσαι, τάλαν; οὐ μεμάθηκα
Ἀγροίκως φιλέειν, ἀλλ' ἀστυκὰ χείλεα θλίβειν.
Μὴ τύ γά μευ κύσσῃς τὸ καλὸν στόμα, μήδ' ἐν ὀνείροις·
Οἷα βλέπεις, ὁπποῖα λαλεῖς, ὡς ἄγρια παίσδεις·
Ὡς τρυφερὸν λαλέεις, ὡς κωτίλα ῥήματα φράσδεις·
Ὡς μαλακὸν τὸ γένειον ἔχεις, ὡς ἁδέα χαίταν,
Χείλεά τοι νοσέοντι, χέρες δέ τοι ἐντὶ μέλαιναι·
Καὶ κακὸν ἐξόσδεις· ἀπ' ἐμεῦ φύγε, μή με μολύνῃς.

---

1. Ἀδὺ φιλῆσαι] ἦν δὲ τὸ φίλημα, ὡς ἔοικεν, ἀμοιβαῖον στόμα στόματι· οὕτω γὰρ συνάγεται ἐκ τῶν ἑπομένων τοὺς αὐτοὺς εἶναι καὶ φιλοῦντας καὶ φιλουμένους. 7. Ὡς τρυφερὸν λαλέεις] ἐν ἤθει ἀναγνωστέον ταῦτα, ὡς εἰρωνικά.— Κωτίλα δὲ] χαρίεντα, ἀστυκά. 8. Ἀδέα χαίταν] ὡς ἔοι-

## ΤΟΥ Κ΄. ΕΙΔΥΛΛΙΟΥ.

ἠξίωσεν αὐτὸν φιλῆσαι, καταφρονήσασασα αὐτοῦ ὡς ἀγροίκου, ἀστυκὴ αὐτὴ οὖσα.

# ΒΟΥΚΟΛΙΣΚΟΣ.

## *ΕΙΔΥΛΛΙΟΝ Κ΄.*

Ευνικη, ἐθέλοντός μου ποτὲ φίλημα αὐτῇ διδόναι, ἐγέλασε, καὶ ἐξυβρίσασα εἰς ἐμὲ, ἐκφθείρου κάθαρμα, ἔφη, ἀπ᾽ ἐμοῦ· βουκόλος γὰρ ὢν, ὦ τάλας, αὐτὸς, φίλημα ἐμὸν αἰτεῖς λαβεῖν; οὐκ οἶσθ᾽, ὅτι οὐ μεμάθηκα φιλεῖσθαι ὑπ᾽ ἀγροίκων, ἀλλὰ μόνων τῶν ἀστῶν τὰ χείλη θλίβειν; σὺ δὲ τοὐμὸν φιλῆσαι στόμα οὐδ᾽ ἂν καθ᾽ ὕπνους ποτὲ ἀξιωθείης· οἷα βλέπεις; οἷα λαλεῖς, ἀγροίκως παίζων; ὡς μὲν ἡδὺ (οὐχ ὁρᾷς;) λαλεῖς· ὡς δὲ καὶ ἀστεῖα φράζεις· ἐῶ δὲ λέγειν τὸ γένειον καὶ τὴν κόμην, ὅσον τὸ τρυφερὸν καὶ χάριεν ἀμφότερ᾽ ἔχει· πῶς γὰρ οὐχὶ, ὁπότ᾽ αὐτὰ τὰ χείλη σου ἐστὶ σαθρὰ, αἵ τε χεῖρες μέλαιναι, καὶ σὺ ἀπόζεις ὅλως; Πόῤῥω τοίνυν ἀπ᾽ ἐμοῦ γενοῦ ἐν τάχει· μηδέ με χράνῃς ἀψάμενος.

---

κεν ἐκλαμβάνει τὸ Χαίταν ἀρσενικῶς· τὸ γὰρ Ἀδέα ἀπὸ τοῦ Ἡδύς, τὲν ἡδέα καὶ ἡδὺν ἀρσενικόν· ὡς καὶ κατωτέρω. στίχ. 44. εἰ μὴ δεῖ γράφειν

Τοιάδε μυθίσδοισα, τρὶς εἰς ἑὸν ἔπτυσε κόλπον,
Καί μ' ἀπὸ τᾶς κεφαλᾶς ποτὶ τὼ πόδε συνεχὲς εἶδεν
Χείλεσι μυχθίσδοισα, καὶ ὄμμασι λοξὰ βλέποισα·
Καὶ πολὺ τᾷ μορφᾷ θηλύνετο, καί τι σεσαρὸς
Καὶ σοβαρόν μ' ἐγέλαξεν· ἐμοί δ' ἄφαρ ἔζεσεν αἷμα,
Καὶ χρόα φοινίχθην ὑπὸ τὤλγεος, ὡς ῥόδον ἕρσᾳ.
Χ' ἁ μὲν ἔβα με λιποῖσα· φέρω δ' ὑποκάρδιον ὀργὰν,
Ὅττι με τὸν χαρίεντα κακὰ μωμήσαθ' ἑταίρα.
Ποιμένες, εἴπατέ μοι τὸ κρήγυον· οὐ καλὸς ἐμμί;
Ἆρά τις ἐξαπίνας με θεὸς βροτὸν ἄλλον ἔτευξε;
Καὶ γὰρ ἐμοὶ τὸ πάροιθεν ἐπάνθεεν ἁδύ τι κάλλος,
Ὡς κισσὸς ποτὶ πρέμνον, ἐμὰν δ' ἐπύκαζεν ὑπήναν·
Χαῖται δ' οἷα σέλινα, περὶ κροτάφοισι κέχυντο·
Καὶ λευκὸν τὸ μέτωπον ἐπ' ὀφρύσι λάμπε μελαίναις·
Ὄμματά μοι γλαυκᾶς χαροπώτερα πολλὸν Ἀθάνας.
Τὸ στόμα καὶ πακτᾶς γλυκερώτερον· ἐκ στομάτων δὲ
Ἔῤῥεέ μοι φωνὰ γλυκερωτέρα, ἢ μελικήρω.
Ἁδὺ δέ μοι τὸ μέλισμα, καὶ ἢν σύριγγι μελίσδω,
Κἢν αὐλῷ λαλέω, κἢν δώνακι, κἢν πλαγιαύλῳ.
Καὶ πᾶσαι καλόν με κατ' ὤρεα φαντὶ γυναῖκες,

---

Ἀδέαν, οἷον ἀδεῖαν, ἡδείαν. 11. Ἀπέπτυσε] μαγκανικὸν ἦν τοῦτο παρὰ τῶν ἀποστρεφομένων κακόν τι. 13. Μυχθίσδοισα] παρατηροῦσα αὐτὸν διὰ παντὸς, ἐδείκνυε τὴν ἑαυτῆς δυσαρέσκειαν διὰ τῆς κινήσεως τῶν τε χειλέων καὶ τῶν ὀφθαλμῶν, οἷον βδελυττομένη. 16. Ἕρσᾳ] ἕρση ἡ δρόσος, ἥτις πίπτουσα ἐπὶ τῶν φύλλων, τἄλλα μὲν τρέφει, τὰ δὲ ῥόδα καὶ ἐρυθραίνει διὰ τῆς ἡλιακῆς ἀκτῖνος. 26. Πακτᾶς] πηκτὴ, τυρὸς ἀρτιπαγής· ὃν καὶ ἡ συνήθεια παρὰ τοῖς Ἠπειρώταις Παγούδα λέγει. 29. Δώνακι] Δωρικῶς

Ταῦτα δ' εἰποῦσα, τρὶς εἰς τὸν ἑαυτῆς ἀπέπτυσε κόλπον· εἶθ' οὕτως ἀπὸ κεφαλῆς ἐς πόδας ὁρῶσά με περιέργως καὶ βλοσερῶς, τοῖς τε χείλεσι διεμύλαινε, καὶ τοῖς ὄμμασι διεσίλλαινεν· ἔπειτα, οἷον τῷ ἑαυτῆς αὐτὴ πρὸς ἑαυτὴν ἀγαλλομένη κάλλει, σεσηρός τι καὶ σοβαρὸν διέπαιξεν ἐπ' ἐμέ· κᾀμοὶ τὸ πρόσωπον, οἷον πέφυκεν ἐν τοῖς τοιούτοις, ἐρυθρὸν εὐθὺς ὑπ' ὀργῆς ἐγένετο, οὐχ ἧττον, ἢ καὶ ῥόδον ὑπὸ δρόσου· κᾀκείνη μὲν οὕτω λιποῦσά με ἐν τούτοις, ᾤχετ' ἀπιοῦσα· ἐγὼ δ' οὐκ ἔχω, ὅπως καταπέψω τὴν ὀργὴν ἐν τῇ καρδίᾳ· πῶς γὰρ, κακῆς ἑταίρας τοιοῦτον ὄντα με καλὸν περιπαιξάσης;

Ἀλλ' ὑμεῖς, γ', ὦ βέλτιστοι ποιμένες, εἴπατέ μοι τἀληθές· ὁποῖος ὑμῖν δοκῶ; οὐ καλός; μῶν θεῶν τις ἐξαπίνης διηχρείωσέ μου τὴν μορφήν; μῶν οὐχ ὁ αὐτὸς, ὃς καὶ πρότερον, εἰμὶ, ᾧ ἐπήνθει πρῴην ἡδὺ ἐν τῷ προσώπῳ κάλλος, ὥσπερ κιττὸς ἐν τῷ στελέχῳ, τὴν ἐμὴν ἐπικοσμοῦν ὑπήνην, καὶ ἡ κόμη κατιοῦσα, δίκην σελίνων περιεχεῖτο τοῖς κροτάφοις; τὸ δ' αὖ πρόσωπον λευκὸν ὑπὸ μελαίναις ὑπολάμπει ταῖς ὀφρύσι· φιλεῖ γὰρ τὰ τῇ φύσει ἀνόμοια εὐδοκιμεῖν παρακείμενα. Ὄμματα δὲ καὶ αὐτῆς τῆς γλαυκώπιδος Ἀθηνᾶς πολλῷ χαροπώτερα· τὸ δ' αὖ στόμα καὶ πηκτῆς αὐτῆς ἥδιον· ἐκ δὲ τῶν χειλέων ἔῤῥει φωνὴ καὶ μέλιτος γλυκίων· Περὶ δὲ τοῦ μέλους ἐν ὀργάνοις τί καὶ ἂν εἴποιμι; κᾂν γὰρ ἐν σύριγγι, κᾂν ἐν αὐλῷ, κᾂν ἐν καλάμῳ ὀρθῷ τε καὶ πλαγίῳ, κᾂν

---

ἀντὶ τοῦ Δόναχι· αὐλὸς καὶ οὗτος ἐκ καλάμου, ἀπὸ τῆς κορυφῆς κατ' ὀρθὸν ἐμφυσσούμενος, οὗ πρὸς διαφορὰν ὁ πλαγίαυλος λοξῶς ἐκ τῆς πλευρᾶς φυσᾶται. 30. Ὤρεα] ὄρη, οὔρη, κᾀκ τούτου ὤρεα. 34. Βώτᾳ] τῷ Ἀγχί-

Καὶ πᾶσαί με φιλεῦνθ'· ἁδ' ἀστυκὰ οὐκ ἐφίλασεν,
Ἀλλ' ὅτι βωκόλος ἐμμὶ, παρέδραμε· κ' οὔποτ' ἀκούει,
Ὡς καλὸς Διόνυσος ἐπ' ἄγκεσι πόρτιν ἐλαύνει.
Οὐκ ἔγνω δ' ὅτι Κύπρις ἐπ' ἀνέρι μήνατο βώτᾳ,
Καὶ Φρυγίης ἐνόμευσεν ἐν ὤρεσιν· αὐτὸν Ἄδωνιν
Ἐν δρυμοῖσι φίλασε, καὶ ἐν δρυμοῖσιν ἔκλαυσεν.
Ἐνδυμίων δὲ τίς ἦν; οὐ βωκόλος; ὅν γε Σελάνα
Βωκολέοντα φίλασεν· ἀπ' Οὐλύμπω δὲ μολοῖσα
Λάτμιον ἀννάπος ἦλθε, καὶ εἰς ἕνα παιδὶ κάθευδε.
Καὶ τὺ, Ῥέα, κλαίεις τὸν βωκόλον· οὐχὶ δὲ καὶ τὺ,
Ὦ Κρονίδα, διὰ παῖδα βοηνόμον ὄρνις ἐπλάγχθης;
Εὐνίκα δὲ μόνα τὸν βωκόλον οὐκ ἐφίλασεν,
Ἁ Κυβέλας κρέσσων, καὶ Κύπριδος ἅ τε Σελάνας.
Μηκέτι μηδὲ σὺ, Κύπρι, τὸν ἁδέα μήτε κατ' ἄστυ
Μήτ' ἐν ὄρει φιλέοις, μώνη δ' ἀνὰ νύκτα καθεύδοις.

---

σῃ τῷ πατρὶ τοῦ Αἰνείου· οὗ ἐρασθεῖσα ἡ Ἀφροδίτη, συνευρέθη αὐτῷ ἐπὶ τῆς Ἴδης. 35. Ἄδωνιν] ἴδε Εἰδ. Α'. στίχ. 109. καὶ Γ'. στίχ. 47. — 37. Ἐνδυμίων] ἴδε Εἰδ. Γ'. στίχ. 50. — 39. Λάτμιον] ὄρος ἐν τῇ Καρίᾳ. — Εἰς ἕνα παιδὶ] εἰς ἕνα τόπον ἀντὶ τοῦ ἅμα, ἢ ὁμοῦ τῷ παιδί. 40. Κλαίεις τὸν βουκόλον] τὸν Ἄτυν ἢ Ἄττιν· οὗτος ποιμὴν Φρὶξ υἱὸς Καλαοῦ· οὗ ἐρασθεῖσα ἡ Κυβέλη καὶ Ῥέα, κατέστησεν αὐτὸν ἱερέα τοῦ ἑαυτῆς ἐν Φρυγίᾳ ναοῦ· εἶτα δὲ παραβάς τι τῶν ἀπορρήτων, ἐμάνη. 41. Βοηνόμον] τὸν Γα-

ὅτῳοῦν ζητήσῃς, εὑρήσεις με πανταχοῦ ἡδέως μελῳδοῦντα· διὸ καὶ αἱ ὀρειναὶ τῶν γυναικῶν καλόν με φασὶν εἶναι, καί με φιλοῦσι πᾶσαι· ἡ δὲ ἐξ ἄστεος ἐκείνη μόνη οὐκ ἠβουλήθη με φιλῆσαι, ὅτι βουκόλος εἰμὶ, καταφρονοῦσα· κακῶς εἰδυῖα, ὡς ὁ Διονύσιος, οὗ τὸ κάλλος ἐν ᾠδῇ μυρία, ἐβουκόλει ἐν νάπαις καὶ κοιλάσιν· ἀγνοεῖ δ' ἔτι, ὅτι καὶ ἡ Ἀφροδίτη ἐμαίνετο ἐπὶ βουκόλῳ, οὐδ' ὅτι συνεβουκόλει κατὰ τὰ ὄρη τῆς Φρυγίας· καὶ ὅτι ἐν τοῖς δρυμῶσιν ἡ αὐτὴ τὸν αὐτὸν καὶ ἐφίλησε καὶ ἔκλαυσεν Ἄδωνιν· Ὁ δ' αὖ Ἐνδυμίων τίς ἦν; οὐ βουκόλος καὶ αὐτὸς, ὃν ἡ Σελήνη ἐν τούτῳ τάξεως ὄντα, ἐφίλησεν ἡδέως; καὶ καταλιποῦσα τὸν Ὄλυμπον, εἰς τὸ Λάτμιον κατῆλθε νάπος, συγκαθευδήσουσα τῷ παιδὶ ἐκείνῳ; Σὺ δὲ, ὦ Ῥέα, οὐχὶ δακρύεις τὸν βουκόλον; οὐχὶ δὲ καὶ σύ, ὦ Ζεῦ, διὰ μειράκιον βουκολικὸν μετέβαλες τὴν φύσιν, ὄρνις γεγενημένος;

Ἡ δὲ Εὐνίκη μόνη βουκόλον ἀπηξίωσε φιλῆσαι, Κυβέλης αὐτῆς, Κύπριδός τε καὶ σελήνης κρείσσων γεγενημένη· Οὐκοῦν μηδὲ σὺ, ὦ Κύπρι, μήτε κατ' ἄστυ, μήτ' ἐν ὄρεσι τὸν σαυτῆς ἀγαπητὸν φιλοίης· ἀλλὰ διὰ πάσης νυκτὸς παρὰ σεαυτῇ καθεύδοις.

---

νυμήδην, γενόμενος ἀετὸς, ἥρπασεν ὁ Ζεὺς, καὶ οἰνοχόον εἶχεν.

## ΥΠΟΘΕΣΙΣ

ΔΙΑΛΕΓΟΝΤΑΙ δύο τινές· ἡ δὲ ὑπόθεσις τοῦ λόγου πε-

# ΑΛΙΕΙΣ.

## ΕΙΔΥΛΛΙΟΝ ΚΑ΄.

### ΑΣΦΑΛΙΩΝ ΚΑΙ ΕΤΑΙΡΟΣ.

ἈΠΕΝΙΑ, Διόφαντε, μόνα τὰς τέχνας ἐγείρει·
Αὐτὰ τῶ μόχθοιο διδάσκαλος· οὐδὲ γὰρ εὕδειν
Ἀνδράσιν ἐργατίναισι κακαὶ παρέχοντι μέριμναι.
Κᾂν ὀλίγον νυκτός τις ἐπιψαύσῃσι, τὸν ὕπνον
Αἰφνίδιον θορυβεῦσιν ἐφιστάμεναι μελεδῶναι.
Ἰχθύος ἀγρευτῆρες ὁμῶς δύο κεῖντο γέροντες,
Στρωσάμενοι βρύον αὖον ὑπὸ πλεκταῖς καλύβαισι,
Κεκλιμένοι τοίχῳ τῷ φυλλίνῳ· ἐγγύθι δ' αὐτοῖν
Κεῖτο τὰ ταῖν χειροῖν ἀθλήματα, τοὶ καλαθίσκοι,

1, Ἐγείρει τέχνας] διεγερτικόν ἐστιν εἰς βιομηχανίαν. ὅμοιον τῷ τοῦ Ἀποστόλου· ἡ γὰρ πενία τέχνας κατεργάζεται, εἰμὴ ἄλλο τι ἐνταῦθα δηλοῖ ἡ

ριέρχεται ἐν τῷ προοιμίῳ. καὶ οὐδενὸς ἑτέρου δεῖ λόγου.

# ΑΛΙΕΙΣ.

## ΕΙΔΥΛΛΙΟΝ ΚΑ΄.

### ΑΣΦΑΛΙΩΝ ΚΑΙ ΕΤΑΙΡΟΣ.

Ἡ ΠΕΝΙΑ, ὦ Διόφαντε, τέχνας κατεργάζεται, ἡγεμὼν γιγνομένη πρὸς τοὺς πόνους· αἱ γὰρ περὶ τοῦ μέλλοντος φροντίδες ἀνδράσιν ἀποχειροβιώτοις οὐκ ἐπιτρέπουσι καθεύδειν· εἰ γάρ τις καὶ μικρόν τι μεταλάχοι ὕπνου, εὐθὺς ἐφιστάμεναι ἐκεῖναι ἐκταράττουσιν ἐκεῖνον.

Αὐτίκα γὰρ ἁλιεῖς γέροντες δύο ἐν τῷ αὐτῷ συνδιητῶντο γέῤῥῳ, ὑπὸ πλεκτῇ καλύβῃ αὖα ὑπεστρωμένοι βρύα, ἐρειδόμενοι πρὸς τῷ φυλλίνῳ τοίχῳ· ὅποι παρέκειντο ἑκατέρωθεν αὐτοῖς πάνθ', ὅσα αἱ χεῖρες αὐτῶν ἐν ἔργῳ εἶχον, οἷον

---

τέχνη. 4. Ἐπιψαύσησι] ἡ τελευταία συλλαβὴ παρέλκει, ὡς καὶ παρ' Ὁμήρῳ πολλαχῆ. 7. Πλεκταῖς] καθάπερ εἰσὶ τὰ λεγόμενα γέῤῥα πεπλεγμέ-

Τοὶ κάλαμοι, τἄγκιστρα, τὰ φυκιόεντά τε λῆδα,
Ὁρμειαὶ, κύρτοι τε, καὶ ἐκ σχοίνων λαβύρινθοι,
Μήρινθοι, κῶάς τε, γέρων τ' ἐπ' ἐρείσμασι λέμβος,
Νέρθεν τᾶς κεφαλᾶς φορμὸς βραχὺς, εἵματα, πῖλοι.
Οὗτος τοῖς ἁλιεῦσιν ὁ πᾶς πόνος, οὗτος ὁ πλοῦτος.
Οὐδεὶς δ' οὐχύτραν εἶχ', οὐκύνα· πάντα περισσὰ,
Πάντ' ἐδόκει τήνας ἄγρας· πενία σφιν ἑταίρα.
Οὐδεὶς δ' ἐν μέσσῳ γείτων, παντᾶ δὲ παρ' αὐτὰν
Θλιβομέναν καλύβαν τρυφερὸν προσέναχε θάλασσα.
Οὔπω τὸν μέσατον δρόμον ἄνυεν ἅρμα Σελάνας,
Τοὺς δ' ἁλιεῖς ἤγειρε φίλος πόνος· ἐκ βλεφάρων δὲ
Ὕπνον ἀπωσάμενοι, σφετέραις φρεσὶν ἤρεθον ᾠδάν.

ΑΣΦΑΛΙΩΝ.

Ψεύδονται, φίλε, πάντες, ὅσοι τὰς νύκτας ἔφασκον
Τῶ θέρεος μινύθειν, ὅτε τἄματα μικρὰ φέρει Ζεύς.
Ἤδη μυρί' ἐσεῖδον ὀνείρατα, κοὐδέπω ἀώς.
Μὴ λαθόμαν; τί τὸ χρῆμα; χρόνον δ' αἱ νύκτες ἔχοντι.

ΕΤΑΙΡΟΣ.

Αὐτομάτως μέμφῃ τὸ καλὸν θέρος· οὐ γὰρ ὁ καιρὸς,
Ἀσφαλίων, παρέβα τὸν ἑὸν δρόμον· ἀλλὰ τὸν ὕπνον

---

να ῥάβδοις καὶ τὰς διαφυὰς μεταξὺ φύλλοις ἔχοντα ἐμβεβυσμένας. 10. Λῆδα] τὰ φύκη ἐν τῇ θαλάσσῃ εἰσὶν ἐῤῥιζωμένα· αἱ δὲ ῥίζαι οἷον τριχωτά εἰσι νήματα, ἃ βαφεῦσι χρήσιμα γίγνεται· ταῦτα εἴσως ἐνταῦθα ἐννοεῖ φυκιόεντα λῆδα. 11. Ὁρμειαὶ] καὶ Ὁρμιαί· τὸ ἐξ ἱππείων τριχῶν πεπλεγμένον ἀγκιστρόσχοινον.—Κύρτοι δὲ] ἰχθυοκάλαθοι· οἱ δὲ ἐκ σχοίνων λαβύρινθοι καὶ οὗτοι κάλαθοι, ἀλλὰ διαφόρῳ πλοκῇ περὶ τὸ στόμιον, ὥστε ῥᾴδιον μὲν εἶναι εἰσιέναι, χαλεπὸν δὲ τὸ ἐξιέναι εἰσελθόντας τοὺς ἰχθῦς.—Μήρινθοι] νήματα, βρόχοι.—Κῶας] δέρμα προβάτου.—Φορμὸς] ψιαθώδης

κάλαθοι, κάλαμοι, ἄγκιστρα, τὰ τῶν φυκίων λῆδα, ὁρμιαὶ, κόφινοι, λαβύρινθοι ἐκ σχοίνων ἑλικτοὶ, μήρινθοι, κῶας, καὶ λέμβος παλαιὸς ἐπὶ τῶν ἐρεισμάτων· ὑπὸ δὲ τὴν κεφαλὴν στιβάς τις βραχεῖα, ἱμάτιά τε καὶ πῖλοι· τοῦτο βίος ἁλιεῦσι, τοῦτο πλοῦτος· χύτραν δὲ, ἢ κύνα, εἴ τι τοιοῦτον εἴποις, οὐδεὶς οὐδὲν αὐτῶν ἦν κεκτημένος, ὡς πάντων περιττῶν αὐτοῖς δοκούντων πρὸς τὴν ἄγραν, τῆς πενίας φίλης αὐτοῖς συνοίκου οὔσης· γείτων δ᾽ αὐτοῖς ἦν οὐδεὶς οὐδαμοῦ· ἡ δὲ θάλασσα ἐγγύθεν, ἡδέως περιπτυσσομένη τὴν καλύβην, διΰγραινεν ἠρέμα· τῆς δὲ σελήνης οὔπω τὸν ἥμισυν περισπευσάσης δρόμον, οἱ ἁλιεῖς τῶν συνήθων μεμνημένοι ἔργων, ἐξηγέρθησαν, καὶ ἅμα ἀποτριψάμενοι τὸν ὕπνον τῶν ἑαυτῶν βλεφάρων, ἤρξαντο διαλέγεσθαι πρὸς ἀλλήλους ταῦτα.

ΑΣΦΑΛΙΩΝ.

Ψεύδεσθαί μοι δοκοῦσιν, ὦ Ἑταῖρε, οἱ λέγοντες τὰς νύκτας ἐν θέρει ἐλαττοῦσθαι, ὁπόθ᾽ ὁ Ζεὺς ἐπιμηκύνει τὰς ἡμέρας· ἤδη γὰρ πολλὰ εἶδον καθ᾽ ὕπνον, καὶ οὔπω ἡ ἡμέρα ἄρχεται ὑπογελᾷν· μή τι με διαλανθάνει; τί ποτ᾽ ἂν εἴη τοῦτο; μακραὶ γὰρ αἱ νύκτες μοι δοκοῦσιν.

ΕΤΑΙΡΟΣ.

Μάτην, ὦ Ἀσφαλίων, τὸ καλὸν μέμφῃ θέρος· τὰ γὰρ ἄστρα κατὰ φύσιν κινούμενα, οὐκ ἂν τὸν ἑαυτῶν, οὔτε τα-

τις δέσμη ἐκ φύλλων. 17. Ἐν μέσῳ] μεταξὺ αὐτῶν καὶ τῆς θαλάσσης· ἢ ἀντὶ τοῦ ἐγγύς· 18. Προσέναχε] προσνήχω, ἐξεβράζετο. 21. Ἤρεθον ᾠδάν] ἐρέθιζον εἰς λόγους πρὸς ἀλλήλους· μήτι δὲ γραπτέον Αὐδὰν ἀντὶ Ὠδάν; οὐ γὰρ ᾄδοντες, ταῦτα λέγουσιν, ἀλλ᾽ ἐν λόγῳ διαλέγονται ποιητι-

Ἁ φροντὶς κόπτοισα, μακρὰν τὰν νύκτα ποιεῖ τιν.

ΑΣΦΑΛΙΩΝ.

Ἆρ' ἔμαθες κρίνειν ποκ' ἐνύπνια; χρηστὰ γὰρ εἶδον.
Οὐ σὲ θέλω τὠμῶ φαντάσματος ἦμεν ἄμοιρον·
Ὡς καὶ τὰν ἄγραν, τὠνείρατα πάντα μερίζεν.
Οὐ γὰρ νικαξῆ κατὰ τὸν νόον· οὗτος ἄριστος
Ἐστιν ὀνειροκρίτας, ὁ διδάσκαλός ἐστι παρ' ᾧ νοῦς.
Ἄλλως καὶ σχολή ἐστι· τί γὰρ ποιεῖν ἂν ἔχοι τὶς
Κείμενος ἐν φύλλοις ποτὶ κύματι, μηδὲ καθεύδων
Ἄσμενος ἐν ῥάμνῳ; τὸ δὲ λύχνιον ἐν πρυτανείῳ·
Φαντὶ γὰρ αἰὲν ἄγραν τόδ' ἔχειν.

ΕΤΑΙΡΟΣ.

Λέγε μοί ποτε νυκτὸς
Ὄψιν, πάντα τεῷ δὲ λέγων μάνυσον ἑταίρῳ.

ΑΣΦΑΛΙΩΝ.

Δειλινὸν ὡς κατέδαρθον ἐν εἰναλίοισι πόνοισιν,
(Οὐκ ἦν μὰν πολύσιτος· ἐπεὶ δειπνεῦντες ἐν ὥρᾳ,
Εἰ μέμνῃ, τᾶς γαστρὸς ἐφειδόμεθ'.) εἶδον ἐμαυτὸν
Ἐν πέτρᾳ μεμαῶτα· καθεσδόμενος δ' ἐδόκευον
Ἰχθύας, ἐκ καλάμων δὲ πλάνον κατέσειον ἐδωδάν.
Καί τις τῶν τραφερῶν ὠρέξατο· (καὶ γὰρ ἐν ὕπνοις
Πᾶσα κύων ἄρτως μαντεύεται· ἰχθύα κἠγών.)

---

κῳ. 33. Παρ' ᾧ νοῦς] ἡ συνθήκη δὲ οὕτως ἔχει· ὁ νοῦς, παρ' ᾧ ἂν ᾖ, ἐστὶ διδάσκαλος τῶν πραγμάτων. 36. Ῥάμνῳ] ἀκανθῶδές τί φασι φυτὸν τοῦτο εἶναι. Οἱ δὲ, τὸν παλίουρον· πῶς οὖν ἂν εἴη ἐν τούτῳ, ἢ παρὰ τούτῳ καθεύδειν ἄσμενον; ἔστιν οὖν τραχύ τι τοῖς ἀγροδιαίτοις, εἶεν· περὶ δὲ τοῦ, Λύχνιον ἐν Πρυτανείῳ τί ἂν εἴποιμεν; δοκεῖ δὲ ὡς παροιμιῶδές τι

χυνόμενα, οὔτε βραδυνόμενα, παραβαίνοιεν δρόμον· ἀλλ' ἡ τῶν ἔργων φροντὶς παρενοχλοῦσα καὶ καθ' ὕπνον, μακρὰς τὰς νύκτας δοκεῖν ἀπεργάζεται.

ΑΣΦΑΛΙΩΝ.

Τί δέ; ἔμαθές ποτε ὀνείρους κρίνειν; αἴσια γὰρ ἰδὼν, οὐκ ἂν βουλοίμην μὴ καί σοι ταῦτα κοινῶσαι· δεῖ γὰρ δὴ, ὥσπερ τὴν ἄγραν, οὕτω καὶ τὰ ἐν ὕπνοις χρηστὰ ἀμφοτέροις ἡμῖν κοινὰ γενέσθαι· σὺ γὰρ νοεῖν δεινότατος εἶ πάντων· τὸν δὲ τοιοῦτον οὐθὲν ἂν κωλύοι καὶ ὀνείρους κρίνειν ἄριστον εἶναι· ἄλλως δὲ καὶ σχολῆς ἡμῖν τοιαύτης ὑπαρχούσης· τί γὰρ ἂν καὶ πάθοι τις, ὁπότε παρακείμενος κύμασιν ἐπὶ φύλλων, μηδὲ καθεύδειν οἷός τε εἴη ἐπὶ τῶν φυκίων; ὁρῶ δὲ λύχνον ἐν τῷ Πρυτανείῳ, καί φασι τοῦτο πολλὴν ἔχειν ἄγραν.

ΕΤΑΙΡΟΣ.

Λέγοις δὲ νῦν, ἣν εἶδες ἐν ὕπνοις ὄψιν πάνθ' ἑξῆς ὡς ἑταίρῳ μοι ὄντι.

ΑΣΦΑΛΙΩΝ.

Χθὲς ὀψὲ τῆς ἡμέρας ὡς ἀπὸ πολλῶν κατέδαρθον πόνων (ἦν δὲ φειδομένως σίτου μετεσχηκὼς, εἴγε μέμνησαι, ὅπως δειπνοῦντες ἐν καιρῷ, μέτρια σεσιτήμεθα) εἶδον ἐμαυτὸν καθήμενον ἐν πέτρᾳ, ἔνθα σὺν πάσῃ προσοχῇ ἐνεδρεύων τοῖς ἰχθύσιν, ἐνέβαλον τὸ ἄγκιστρον αὐτοῖς δεδολωμένον· καὶ εὐθὺς αὐτῶν τις τῶν εὐθρεπτοτάτων ὡρμήθη πρὸς τὸν δόλον (πᾶσα γὰρ κύων ἐν ὕπνοις ἄρτους μαντεύεται, κἀγὼ ἰχθύας

---

εἰσφρῆσαι εἰς τὸν λόγον, πράγματα ἡμῖν παρέχον. 40. Ἐν ὥρᾳ] τῷ διωρισμένῳ χρόνῳ· ὃ ἀνωτέρω (στίχ. 39.) δειλινὸν ἔφη· εἴη ἂν δυομένου ἡλίου. 42. Μεμαῶτα] προσέχοντα, δοκεύοντα, ἐνεδρεύοντα. 44. Ὠρέξατο]

Χῷ μὲν τὠγκίστρῳ ποτεφύετο, καὶ ῥέεν αἷμα·
Τὸν κάλαμον δ᾽ ὑπὸ τῶ κινήματος ἀγκύλον εἶχον.
Τὼ χέρε τεινόμενος περὶ κνώδαλον, εὗρον ἀγῶνα,
Πῶς μὲν ἕλω μέγαν ἰχθὺν ἀφαυροτέροισι σιδάροις.
Εἶθ᾽ ὑπομιμνάσκων τῶ τρώματος, ἆρ᾽ ἐμὲ νύξεις;
Καὶ νύξῃ χαλεπῶς· καὶ οὐ φεύγοντος ἔτεινα.
Ἤνυσ᾽ ἰδὼν τὸν ἄεθλον· ἀνείλκυσα χρύσεον ἰχθὺν,
Πάντοθε τῷ χρυσῷ πεπυκασμένον· εἶχε δὲ δεῖμα,
Μήτι Ποσειδάωνι πέλοι πεφιλαμένος ἰχθὺς,
Ἢ τάχα τᾶς γλαυκᾶς κειμήλιον Ἀμφιτρίτας.
Ἠρέμα δ᾽ αὐτὸν ἐγὼν ἐκ τὠγκίστρω ἀπέλυσα,
Μήποτε τῶ στόματος τἀγκίστρια χρυσὸν ἔχοιεν.
Καὶ τὸν μὲν πειστῆρσι κατῆγον ἐπ᾽ ἠπείροιο,
Ὤμοσα δ᾽ οὐκέτι λοιπὸν ὑπὲρ πελάγους πόδα θεῖναι,
Ἀλλὰ μένειν ἐπὶ γᾶς, καὶ τῷ χρυσῷ βασιλεύειν.
Ταῦτά με κἀξήγειρε· τὺ δ᾽, ὦ ξένε, λοιπὸν ἔρειδε
Τὰν γνώμαν· ὅρκον γὰρ ἐγὼ, τὸν ἐπώμοσα, ταρβῶ.

ΕΤΑΙΡΟΣ.

Καὶ σύ γε μὴ τρέσσῃς· οὐκ ὤμοσας· οὐδὲ γὰρ ἰχθὺν
Χρύσεον, ὡς ἴδες, εὗρες· ἴσαι δὲ ψεύδεσιν ὄψεις.
Εἰ δ᾽ ὕπαρ, οὐ κνώσσων τὺ τὰ χωρία ταῦτα ματεύσεις,
Ἐλπὶς τῶν ὕπνων ζατεῖ τὸν σάρκινον ἰχθὺν,
Μὴ σὺ θάνῃς λιμῷ, καί τοι χρυσοῖσιν ὀνείροις.

---

ὡρμήθη πρὸς τὸ δόλωμα. 52. Ἤνυσα ἰδὼν] ὡς εἰ ἔλεγεν, ἤνυσα ἐν ὀνείροις. 59 Πειστῆρσι] σχοινίοις· ἀμφίβολον τοῦτο. 61. Ἔρειδε τὴν γνώμην.] σὺ δὲ εἰπὼν ὅ,τι ποτε οἶσθα, ποίει με θαῤῥεῖν· λίαν γὰρ ταράττει με ὁ ὅρκος, εἰ παραβὰς τοῦτον, εἰσέλθοιμι αὖθις εἰς τὴν θάλασσαν.

ὁρῶ·) κἀκεῖνος μὲν εὐθὺς ἑάλω ἐν τῷ ἀγκίστρῳ, καὶ αἷμα ἔῤῥει· ὁ δὲ κάλαμος σῦμὸς, εὐκαμπὴς ὢν ὅτι μάλιστα, ἀπεκύρτοῦτο, ἀσπαίροντος ἐκείνου· ὡς δ᾽ ὡρμήθην αὐταῖς χερσὶ πρὸς τὸ θηρίον, ἠπόρουν, ὅπως τηλικαύτης θήρας ἀδυνάτῳ κρατήσω σιδηρίῳ· ὡς δὲ εἰς νοῦν μοι ἐπῆλθε καὶ τὸ τραῦμα, ὃ καὶ ἄλλοτε μέμνημαι παθὼν, τί δὲ; ἔφην πρὸς τὸν λαύρακα, μῶν με νύξειν μέλλεις; ἀλλ᾽ αὐτὸς πρότερον τοῦτ᾽ ἔσῃ παρ᾽ ἐμοῦ πεπονθιός· ὡς δ᾽ οὐκ ἔφευγεν, ἔτεινα τὰς χεῖρας, καὶ τελευτῶν εἶδον ἀνύσας τὸν ἀγῶνα· ἀνείλκυσα γὰρ ἰχθὺν χρυσοῦν, ὡς χρυσῷ πανταχόθεν περικεκαλυμμένον· ἐμὲ δὲ δέος εὐθὺς ἐκεῖνο ᾕρει, μήτις τῶν παρὰ Ποσειδῶνος πεφιλημένων εἴη, ἢ τῶν τῆς γλαυκῆς Ἀμφιτρίτης κειμηλίων· διὸ ἀπέλυσα αὐτὸν ἠρέμα τοῦ ἀγκίστρου, ἵνα μή τι τοῦ χρυσοῦ ἐκ τοῦ στόματος τὸ σιδήριον ἐκθραύσῃ· οὕτως οὖν ἐκβαλὼν αὐτὸν ἐπὶ τὴν χέρσον, ὤμοσα τό γε λοιπὸν μηκέτι ἐπιβήσεσθαι τῆς λέμβου· μένων δ᾽ ἐπὶ τῆς ξηρᾶς, τῷ ἐμαυτοῦ ἐξῆς προτέξειν θησαυρῷ· κἂν τ᾽ ὕτῳ διϋπτίσθην. Ἐπὶ σοὶ τοίνυν κεῖται τὴν ἐμὴν ἐπιστηρίξαι γνώμην· δεινῶς γὰρ ταράττει με ὁ ὅρκος.

## ΕΤΑΙΡΟΣ.

Μηδὲν πρὸς ἔπος τὰ τοῦ ὅρκου· οὐ γὰρ ὤμοσας, οὐ μᾶλλον, ἢ ὅσον οὐδ᾽ ἰχθὺν χρυσοῦν ποθ᾽ εὗρες, ὡς ἔδοξέ σοι· ὄνειροι γὰρ ψεύδει ἴσοι· εἰ δὲ νήφων τὴν ᾐόνα μεταλλήσῃς ταυτηνὶ, τόθ᾽ αἱ τῶν ὕπνων ἐλπίδες προσοίσουσί σοι ἀντὶ τοῦ χρυσοῦ ἰχθὺν τῷ ὄντι, ἵνα μή ποθ᾽ ὕστερον ἐν χρυσοῖς ὀνείροις λιμῷ ἀπόλῃ ὅλως.

## ΥΠΟΘΕΣΙΣ

ΔΙΠΛΟΥΝ ἐστι τὸ Εἰδύλλιον τοῦτο· περιέχει γὰρ τήν τε τοῦ Πολυδεύκους μάχην πρὸς Ἄμυκον τὸν τῶν Βεβρύκων

# ΔΙΟΣΚΟΥΡΟΙ.

## *ΕΙΔΥΛΛΙΟΝ ΚΒ΄.*

ΥΜΝΕΟΜΕΣ Λήδας τε καὶ αἰγιόχω Διὸς υἱὼ,
Κάστορα, καὶ φοβερὸν Πολυδεύκεα πὺξ ἐρεθίζεν,
Χεῖρας ἐπιζεύξαντα μέσας βοέοισιν ἱμᾶσιν.
Ὑμνέομες καὶ δὶς καὶ τὸ τρίτον ἄρσενα τέκνα
Κούρης Θεστιάδος, Λακεδαιμονίους δύ᾽ ἀδελφοὺς,
Ἀνθρώπων σωτῆρας ἐπὶ ξυροῦ ἤδη ἐόντων,
Ἵππων θ᾽ αἱματόεντα ταρασσομένων καθ᾽ ὅμιλον,
Ναῶν θ᾽, αἳ δύνοντα καὶ οὐρανοῦ ἐξανιόντα
Ἄστρα βιαζόμεναι, χαλεποῖς ἐνέκυρσαν ἀήταις.

---

2. Πὺξ ἐρεθίζειν] δεινὸς πυκτεύειν. 3. Ἱμᾶσι] πυγμὴ λέγεται ἡ σύγκλεισις τῶν δακτύλων τῆς χειρός· τοῦτο δὲ ἵνα ᾖ τοῖς πυγμαχοῦσιν ἰσχυρότερον, περιέδεον ἱμάντας βοΐνους, περισφίγγοντες τοὺς δακτύλους πανταχόθεν καὶ ἐξογκοῦντες τὴν πυγμὴν ὡς σφαῖραν. 5. Θεστιάδος] τῆς Λήδας κόρης τοῦ Θεστίου τοῦ βασιλέως τῆς ἐν Αἰτωλίᾳ πλευρῶνος. 6. Ἐπὶ ξυροῦ] ἐπὶ

## ΤΟΥ ΚΒ΄. ΕΙΔΥΛΛΙΟΥ.

βασιλέα ἐν τῷ Εὐξείνῳ πόντῳ, καὶ τὴν τοῦ Κάστορος τοῦ ἀδελφοῦ πρὸς τὸν Λυγκέα.

# ΔΙΟΣΚΟΥΡΟΙ.

## *ΕΙΔΥΛΛΙΟΝ ΚΒ΄.*

Τοὺς δύο παῖδας Διός τε τοῦ αἰγιόχου, καὶ Λήδας ἄρχομαι ᾄδειν, Κάστορά τε τὸν χαλκοθώρακα, καὶ Πολυδεύκην τὸν δεινότατον μάχεσθαι πυγμῇ, βοΐνοις ἱμᾶσι τὰς χεῖρας συμπτύξαντα. Τούτους δὴ τοὺς δύο ἄῤῥενας παῖδας τῆς τοῦ Θεστίου κόρης καὶ δὶς καὶ τρὶς εἰκότως ὑμνητέον· οἱ ἀδελφοὶ ὄντες ἐκ Λακεδαίμονος πολλοῖς τῶν τὸν ἔσχατον κίνδυνον διατρεχόντων σωτῆρες ἐγένοντο, τῶν τε κατὰ ξηρὰν ἱππέων ἐν πολυφόνοις διακινδυνευόντων μάχαις, καὶ τῶν ἐν θαλάσσῃ διαχειμαζομένων· οἵτινες τὰς τοῦ οὐρανοῦ ἀνατέλλοντας καὶ δυομένους παρορῶντας ἀστέρας, ἐνέβαλλον ἑαυτοὺς ἀνέ-

ξυροῦ ἀκμῆς, παροιμία ἐπὶ τῶν τὰ ἔσχατα κινδυνευόντων. 9. Βιαζόμεναι] πότερον, ἔπλευσαν παρὰ καιρὸν, παριδοῦσαι τὰ σημεῖα, ἢ μὴ δυνάμεναι ἰδεῖν αὐτὰ ὡς ἐν νεφελώδει καιρῷ; ἴσως τὸ δεύτερον ἄμεινον, καὶ τοι ἰδε-

Οἱ δὲ, σφέων κατὰ πρύμναν ἀείραντες μέγα κῦμα,
Ἠὲ καὶ ἐκ πρώραθεν, ἢ ὅππα θυμὸς ἑκάστου,
Ἐς κοίλαν ἔῤῥιψαν, ἀνέῤῥηξαν δ' ἄρα τοίχους
Ἀμφοτέρους· κρέμαται δὲ σὺν ἱστίῳ ἄρμενα πάντα,
Εἰκῇ ἀποκλασθέντα· πολὺς δ' ἐξ οὐρανοῦ ὄμβρος
Νυκτὸς ἐφερπύσας· παταγεῖ δ' εὐρεῖα θάλασσα,
Κοπτομένη πνοιαῖς τε καὶ ἀῤῥήκτοισι χαλάζαις.
Ἀλλ' ἔμπας ὑμεῖς γε καὶ ἐκ βυθοῦ ἕλκετε νᾶας
Αὐτοῖσιν ναύτῃσιν ὀϊομένοις θανέεσθαι.
Αἶψα δ' ἀπολήγοντ' ἄνεμοι, λιπαρὰ δὲ γαλάνα
Ἂμ πέλαγος· νεφέλαι δὲ διέδραμον ἄλλυδις ἄλλαι·
Ἐκ δ' ἄρκτοι τ' ἐφάνησαν, ὄνων τ' ἀνὰ μέσσον ἀμαυρὴ
Φάτνη, σημαίνοισα τὰ πρὸς πλόον εὔδια πάντα.
Ὦ ἄμφω θνατοῖσι βοηθόοι, ὦ φίλοι ἄμφω,
Ἱππῆες, κιθαρισταὶ, ἀεθλητῆρες, ἀοιδοί.
Κάστορος, ἢ πρώτου Πολυδεύκεος ἄρξομ' ἀείδειν;
Ἀμφοτέρω ὑμνέων, Πολυδεύκεα πρῶτον ἀείσω.

Ἡ μὲν ἄρα προφυγοῦσα πέτρας εἰς ἓν ξυνιούσας
Ἀργὼ, καὶ νιφόεντος ἀταρτηρὸν στόμα Πόντου,
Βέβρυκας εἰσαφίκανε, θεῶν φίλα τέκνα φέροισα·
Ἔνθα μιᾶς πολλοὶ κατὰ κλίμακος ἀμφοτέρων ἐξ
Τοίχων ἄνδρες ἔβαινον Ἰησονίης ἀπὸ νηός.

---

ξάμην τὸ πρῶτον ἐν τῇ παραφράσει. 20. Ἂμ' πέλαγος] ἀνὰ πέλαγος· τοιοῦτο δὲ καὶ κατωτέρω (στίχ. 43.) ἂν λειμῶνας· καὶ ἀνωτέρω (Εἰδ. Κ'. στίχ. 39.) ἂν νάπος. 21. Φάτνη ὄνων] ἀστερισμὸς πρὸς ἄρκτον. 27. Πέτρας] τὰς Κυανὰς καὶ Συμπληγάδας καλουμένας ἐπὶ τοῦ Βοσπόρου. 28. Ἀργὼ] ἡ ναῦς, ἐν ᾗ ἔπλευσεν Ἰάσων μετὰ τῶν Ἀργοναυτῶν ἐπὶ τὸ

μοις σφοδροτάτοις, οἱ ἄλλ' ἐπ' ἄλλοις ἐγείροντες κύματα, τὰ μὲν κατὰ πρύμναν, τὰ δὲ κατὰ πρῶραν, ἢ ὅθεν αὐτοῖς ἂν ᾖ βουλομένοις, κατηνάγκασαν αὐτοὺς εἰς κοίλην ναῦν κατελθεῖν· ἧς τὰς πλευρὰς διαῤῥηγνύασιν ἀμφοτέρας· τὰ δ' ἱστία καὶ τὰ περὶ τὰ ἱςία ἄρμενα πάντα, διαῤῥαγέντα κρέμανται αὐτομάτως, πολλοῦ μὲν ὕδατος ἐξ οὐρανοῦ γενομένου, φοβερὸν δέ τι τῆς θαλάσσης βρεμούσης, ταῖς τε τῶν ἀνέμων πνοαῖς, καὶ ταῖς ἀῤῥήκτοις κοπτομένης χαλάζαις. Ἀλλ' ἐν τηλικούτῳ τούτων ὄντων κινδύνῳ, ὑμεῖς γε κἀκ τοῦ βυθοῦ αὐτοῖς ναύταις, ἀποθανεῖν ἤδη οἰομένοις, τὰς νῆας ἀνέλκετε πρὸς τὸ σώζεσθαι· παραχρῆμα γὰρ τὰ μὲν πνεύματα ἀπελώφησαν, ἡ δὲ φαιδρὰ γαλήνη ἀνὰ πᾶν διαχεῖται τὸ πέλαγος, καὶ αἱ νεφέλαι ἄλλο σε ἄλλῃ διεσκεδάσθησαν· ἀνεκαλύφθησαν δὲ αἱ ἄρκτοι, κἀν τῷ μέσῳ αὐτῶν ἡ ἀμυδρὰ φάτνη τῶν ὄνων, σημαίνουσα εὔπλοιαν ἐν εὐδίᾳ. Ὡς οὖν ἀμφοτέρων ὑμῶν, ὦ φίλοι, ἐν ἱππεῦσι διαφερόντων, καὶ τοῖς ἀνθρώποις ἀρωγῶν, κιθαριστῶν, ἀθλητῶν, μελῳδῶν γεγενημένων, πότερον πρῶτον ᾄσω, Κάςορα, ἢ Πολυδεύκην; ἄρξωμαι δὲ ἀπὸ τοῦ Πολυδεύκους.

Ἡ μὲν οὖν Ἀργὼ, ἐπειδὴ τάχιστα προφυλακῇ χρησαμένη, ἀπέφυγε τὰς πρὸς ἀλλήλας συμβαλλομένας πέτρας, καὶ τὸ χαλεπώτατον τοῦ ψυχροῦ Πόντου στόμα, ἀφίκετο εἰς Βέβρυκας, θεῶν φίλα φέρουσα τέκνα· ἔνθα ἐκ μιᾶς νεὼς τῆς Ἰάσονος πολλοὶ ἄνδρες ὁμοῦ ἀπέβαινον εἰς γῆν ἑκατέρωθεν·

---

χρυσοῦν εἰς Κόχλους δέρας, ἣν Ἄργος κατεσκεύασε, παρὰ τῆς Ἀθηνᾶς βοηθούμενος. Βέβρυκες δὲ ἔθνος ἐν Βιθυνίᾳ· ὧν ἐβασίλευεν Ἄμυκος ὁ πύκτης.

Ἐκβάντες δ' ἐπὶ θῖνα βαθὺν, καὶ ὑπήνεμον ἀκτὴν,
Εὐνάς τ' ἐστόρνυντο, πυρεῖά τε χερσὶν ἐνώμων.
Κάστωρ δ' αἰολόπωλος, ὅ, τ' οἰνωπὸς Πολυδεύκης,
Ἄμφω ἐρημάζεσκον, ἀποπλαγχθέντες ἑταίρων.
Παντοίην δ' ἐν ὄρει θηεύμενοι ἄγριον ὕλην,
Εὗρον ἀέναον κράναν ὑπὸ λισσάδι πέτρῃ
Ὕδατι πεπληθυῖαν ἀκηράτῳ· αἱ δ' ὑπένερθεν
Λάλλαι κρυστάλλῳ ἠδ' ἀργύρῳ ἰνδάλλοντο
Ἐκ βυθοῦ· ὑψηλαὶ δ' ἐπεφύκεσαν ἀγχόθι πεῦκαι,
Λεῦκαί τε, πλάτανοί τε, καὶ ἀκρόκομοι κυπάρισσοι,
Ἄνθεά τ' εὐώδη, λασίαις φίλα ἔργα μελίσσαις,
Ὅσσ' ἔαρος λήγοντος ἐπιβρύει ἀνλειμῶνας.
Ἔνθα δ' ἀνὴρ ὑπέροπλος ἐνήμενος ἐνδιάασκε,
Δεινὸς ἰδεῖν, σκληραῖσι τεθλαγμένος οὔατα πυγμαῖς·
Στήθεα δ' ἐσφαίρωτο πελώρια, καὶ πλατὺ νῶτον,
Σαρκὶ σιδαρείῃ, σφυρήλατος οἷα κολοσσός.
Ἐν δὲ μύες στερεοῖσι βραχίοσιν ἄκρον ὑπ' ὦμον
Ἔστασαν, ἠΰτε πέτροι ὁλοίτροχοι, οὕστε κυλίνδων
Χειμάῤῥους ποταμὸς μεγάλαις περιέξεσε δίναις·
Αὐτὰρ ὑπὲρ νώτοιο καὶ αὐχένος ᾐωρεῖτο
Ἄκρων δέρμα λέοντος ἀφημμένον ἐκ ποδεώνων.
Τὸν πρότερος προσέειπεν ἀεθλοφόρος Πολυδεύκης.

### ΠΟΛΥΔΕΥΚΗΣ.

Χαῖρε ξεῖν', ὅστ' ἐσσί· τίνες βροτοὶ, ὧν ὅδε χῶρος;

---

33. Πυρεῖα] οὐ ταῦτά φησι τὰ παρ' ἡμῖν σιδηρὰ πυροβόλα· ἀλλὰ ξύλα ἁπλᾶ συντριβόμενα δίκην τρυπάνου, ἔτικτον πῦρ. 42. Λασίαις] ἐπίθετον τῇ μελίσσῃ, συνηθέστερον δὲ ἀποδίδοται τὸ Ξανθή· νῦν δὲ τὸ λάσιον σημαίνει

ἀποβάντες δ᾽ ἐν σκέπῃ τῶν ἀνέμων εἰς ψάμον βαθεῖαν, εὐνάς τε ἄλλος ἄλλῃ παρεσκευάζοντο, καὶ τὰ πυρεῖα πρὸς γέννησιν πυρὸς ἔστρεφον ταῖς χερσί· Κάστωρ δὲ ὁ αἰολοπῶλος, καὶ Πολυδεύκης ὁ εὐτραφὴς, μικρὸν προϊόντες τῶν ἄλλων, ἀπεμονώθησαν· παντοίαν δὲ ὕλην ὑποτρέχοντες τῇ θέᾳ, ἐνέτυχόν πῃ κρήνῃ ἀεννάῳ, ἐκ πέτρας ἀποτόμου καθαρόν τε καὶ ἄφθονον ἀναβλυζούσῃ ὕδωρ· ἧς ἐν τῷ βυθῷ οἱ χάλικες ἐσελάγιζον δίκην κρυστάλλου καὶ ἀργύρου· πέριξ δ᾽ ἐκ τοῦ ἐγγυτάτω πεῦκαί τε ἦσαν ἀνωφερεῖς, λεῦκαί τε ὑψιτενεῖς, καὶ πλάτανοι εὐρύσκιοι, καὶ κυπάρισσοι ὑψίκομοι· ἄνθη τε εὐώδη, ταῦτα δὴ τὰ φίλα τῇ σοφῇ μελίσσῃ ἔργα· οἷς ἐν ὥρᾳ ἔτους ἐπιβρύει τὰ πεδία. Ἐνταῦθα δὲ ἀλαζών τις καθήμενος ᾐθριοκοίτει, ἀνὴρ μὲν δεινὸς ἰδεῖν, σκληραῖς δὲ πυγμαῖς τὰ ὦτα συντεθλασμένος, τὰ δὲ στήθη εὐρύς τε καὶ σφαιρωτὸς, εὐρύνωτός τε ἐν σαρκὶ ὥσπερ σιδηρᾷ, καὶ ὅλως κολοσσῷ ἐοικὼς σφυρηλάτῳ· οἱ δὲ μύες αὐτῷ ἐν εὐρώστοις βραχίοσιν ὑπὸ τὰ ἄκρα τῶν ὤμων ἐξωγκοῦντο, καθάπερ λίθοι ὀλοίτροχοι, οὓς οἱ χείμαῤῥοι, ἐν ῥαγδαίαις καταφέροντες περιέξεσαν ταῖς δίναις· ἔφερε δὲ κἀπὶ τοῦ αὐχένος καὶ τῶν ὤμων λεοντῆν, ἐκ τῶν ποδῶν αὐτῆς ἀπηρτημένην. Τοῦτον οὖν πρῶτος προσηγόρευσε Πολυδεύκης.

### ΠΟΛΥΔΕΥΚΗΣ.

Χαῖρε, ὦ ξένε, ὅστις ἂν ἧς· τίνες ποτ᾽ εἰσὶν οἱ ἐνταῦθα κατοικοῦντες;

---

καὶ τὸ Πυκνόν· τοῦτο δ᾽ αὖ τὸ Φρόνιμον, Πυκινὸν καὶ πυκνὸν ἦθος· τὸ ἄρα λάσιον ἐνταῦθα ἀντὶ τοῦ φρόνιμον καὶ σοφὸν ἐκλαμβάνεται. 52. Ἐκ ποδεώνων] ποδεῶνες, οἱ τῶν ἐκτεταμένων δερμάτων κρεμάμενοι πόδες, λῶ-

ΑΜΥΚΟΣ.

Χαίρω πῶς, ὅτε γ' ἄνδρας ὁρῶ, τοὺς μήποτ' ὄπωπα;

ΠΟΛΥΔΕΥΚΗΣ.

Θάρσει· μήτ' ἀδίκους, μήτ' ἐξ ἀδίκων φάθι λεύσσειν.

ΑΜΥΚΟΣ.

Θαρσέω· κοὐκ ἐκ σοῦ με διδάσκεσθαι τόδ' ἔοικεν.

ΠΟΛΥΔΕΥΚΗΣ.

Ἄγριος εἶ, πρὸς πάντα παλίγκοτος, ἠδ' ὑπερόπτης.

ΑΜΥΚΟΣ.

Τοιόσδ' οἷον ὁρᾷς· τῆς σῆς γε μὲν οὐκ ἐπιβαίνω.

ΠΟΛΥΔΕΥΚΗΣ.

Ἔλθοις, καὶ ξενίων γε τυχὼν, πάλιν οἴκαδ' ἱκάνοις.

ΑΜΥΚΟΣ.

Μήτε σύ με ξείνιζε· τά τ' ἐξ ἐμεῦ οὐκ ἐν ἑτοίμῳ.

ΠΟΛΥΔΕΥΚΗΣ.

Δαιμόνι', οὐδ' ἂν τοῦδε πιεῖν ὕδατος σύγε δοίης;

ΑΜΥΚΟΣ.

Γνώσεαι, εἴ σου δίψος ἀνειμένα χείλεα τέρσει.

ΠΟΛΥΔΕΥΚΗΣ.

Ἄργυρος, ἢ τίς ὁ μισθὸς, ἐρεῖς, ᾧ κέν σε πίθοιμεν;

---

ραι, ἱμάντες· ἀπὸ γὰρ τούτων ἡμμένων ἐκρέματο ἡ λεοντῆ. 59. Τῆς σῆς

ΑΜΥΚΟΣ.

Πῶς ἂν χαίροιμι, νῦν ἄνδρας ὁρῶν, οὓς οὐδέ ποτ' εἶδον;

ΠΟΛΥΔΕΥΚΗΣ.

Μὴ φοβοῦ· ἴσθι γὰρ μήτ' ἀδίκους ὁρῶν, μήτε ἐξ ἀδίκων φύντας.

ΑΜΥΚΟΣ.

Φόβος οὐδείς· οὐδὲ σὸν τοῦτ' ἐστιν ἡμᾶς πείθειν.

ΠΟΛΥΔΕΥΚΗΣ.

Σχέτλιός τις δοκεῖ μοι εἶναι, ἀλλόκοτός τε, καὶ ἀλαζών.

ΑΜΥΚΟΣ.

Τοιοῦτός γε, ἀλλὰ τῆς σῆς γῆς οὐδέ ποτ' ἐπεθύμησ' ἐπιβῆναι.

ΠΟΛΥΔΕΥΚΗΣ.

Καὶ μὴν ἐλθὲ, καὶ ξενίων τυχὼν, ἀτρέμας ἐπανήξεις.

ΑΜΥΚΟΣ.

Μήτε σὺ ξένιζε, μήτ' ἐγὼ τοῦτο ποιήσω.

ΠΟΛΥΔΕΥΚΗΣ.

Δαιμόνιε, οὐκ ἐπιτρέψεις ἡμῖν τοῦ γ' ὕδατος πιεῖν τούτου;

ΑΜΥΚΟΣ.

Εἴ σοι τὰ ἀνειμένα χείλη ἐνοχλεῖ τὸ δίψος, αὐτίκα εἴσῃ.

ΠΟΛΥΔΕΥΚΗΣ.

Πῶς οὖν ἂν πείσαιμέν σε ἀργύρῳ, ἢ ὅτῳ τρόπῳ;

---

οὐκ ἐπιβαίνω] τῆς σῆς γῆς, ἢ πατρίδος· ἢ μᾶλλον νεώς. 63. Γνώσεαι] εἰ

ΑΜΥΚΟΣ.

Εἷς ἑνὶ χεῖρας ἄειρον, ἐναντίος ἀνδρὶ καταστάς.

ΠΟΛΥΔΕΥΚΗΣ.

Πυγμάχος, ἢ καὶ ποσσὶ θένων σκέλος, ὄμματα δ' ὀρθά;

ΑΜΥΚΟΣ.

Πὺξ διατεινάμενος, σφετέρης μὴ φείδεο τέχνας.

ΠΟΛΥΔΕΥΚΗΣ.

Τίς γάρ, ὅτῳ χεῖρας καὶ ἐμοὺς συνερείσω ἱμάντας;

ΑΜΥΚΟΣ.

Ἐγγὺς ὁρᾷς οὐ σύ μ'; Ἄμυκος κεκλήσεθ' ὁ πύκτης.

ΠΟΛΥΔΕΥΚΗΣ.

Ἦ καὶ ἄεθλον ἑτοῖμον, ἐφ' ᾧ δηρισόμεθ' ἄμφω;

ΑΜΥΚΟΣ.

Σὸς μὲν ἐγώ, σὺ δ' ἐμὸς κεκλήσεαι, εἴκε κρατήσω.

ΠΟΛΥΔΕΥΚΗΣ.

Ὀρνίχων φοινικολόφων τοιοίδε κυδοιμοί.

ΑΜΥΚΟΣ.

Εἴτ' οὖν ὀρνίχεσσιν ἐοικότες εἴτε λέουσι
Γεινόμεθ', οὐκ ἄλλῳ γε μαχεσσαίμεσθ' ἐπ' ἀέθλῳ.
Ἦ ῥ' Ἄμυκος, καὶ κοχλον ἑλὼν μυκάσατο κοῖλον.

---

διψῇς, λάβε πεῖραν, καὶ γνώσῃ. 66. Ὄμματα δ' ὀρθά] ὄμμα πρὸς ὄμμα βλέπον. 72. Ὀρνίχων] καὶ ὀρνίθων· τοὺς ἀλέκτορας δ' ἐννοεῖ, οἵτινες ἐπ' οὐδενὶ ἄθλῳ μάχονται, ἢ ἐπὶ τῷ κρατεῖν θατέρου τὸν ἕτερον. 75.

ΑΜΥΚΟΣ.

Εἷς πρὸς ἕνα εἰς ἀγῶνα ἐλθών.

ΠΟΛΥΔΕΥΚΗΣ.

Πότερον, πυγμῇ, ἢ λὰξ σκέλει ἐπὶ σκέλος, τὰ ὄμματ' ὀρθὰ ἔχων;

ΑΜΥΚΟΣ.

Ὡς πύκτης παραστὰς, μηδὲν φείδου τῆς τέχνης.

ΠΟΛΥΔΕΥΚΗΣ.

Τίς δ' ἐστὶν, ἐφ' ὃν κἀγὼ συςρέψω τὰς χεῖρας τοῖς ἱμᾶσι;

ΑΜΥΚΟΣ.

Οὐχ ὁρᾷς ἐμέ; Ἄμυκος ἐγώ εἰμι ὁ πύκτης.

ΠΟΛΥΔΕΥΚΗΣ.

Ἆθλον δὲ, ἐφ' ᾧ ὁ ἀγὼν, ὁποῖον ἡμῖν ἔσται;

ΑΜΥΚΟΣ.

Ὁ ἡττηθεὶς δοῦλος τῷ νικήσαντι ἔσται.

ΠΟΛΥΔΕΥΚΗΣ.

Ἀλεκτρυόσι φοινικολόφοις προσήκει ἡ μάχη αὕτη.

ΑΜΥΚΟΣ.

Εἴτ' ἀλεκτρυόσιν, εἴτε λέουσι τοῦτ' ἐστὶν, οὐκ ἂν ἐπ' ἄλλῳ μαχησόμεθα ἄθλῳ.

Ταῦτ' εἰπὼν Ἄμυκος, καὶ σάλπιγγα λαβὼν ἐκ κόχλου κοί-

---

Κόχλον ἑλὼν] ἦν τις σάλπιγξ θαλασσία, κόχλος, ὃν λαβόντες, διατρυπῶσιν αὐτὸν κατὰ τὸ στενώτατον τοῦ κώνου, εἶτ' ἐμφυσῶντες σάλπιγγος

Οἱ δὲ θοῶς συνάγερθεν ὑπὸ σκιερὰς πλατανίστως,
Κόχλω φυσαθέντος, ἀεὶ Βέβρυκες κομόωντες.
Ὣς δ᾽ αὔτως ἥρωας ἰὼν ἐκαλέσσατο πάντας
Μαγνήσσης ἀπὸ ναὸς ὑπείροχος ἐν δαῒ Κάστωρ.
Οἱ δ᾽, ἐπεὶ οὖν σπείραισιν ἐκαρτύναντο βοείαις
Χεῖρας, καὶ περὶ γυῖα μακροὺς εἵλιξαν ἱμάντας,
Ἐς μέσσον σύναγον, φόνον ἀλλάλοισι πνέοντες.
Ἔνθα πολύς σφισι μόχθος ἐπειγομένοισιν ἐτύχθη,
Ὁππότερος κατὰ νῶτα λάβῃ φάος ἠελίοιο.
Ἀλλ᾽ ἰδρίῃ μέγαν ἄνδρα παρήλυθες, ὦ Πολύδευκες.
Βάλλετο δ᾽ ἀκτίνεσσιν ἅπαν Ἀμύκοιο πρόσωπον.
Αὐτὰρ ὅγ᾽ ἐν θυμῷ κεχολωμένος ἵετο πρόσσω,
Χερσὶ τιτυσκόμενος. τοῦ δ᾽ ἄκρον τύψε γένειον
Τυνδαρίδης ἐπιόντος· ὀρίνθη δὲ πλέον, ἢ πρὶν,
Σὺν δὲ μάχαν ἐτίναξε, πολὺς δ᾽ ἐπέκειτο νενευκὼς
Ἐς γαῖαν. Βέβρυκες δ᾽ ἐπαΰτεον· ἐκ δ᾽ ἑτέρωθεν
Ἥρωες κρατερὸν Πολυδεύκεα θαρσύνεσκον,
Δειδιότες, μήπως μιν ἐπιβρίσας δαμάσειε
Χώρῳ ἐνὶ στεινῷ Τιτυῷ ἐναλίγκιος ἀνήρ.
Ἤτοι ὅγ᾽ ἔνθα καὶ ἔνθα παριστάμενος Διὸς υἱὸς
Ἀμφοτέραισιν ἄμυσσεν ἀμοιβαδίς· ἔσχεθε δ᾽ ὁρμῆς
Παῖδα Ποσειδάωνος, ὑπερφίαλόν περ ἐόντα.
Ἔστη δὲ πλαγαῖς μεθύων, ἐκ δ᾽ ἔπτυσεν αἷμα
Φοίνιον· οἱ δ᾽ ἅμα πάντες ἀριστῆες κελάδησαν,

---

πληροῦσι χρείαν. 88. Τιτυσκόμενος] παρασκευαζόμενος, ἢ μᾶλλον στοχαζόμενος, σκοπῶν, ποῦ πατάξῃ τὸν ἀντίπαλον. 90. Νενευκώς] κύψας τὴν

λης, ἐσάλπισεν· οἱ δὲ καρυκομῶντες Βέβρυκες συνεῤῥύησαν εὐθὺς πρὸς τὴν φωνὴν εἰς σκιαρὰς πλατάνους, ὡς δ᾽ αὔτως καὶ ὁ Κάστωρ ὁ ἐν πολέμοις ἄριστος μετῆλθε τοὺς Ἀργοναύτας.

Ὡς οὖν περισπειράσαντες ἑκάτεροι τοῖς ἱμᾶσι τὰς χεῖρας καὶ τὰ σκέλη, συνῆλθον ἐς τὸ μέσον, φόνον ἐμπνέοντες ἀλλήλοις· ἀγὼν δ᾽ αὐτοῖς μέγας ἦν πρῶτον, πότερος αὐτῶν τὰς τοῦ ἡλίου ἀκτῖνας κατὰ νῶτα λάβῃ· ἀλλὰ σὺ ὦ Πολύδευκες, ὡς ἐμπειρίᾳ προὔχων, κατεσοφίσω τὸν ἀλητήριον ἐκεῖνον, ἐπὶ πρόσωπον αὐτῷ τὰς ἡλιακὰς ἐπαφεὶς ἀκτῖνας. Οὕτως οὖν ὁ μὲν μεσὸ ἐχώρει πρόσω, καταστοχαζόμενος ταῖς χερσὶ τοῦ ἀντιπάλου· ὁ δὲ τοῦ Τυνδάρεω, δεξάμενος αὐτὸν ἐπιόντα, ἐπάταξεν αὐτὸν κατ᾽ ἄκρον τὸν πώγωνα· ἐκεῖνος δ᾽ ἐρεθισθεὶς ἐντεῦθεν, καὶ συνταράξας τὸν ἀγῶνα, ὤθει ῥαγδαῖος, κεκυφὼς πρὸς τὴν γῆν· κἀνταῦθα οἱ μὲν Βέβρυκες ἀνευφήμουν· οἱ δὲ ἥρωες ἐκέλευον Πολυδεύκην θαῤῥεῖν, δεδιότες μή τι ὁ ἀνὴρ ἐκεῖνος, Τιτυῷ ὅλως ἐοικώς, κρατήσῃ, συνελάσας τῷ βάρει πρός στενόν πῃ χωρίον· ἀλλ᾽ ὁ παῖς τοῦ Διός, ἄλλοτ᾽ ἄλλῃ μεταβαίνων, καὶ ἀμοιβαδὸν τιτρώσκων ταῖς χερσὶ ῥαγδαίως, ἐπέσχε τῆς ὁρμῆς τὸν φοβερὸν ἐκεῖνον παῖδα τοῦ Ποσειδῶνος· ἐκ γὰρ τῶν ἐπαλλήλων πληγῶν ἰλιγγιάσας, ἀπείρηκεν, ἐκπτύσας αἷμα· ἐφ᾽ ᾧ πάντες οἱ Ἀργοναῦται, ὡς εἶδον τὰ περὶ τὸ στόμα καὶ τὰς γνάθους τα-

---

κεφαλὴν, ἐξώθει. 94. Τιτυῷ.] Τιτυὸς υἱὸς τῆς γῆς, εἷς τῶν γιγάντων· οὗ τὸ σῶμα ἦν ἐννεάπλεθρον. 98. Μεθύων] ἰλιγγιῶν, ἔξω ἑαυτοῦ γενό-

Ὡς ἴδον ἕλκεα λυγρὰ περὶ στόματε γναθμούς τε,
Ὄμματα δ' οἰδήσαντος ἀπεστείνωτο προσώπου.
Τὸν μὲν ἄναξ ἐτάραξεν, ἐτώσια χερσὶ προδεικνὺς
Πάντοθεν· ἀλλ' ὅτε δή μιν ἀμηχανέοντ' ἐνόησε,
Μέσσας ῥινὸς ὕπερθε κατ' ὀφρύος ἤλασε πυγμὴν,
Πᾶν δ' ἀπέσυρε μέτωπον ἐς ὀστέον· αὐτὰρ ὁ πλαγεὶς,
Ὕπτιος ἐν φύλλοισι τεθαλόσιν ἐξετανύσθη.
Ἔνθα μάχη δριμεῖα πάλιν γένετ' ὀρθωθέντος·
Ἀλλάλους δ' ὄλεκον στερεοῖς θείνοντες ἱμᾶσιν.
Ἀλλ' ὁ μὲν ἐς στῆθός τε καὶ ἔξω χεῖρας ἐνώμα
Αὐχένος ἀρχαγὸς Βεβρύκων· ὁ δ' ἀεικέσι πλαγαῖς
Πᾶν συνέφυρε πρόσωπον ἀνίκατος Πολυδεύκης.
Σάρκες δ' οἱ μὲν ἱδρῶτι συνίζανον· ἐκ μεγάλου δὲ
Αἶψ' ὀλίγος γένετ' ἀνδρός· ὁ δ' αἰεὶ μάσσονα γυῖα
Ἁπτόμενος φορέεσκε πόνου, χροιῇ δ' ἔτ' ἀμείνω.
Πῶς γὰρ δὴ Διὸς υἱὸς ἀδηφάγον ἄνδρα καθεῖλεν;
Εἰπὲ θεὰ, σὺ γὰρ οἶσθα· ἐγὼ δ' ἑτέρων ὑποφήτης·
Φθέγξομαι, ὅσσ' ἐθέλεις σὺ, καὶ ὅππως τοι φίλον αὐτᾷ.

Ἤτοι ὅγε ῥέξαι τι λιλαιόμενος μέγα ἔργον,
Σκαιῇ μὲν σκαιὴν Πυλυδεύκεος ἔλλαβε χεῖρα,
Δοχμὸς ἀπὸ προβολῆς κλινθείς· ἑτέρᾳ δ' ἐπιβαίνων,

---

μενος. 101. Ἀπεστείνωτο.] τοῦ προσώπου οἰδήσαντος, οἱ ὀφθαλμοὶ, κοῖλοι γινόμενοι, ἀποστενοῦνται. 102. Ἐτώσια] προσποιητὰ, εἰκῇ, ὥσπερ σκιαμαχῶν, μέχρις ἂν εὕρῃ καιρὸν κατενεγκεῖν τὴν ἐπ' ἄροτρον. 112. Συνίζανον] ἐμαραίνοντο ἐκ τοῦ πολλοῦ πόνου κεκμηκυῖαι· οἷον, ὁ μὲν ὅσον ἐπόγει τοσοῦτον ἐῤῥυσσοῦτο· ὁ δὲ, ὥσπερ τρεφόμενος τοῖς πόνοις, εὐρύνετο.

σαῦτα ἕλκη ὥστ' ἐξοιδήσαντος τοῦ προσώπου, συναπεκρύβησαν μικροῦ δεῖν αὐτῷ καὶ τὰ ὄμματα, ἀνευφήμησαν ἀθρόοι· Πολυδεύκης δὲ πολλαχῶς ἐν προσποιητοῖς κινήσεσι τῶν χειρῶν ἀπασχολήσας, ὡς ἐννόησεν αὐτὸν ἀμηχανοῦντα κατενεγκὼν τῆς ὀφρύος κατ' ἄκραν ῥίνα, κατέσυρε πᾶσαν σάρκα μέχρι τῶν ὀστέων· ὁ δὲ ἐξετανύσθη μέγας μεγαλωστὶ ἐπὶ τῶν φύλλων· ἐντεῦθεν δ' αὖ, ἀνεγερθέντος αὐτοῦ, ὡς ἐπανελήφθη ἡ μάχη πολλῷ ἰσχυροτέρα, ἔκοπτον αὖθις ἀλλήλους τοῖς ἱμᾶσιν· ἀλλ' ὁ μὲν τῶν Βεβρύκων ἀρχηγὸς, ἔξω τῆς κεφαλῆς καὶ τοῦ αὐχένος κινῶν τὰς χεῖρας, ἀμφὶ τὸ στῆθος εἶχε· Πολυδεύκης δὲ, ἀήττητος ὤν, αὐτοῦ τοῦ προσώπου ἀεὶ καταστοχαζόμενος, ἐπήνεγκε πληγὰς θανατηφόρους· ὥστε τῶν σαρκῶν αὐτοῦ περιεσταλμένων ἐκ πόνου καὶ ἱδρῶτος, αἴφνης ἐκ γίγαντος ἐφάνη αὐτοῖς νάννος· ὁ δὲ Πολυδεύκης, ὅσῳ μᾶλλον ἥπτετο τῶν πόνων, τοσούτῳ αὐτὸς ἑαυτοῦ μείζων καὶ φαιδρότερος ἐδόκει εἶναι.

Ἀλλ' εἰπὲ ἡμῖν, ὦ θεὰ, τὰ λοιπὰ, ὅπως ὁ τοῦ Διὸς παῖς νενίκηκεν ἄνδρα αἱμοβόρον· σὺ γὰρ ταῦτα οἶσθα· ἐγὼ δ' ἑτέρων ὑποφήτης ὢν, ἅ μοι ἂν αὐτὴ ἐμπνεύσῃς, ταῦτ' ἐρῶ, καὶ ταῦθ' ὅπως ἄν σοι βουλομένῃ ᾖ.

Ἄμυκος μὲν οὖν, μέγα τι ἔργον διατεινόμενος ποιῆσαι, λοξῶς προσιὼν ἀπὸ τῆς προβολῆς τοῦ Πολυδεύκους, λαιᾷ τῆς

---

120. Δοχμὸς ἀπὸ προβολῆς κλινθεὶς | προβολὴ ἦν ἡ ἀριστερὰ χεὶρ τοῦ ἀντιπάλου· αὐτὸς οὖν λοξῶς προσιὼν ἔλαβε τὴν χεῖρα τῇ λαιᾷ· εἶτα προβαίνων, ἦρε ἀπὸ τῆς δεξιᾶς ἑαυτοῦ λαγόνος (ἔνθα ἐκρέματο) μέγα τι γυῖον (τὴν ἄαπτον χεῖρα καθ' Ὅμηρον)· παραφραστέον δὲ τὸ χωρίον ἐπὶ τὸ σαφέστερον ὧδε· τῇ μὲν λαιᾷ λαβόμενος τῆς λαιᾶς τοῦ ἀντιπάλου, ἐπέκειτο τῇ ἑτέρᾳ, ἀνενεγκὼν αὐτὴν ἀπὸ τῆς δεξιᾶς αὐτοῦ λαγόνος· τὸ δὲ Ἐπιβαίνων δύναται ἐκληφθῆναι καὶ ἀντὶ τοῦ Διαβαίνων, ὅ ἐστιν ἀνοικτοῖς τοῖς σκέλεσιν ἐπιστηρι-

Δεξιτερῆς ἤνεγκεν ἄπαὶ λαγόνος πλατὺ γυῖον.
Καί κε τυχὼν ἔβλαψεν Ἀμυκλαίων βασιλῆα·
Ἀλλ' ὅγ' ὑπεξανέδυ κεφαλῇ· στιβαρᾷ δ' ἄρα χειρὶ
Πλᾶξεν ὑπὸ σκαιὸν κρόταφον, καὶ ἐπέμπεσεν ὤμῳ·
Ἐκ δ' ἐχύθη μέλαν αἷμα θοῶς κροτάφοιο χανόντος.
Λαιῇ δὲ στόμα τύψε, πυκνοὶ δ' ἀράβηταν ὀδόντες·
Αἰεὶ δ' ὀξυτέρῳ πιτύλῳ δαλεῖτο πρόσωπον,
Μέχρι συνηλοίησε παρήϊα· πᾶς δ' ἐπὶ γαῖαν
Κεῖτ' ἀλλοφρονέων, καὶ ἀνέσχεθε, νῖκος ἀπαυδῶν,
Ἀμφοτέρας ἅμα χεῖρας, ἐπεὶ θανάτου σχεδὸν ἦεν.
Τὸν μὲν ἄρα, κρατέων περ, ἀτάσθαλον οὐδὲν ἔρεξας,
Ὦ πύκτα Πολύδευκες· ὄμοσσε δέ τοι μέγαν ὅρκον,
Ὃν πατέρ' ἐκ πόντοιο Ποσειδάωνα κικλήσκων,
Μήποτ' ἔτι ξείνοισιν ἑκὼν ἀνιηρὸς ἔσεσθαι.
Καὶ σὺ μὲν ὕμνησαί μοι, ἄναξ· σὲ δὲ, Κάστορ, ἀείσω,
Τυνδαρίδα, ταχύπωλε, δορυσσόε, χαλκεοθώραξ.
Τὼ μὲν ἀναρπάξαντε δύω φερέτην Διὸς υἱὼ
Δοιὰς Λευκίπποιο κόρας· δοιὼ δ' ἄρα τώγε

---

ζόμενος, καὶ δύναμιν ἐντεῦθεν προσκτώμενος. 124. Καὶ ἐπέμπεσεν ὤμῳ] πότερον, ἡ κεφαλὴ τοῦ Ἀμύκου πληγεῖσα, ἔκλινεν ἐπὶ τὸν ὦμον αὐτοῦ ἐκ τῆς ἀράξεως, ἢ ἡ χεὶρ τοῦ πατάξαντος, ἢ ὅλος αὐτὸς ὁ πατάξας; τὸ πρῶτον ἔγωγε οἶμαι. 129. Νῖκο.] ἐν ἄλλοις κεῖται Νεῖκος.

138. Λευκίπποιο.] Λεύκιππος, Τυνδάρεως, καὶ Ἀφαρεὺς ἀδελφοί· ἐγέννησε δὲ ὁ μὲν Λεύκιππος θυγατέρας Ἱλάειραν καὶ Φοίβην ὁ δὲ Τυνδάρεως υἱοὺς Κάστορα καὶ Πολυδεύκην. Ἀφαρεὺς δὲ Ἴδαν καὶ Λυγκέα· οἱ μὲν οὖν τοῦ Ἀφαρέως ἐμνηστεύσαντο τὰς τοῦ Λευκίππου θυγατέρας ἐπὶ προικὶ κτηνῶν καὶ ἄλλων κτημάτων· καὶ οἱ ὅρκοι ἐπὶ τούτοις ἐγένοντο ἐν καιρῷ πάντα βέβαια ἔσεσθαι, τῶν κορῶν ἐν ὥρᾳ γενησομένων γάμου ἐν τούτῳ Κάστωρ

ἐκείνου ἐλάβετο λαιᾶς· ἀνενεγκὼν δὲ τὴν ἑτέραν ἀπὸ τῆς δεξιᾶς λαγόνος, μέγα τι χρῆμα, ταύτῃ ὥρμηται τὸν ἀντίπαλον καταπαλαῖσαι· καὶ ἔβλαψεν ἂν τὸν τῶν Ἀμυκλέων βασιλέα, εἰ μὴ φθὰς ἐκεῖνος παρέκλινε τὴν κεφαλήν· καὶ οὕτω στιβαρωτέρᾳ κατενεγκὼν χειρὶ ἐπὶ τὸν εὐώνυμον τῶν τοῦ Ἀμύκου κροτάφων, ἐνέπεσεν ἡ κεφαλὴ ἐπὶ τὸν ὦμον· κἀντεῦθεν αἷμα πολὺ, διαῤῥαγέντος τοῦ κροτάφου, ἔῤῥει· τῇ δ᾽ αὖ λαιᾷ ἑτέραν κατήνεγκεν ἐπὶ τὸ στόμα· ὥσθ᾽ οἱ ὀδόντες συναράξαντες, ἤχησαν· εἶθ᾽ ὁμοίως ῥαγδαιότερον ἐμπεσὼν τῷ προσώπῳ, κακῶς διέθηκεν αὐτῷ τὰς γνάθους· ὁ δὲ ἐκτὸς ἑαυτοῦ γενόμενος, ἔκειτο ἐπὶ τῆς γῆς, μηκέτ᾽ ἀνορθωθῆναι δυνάμενος· ἀλλ᾽ ἀφέμενος τῆς μάχης, ἀνέσχε τὰς χεῖρας, ἐγγὺς ἰδὼν προσιόντα τὸν θάνατον. Ἀλλὰ σύγ᾽, ὦ πύκτα Πολύδευκες, καί περ κρείττων γενόμενος, οὐδὲν ἀηδὲς ἐποίησας τὸν ἀντίπαλον, πλὴν ὅτι ὤμωσε Ποσειδῶνι τῷ πατρὶ, ἦ μὴν μηκέθ᾽ ἑκὼν εἶναι τοὺς ξένους βλάψειν.

Καὶ πρὸς σὲ μὲν, ὦ Πολύδευκες, τοῦτό μοι εἰρήσθω μέλος· νῦν δὲ πρὸς σὲ, ὦ Κάστωρ, Τυνδαρίδα, ταχύπωλε, δορυσσόε, χαλκοθώραξ, ἡ ἐμὴ μέτεισι Μοῦσα.

Οὗτοι μὲν οἱ δύο παῖδες τοῦ Διὸς, ἀναρπάσαντες ἦγον τὰς δύο παῖδας τοῦ Λευκίππου· Λυγκεὺς δὲ καὶ Ἴδας οἱ Ἀ-

---

καὶ Πολυδεύκης ζηλοτυπήσαντες καὶ ἑαυτοῖς τὸν γάμον μᾶλλον προσήκειν νεμίσαντες, ἀναρπάσαντες τὰς παρθένους, ἔφευγον· οἱ δὲ μαθόντες τὰ γινό-

Ἐσσυμένως ἐδίωκον ἀδελφεὼ, υἶ' Ἀφαρῆος,
Γαμβρὼ μελλογάμω, Λυγκεὺς καὶ ὁ καρτερὸς Ἴδας.
Ἀλλ' ὅτε τύμβον ἵκανον ἀποφθιμένου Ἀφαρῆος,
Ἐκ δίφρων ἅμα πάντες ἐπ' ἀλλάλοισιν ὅρουσαν,
Ἔγχεσι καὶ κοίλοισι βαρυνόμενοι σακέεσσι.
Λυγκεὺς δ' αὖ μετέειπεν ὑπὲκ κόρυθος μέγ' ἀΰσας,
Δαιμόνιοι, τί μάχης ἱμείρετε; πῶς δ' ἐπὶ νύμφαις
Ἀλλοτρίαις χαλεποὶ, γυμναὶ δ' ἐν χερσὶ μάχαιραι;
Ἀμῖν τοι Λεύκιππος ἑὰς ἔδνωσε θύγατρας
Τάσδε πολὺ προτέροις· ἀμῖν γάμος οὗτος ἐν ὅρκῳ.
Ὑμεῖς δ' οὐ κατὰ κόσμον, ἐπ' ἀλλοτρίοις λεχέεσσι,
Βουσὶ, καὶ ἡμιόνοισι, καὶ ἀλλοτρίοις κτεάτεσσιν,
Ἄνδρα παρετρέψασθε, γάμον δ' ἐκλέψατε δώροις.
Ἦ μὰν πολλάκις ὔμμιν ἐνώπιος ἀμφοτέροισιν
Αὐτὸς ἐγὼ τάδ' ἔειπα, καὶ οὐ πολύμυθος ἐών περ·
Οὐχ οὕτω, φίλοι ἄνδρες, ἀριστήεσσιν ἔοικε
Μναστεύειν ἀλόχους, αἷς νυμφίοι ἤδη ἑτοῖμοι.
Πολλά τοι Σπάρτα, πολλὰ δ' ἱππήλατος Ἆλις,
Ἀρκαδία τ' εὔμαλος, Ἀχαιῶν τε πτολίεθρα,
Μεσσάνα τε, καὶ Ἄργος, ἅπασά τε Σισυφὶς ἀκτά·
Ἔνθα κόραι τοκέεσσιν ὑπὸ σφετέροισι τρέφονται
Μυρίαι, οὔτε φυῆς ἐπιδευέες, οὔτε νόοιο.

---

μενον, ἐδίωκον· καὶ καταλαβόντες, ἦλθον εἰς χεῖρας. 144. Ὑπὲκ κόρυθος] τὸ διπλοπρόθετον Ὑπὲκ διπλῆν ἔχει καὶ σημασίαν, οἷον ἐκ τῆς κόρυθος, καὶ ὑπὸ τὴν κόρυθα ὤν· ὡς εἰ ἔλεγε ἐκ τῆς ἀσπίδος, ὑφ' ἣν ἦν κεκαλυμμένος, ἐφώνησε. 151. Ἄνδρα παρετρέψασθε] ἐξηπατήσατε τὸν Λεύκιππον δώ-

φαρέως μὲν παῖδες, ἀδελφιδοῖ δὲ τοῦ Λευκίππου, μελλόγαμβροι ὄντες, ἐδίωκον ὄπισθεν ἐκείνους ἐσπευσμένως· ἀλλ' ἡνίκ' ἀφίκοντο ἐπὶ τὸν Ἀφαρέως τάφον, εὐθὺς ἐκπηδήσαντες ἀπὸ τῶν δίφρων, περιέθεντο τὰ ὅπλα· Λυγκεὺς δ' ἐνταῦθα προϊὼν ὑπὸ τὴν ἀσπίδα, ἔφη ἐς ἐπήκοον πάντων γεγωνυίᾳ τῇ φωνῇ· Δαιμόνιοι ὑμεῖς γε! τίποτε παθόντες, ἐπιθυμεῖτε μάχης; τίποθ' ὑμῖν ἐπῆλθεν ξιφηφόρους ἐπιέναι ἐπ' ἀλλοτρίαις νύμφαις; οὐχ ἡμῖν προτέροις τὰς ἑαυτοῦ θυγατέρας ἐμνήστευτε Λεύκιππος, ὅρκοις τὰ πράγμαθ' ἡμῖν πιστώσας; πῶς οὖν ὑμεῖς δώροις παραπείσαντες τὸν ἄνδρα, ὑπεκλέψατε τὸ πρᾶγμα, ἀλλοτρίοις γάμοις καὶ βουσὶ, καὶ ἡμιόνοις, καὶ πάσῃ ἐπιβουλεύσαντες τῇ κτήσει; Πολλάκις (ἴστε γὰρ τοῦτο) ὅδ' ἐγὼ, καί περ οὐ φιλῶ μηκύνειν, εἶπον τάδε.

Οὐ καλὸν, ὦ φίλοι ἄνδρες, τοῖς ἀρίστοις ἀλλοτρίας μνηστεύεσθαι παρθένους, προμεμνηστευμένας ἄλλοις· πολλὴ γάρ ἐστιν ἡ Σπάρτη, πολλὴ δὲ ἡ ἱππόβωτος Ἦλις, ἥτε πολυθρέμμων Ἀρκαδία, καὶ ἡ Ἀχαΐα, ἡ Μεσήνη καὶ Ἄργος, καὶ πᾶσα ἡ παραλία τοῦ Σισύφου· ἔνθα παρθένοι μυρίαι τρεφόμεναι ὑπὸ μητράσι, εἴδει τε κάλλισται, καὶ γνώμῃ ἄρισται πεφυκυῖαι· Τούτων δὴ ἔξεστιν ὑμῖν ἀγαγέσθαι εἰς γάμον, ἃς ἂν ὑμῖν βουλομένοις ᾖ· πολλοῖς γὰρ ἔφισίς ἐστιν ὑμῶν, ἀρίστων

---

ροις. 154. Τάδ' ἔειπα] τὰ ἑξῆς. 157. Σισυφὶς] ἡ τοῦ Σισύφου ἀρχή· ἢ τοῦ βασιλέως τῆς Κορίνθου. ἢ τῆς Ἰθάκης, ὡς καὶ τοῦ Ὀδυσσέως ἐκ τοῦ Σισύφου κατάγεσθαι διαβαλλομένου· εἶεν οὖν Ἀκτὴ Σισυφὶς κατὰ ταῦτα, ἢ τὰ παράλια τῆς Ἀχαΐας κατὰ τὸ πρῶτον· ἢ τὰ περὶ Κεφαλληνίαν καὶ Ἰ-

Τάων εὐμαρὲς ὔμμιν ὀπυίειν ἅς κ' ἐθέλητε·
Ὡς ἀγαθοῖς πολέες βούλοιντό γε πενθεροὶ εἶναι.
Υ̓́μμες δ' ἐν πάντεσσι διάκριτοι ἡρώεσσι,
Καὶ πατέρες, καὶ ἄνωθεν ἅπαν πατρώϊον αἷμα.
Ἀλλά, φίλοι, τοῦτον μὲν ἐάσατε πρὸς τέλος ἐλθεῖν
Νῶϊ γάμον· σφῷν δ' ἄλλον ἐπιφραζώμεθα πάντες.
Ἴσκον τοιάδε πολλά· τὰ δ' εἰς ὑγρὸν ᾤχετο κῦμα
Πνοιὴ ἔχοισ' ἀνέμοιο· χάρις δ' οὐχ ἕσπετο μύθοις.
Σφὼ γὰρ ἀκηλήτω καὶ ἀπηνέες· ἀλλ' ἔτι καὶ νῦν
Πείθεσθ'· ἄμφω δ' ἄμμιν ἀνεψιὼ ἐκ πατρὸς ἐστόν.
Εἰ δ' ὑμῖν κραδία πόλεμον ποθεῖ, αἵματι δὲ χρὴ
Νεῖκος ἀναῤῥήξαντας ὁμοίϊον, ἔχθεα λῦσαι,
Ἴδας μὲν καὶ ὅμαιμος ἐὸς κρατερὸς Πολυδεύκης
Χεῖρας ἐρωήσουσιν, ἀποσχομένω ὑσμίνης·
Νῶϊ δ' ἐγὼ Κάστωρ τε διακρινώμεθ' Ἄρηϊ,
Ὁπλοτέρω γεγαῶτε· γονεῦσι δὲ μὴ πολὺ πένθος
Ἁμετέροισι λίπωμεν· ἅλις νέκυς ἐξ ἑνὸς οἴκου
Εἷς· ἀτὰρ ὤλλοι πάντας εὐφρανέουσιν ἑταίρους,
Νυμφίοι ἀντὶ νεκρῶν, ὑμεναιώσουσι δὲ κούρας
Τάσδ'· ὀλίγῳ τοι ἔοικε κακῷ μέγα νεῖκος ἀναιρεῖν.
Εἶπε· τὰ δ' οὐκ ἄρ' ἔμελλε θεὸς μεταμώνια θήσειν.

---

θάκην κατὰ τὸ δεύτερον. 160. Φυῆς] σωματικῆ. ἁρμονίας καὶ εὐτραπελότητος. 161. Ὀπυίειν] εἰς γάμον λαβεῖν. 167. Ἴσκον] εἶπον ὅμοια. Παράδοξον δέ, ὅτι ὁ ἡμέτερος ποιητὴς ἐνταῦθα βουλόμενος ὑμνῆσαι τὸν Κάστορα εἰς ἰσχύν, ἔλαθεν πλέξας στέφανον ἐπαίνου τῷ Λυγκεῖ ἐπὶ φρονήσει, τοσοῦτον ἐνδοξότερον, ὅσον ἄνθρωπος διαφέρει θηρίου. 170. Ἀνεψιὼ] πρωτεξάδελφοι. 172. Νεῖκος ὁμοίϊον] ὅμοιον ἀμφοτέρωθεν, ἀμοιβαῖον· τινὲ

ὄντων, πενθεροὺς γενέσθαι, ὡς ἐν πᾶσι τοῖς ἥρωσι διαπρεπόντων, καὶ ἐξ ὁμοίων πατέρων καὶ προγόνων ἄνωθεν καταγομένων· Ἀλλ' ὦ φίλοι, τοῦτον μὲν τὸν γάμον ἐᾶτε ἐλθεῖν εἰς τέλος· περὶ δὲ ὑμῶν φροντιοῦμεν ἐν μέρει πάντες. Τοιαῦτα μὲν πολλάκις ἔφην, ἀλλ' ἄελλαι συναρπάσασαι ταῦτα, ἔρριψαν εἰς ἅλα δίαν· παρ' ὑμῶν δε, ἀκάμπτων καὶ ἀπηνῶν μενόντων οὐδεμία χάρις ἠκολούθησε τοῖς λόγοις· ἀλλ' ἔτι καὶ νῦν πείθεσθέ μοι· καὶ γὰρ ἄμφω ἀνεψιοὶ ἡμῖν ἐστε πατρόθεν· Εἰ δὲ τοὐναντίον ἐπιθυμεῖτε μάχης, δι' αἱμάτων γλιχόμενοι λύσασθαι τὰ διάφορα, καὶ ἔριδα χαλεπὴν ἠθέλετε συγκροῦσαι, ἄλλος λόγος οὗτος· ἵν' οὖν ἔλαττον τοῖς τεκοῦσι πάθος ἀμφότεροι καταλίπωμεν, ὁ μὲν Ἴδας οὑτοσὶ, καὶ ὁ καρτερὸς Πολυδεύκης ὁ σὸς ἀδελφὸς μενέτωσαν ἄπρακτοι κατὰ χώραν· ἡμεῖς δ' οἱ δύο, νεώτεροι ὄντες ἔλθωμεν εἰς χεῖρας· ἅλις γὰρ εἷς ἐξ ἑνὸς οἴκου ἀποθανεῖν· οἱ δ' ἄλλοι περιόντες εὐφρανοῦσι τοὺς ἑαυτῶν φιλτάτους, ἀντὶ νεκρῶν νυμφίοι τῶν νυμφῶν γεγενημένοι τούτων· οὕτω γὰρ ἂν κακὸν κακῷ ἐλάττονι τὸ μεῖζον δόξαιμεν ἐκκρούειν· ὁ μὲν ταῦτ' εἶπεν· θεὸς δ',

---

δέ φασιν, ὡς καὶ παρ' Ὁμήρῳ, ἐκλελῆφθαι τὸ Ὁμοίιον ἀντὶ τοῦ Χαλεπόν· οὐ γὰ πείθουσιν. 173. Ἑός.] ἐν δὲ τῇ ἀρχαίᾳ κεῖται Ἐμὸς, οὐ καλῶς· ἔστι δὲ ἐνταῦθα τὸ τρίτον πρόσωπον Ἑὸς ἀντὶ τοῦ δευτέρου Σὸς, κατά τινα χρῆσιν καὶ παρ' ἄλλοις. 174. Ἐρωήσωσιν] κωλύσουσιν, ἡσυχίαν ἄξουσιν ἀπὸ τῆς μάχης. 176. Ὁπλοτέρω γεγαῶτι] ὁπλότεροι, νεώτεροι· οἷς μάλιστα προσήκει τὰ ὅπλα δι' ἰσχὺν σωματικήν. Το δὲ Γεγαῶτι ἔχει θέμα τὸ Γάω (ἴσον τῷ Γίνομαι) ἐξ οὗ Παρακείμενος Γέγαα καὶ γέγαα· ἡ Μετοχὴ, Γεγαὼς καὶ γεγώς. 181. Τα δὲ] ταῦτα τὰ κακὰ δηλονότι τὰ δεύτερα προβλήματα, οὐ τὰ πρῶτα παραγγέλματα. Μεταμώνια δὲ, ἀνεμώδη, μάταια,

Τὼ μὲν γὰρ ποτὶ γαῖαν ἀπ᾽ ὤμων τεύχε᾽ ἔθεντο,
Τοὶ γενεᾷ προφέρεσκον· ὁ δ᾽ εἰς μέσον ἤλυθε Λυγκεὺς,
Σείων καρτερὸν ἔγχος ὑπ᾽ ἀσπίδος ἄντυγα πράταν·
Ὣς δ᾽ αὔτως ἄκρας ἐτινάξατο δούρατος ἀκμὰς
Κάστωρ· ἀμφοτέροις δὲ λόφων ἐπένευον ἔθειραι.
Ἔγχεσι μὲν πράτιστα τυτισκόμενοι πόνον εἶχον
Ἀλλάλων, εἴπου τι χροὸς γυμνωθὲν ἴδοιεν.
Ἀλλ᾽ ἤτοι τὰ μὲν ἄκρα, πάρος τινὰ δηλήσασθαι,
Δοῦρ᾽ ἐάγη, σακέεσσιν ἐν ἰτεΐνοισι παγέντα.
Τὼ δ᾽ ἄορ᾽ ἐκ κολεοῖϊν ἐρυσσαμένω, φόνον αὖθις
Τεῦχον ἐπ᾽ ἀλλάλοισι· μάχης δ᾽ οὐ γίνετ᾽ ἐρωή.
Πολλὰ μὲν εἰς σάκος εὐρὺ καὶ ἱππόκομον τρυφάλειαν
Κάστωρ, πολλὰ δ᾽ ἔνυξεν ἀκριβὴς ὄμμασι Λυγκεὺς
Τοῖο σάκος, φοίνικα δ᾽ ὅσον λόφον ἵκετ᾽ ἀκωκή.
Τοῦ μὲν ἄκραν ἐκόλουσεν ἐπὶ σκαιὸν γόνυ χεῖρα
Φάσγανον ὀξὺ φέροντος, ὑπεξαναβὰς ποδὶ Κάστωρ
Σκαιῷ· ὁ δὲ πλαγεὶς ξίφος ἔκβαλεν, αἶψα δὲ φεύγειν

---

ἄπρακτα. 182. Ποτὶ γαῖαν ἀπ᾽ ὤμων τεύχε᾽ ἔθεντο] φανερῶς ἔφρασεν ὅτι ἀφωπλίσαντο· ἄλλως δὲ τίθεσθαι τὰ ὅπλα πολλαχῶς λαμβάνεται κατὰ τὰς περιστάσεις, Τίθεσθαι τὰ ὅπλα, καὶ στρατοπεδεύειν, καὶ παρατάττεσθαι, καὶ ἡσυχάζειν, καὶ πρὸς μάχην ἑτοιμάζεσθαι· ἐπὶ δὲ ὁπλίσεως ἀκριβέστερον τὸ Περιτίθεσθαι τὰ ὅπλα, οὗ τοὐναντίον, Ἀποτίθεσθαι. 183. Γενεᾷ] τῇ ἡλικίᾳ. 184. Ἄντυγα πρώτην] Ἄντυξ ἡ τῆς ἀσπίδος περιφέρεια· ἦσαν δ᾽, ὡς ἔοικεν, κύκλοι πολλοὶ, οἷον ἀνέχοντες τοῦ ἐπιπέδου τῆς ἀσπίδος· τούτων δὲ ὁ ἐνδότερος ἴσως ἐλέγετο πρῶτος. 195. Ὅσον λόφον] μόλις ἥψατο τοῦ λόφου. 196. Τοῦ μὲν ἄκραν . . . σκαιῷ] τὸ χωρίον τοῦτο ὡς πυκνὸν ὄν, ἀναλυτέον ὡδί. Ὁ μὲν Λυγκεὺς παρατηρήσας τὸ εὐώνυμον

ὡς ἔοικεν, οὐκ ἠθέλησε διαλύσαι αὐτοῖς τὴν ἔριν· ἀλλ᾽ Ἴδας μὲν καὶ Πολυδεύκης οἱ πρεσβύτεροι καταθέμενοι τὰ ὅπλα, ἠτρέμιζον· Λυγκεὺς δὲ προϊὼν ὑπὸ τὴν ἀσπίδα, ἔπαλλε τὸ δόρυ· ὡς δ᾽ αὔτως καὶ ὁ Κάςωρ ἀπεναντίας ἔσειε καὶ αὐτὸς τὴν τοῦ δόρατος λόγχην· ἡ δὲ ἵππουρις ἄνωθεν ἐπεκύμαινεν ἀμφοτέροις· Πρῶτον τοίνυν, ἐπειδὴ κατεστοχάζοντο ἀλλήλων τοῖς δόρασιν, ἐν ἀγῶνι ἦσαν, εἴτι τοῦ σώματος μέρος ὁποτέρῳ ἴδοιεν παραγυμνωθὲν πῃ τῆς ἀσπίδος· Ἐν τούτοις αὐτῶν βαλλόντων καὶ βαλλομένων, πρίν τι παθεῖν, κατεάγη κατ᾽ ἄκρας ἀμφοτέροις τὰ δόρατα, οἰσυΐνοις ἐμπαγέντ᾽ ἀσπίσιν· οἱ δὲ σπασάμενοι τὰ ξίφη, ᾔεσαν ἐπ᾽ ἀλλήλους φόνον ἐμπνέοντες· καὶ παῦσις μάχης ἐφαίνετο οὐδεμία· πολλάκις μὲν Κάστωρ προσήραξε τὴν ἀσπίδα καὶ τὴν περικεφαλαίαν τοῦ Λυγκέως τῷ ξίφει, πολλάκις δὲ καὶ Λυγκεὺς, ὄμματι παραφυλάττων προσεκτικῷ, ἐπάταξε τὴν τοῦ Κάστορος, ὥσθ᾽ ἡ ἀκωκὴ τοῦ ξίφους ἥψατο τοῦ λόφου τῆς περικεφαλαίας· Ἐνταῦθα τοίνυν ὁρμωμένου τοῦ Λυγκέως ὦσαι τὸ ξίφος ἐπὶ τὸ εὐώνυμον γόνυ τοῦ Κάστορος, φθὰς ἐκεῖνος, ἅμα ἀναστείλας τὸν πόδα πρὸς τοὐπίσω βήματι ἑνὶ, ἀπέ-

---

γόνυ τοῦ Κάστορος παραγυμνωθὲν ὑπὸ τὴν ἀσπίδα, ὡρμήθη ὦσαι ἐπ᾽ αὐτὸ τὸ ξίφος, ὁ δὲ Κάστωρ προϊδὼν τοῦτο, ἀνέσυρε φθὰς τὸν πόδα τοῦτον, καὶ εὑρὼν τὴν χεῖρα ἐκείνου ἐκτεταμένην ἔξω, ἔκοψεν αὐτῆς τὰς ἄκρας. Ἡ δὲ συνθήκη τῶν ὀνομάτων ἔχει οὕτω. Τοῦ μὲν (Λυγκέως) φέροντος φάσγανον ὀξὺ ἐπὶ τὸ σκαιὸν (τοῦ Κάστορος) γόνυ, ὁ Κάστωρ ὑπεξαναβὰς (ἀναστείλας ἑαυτὸν) ποδὶ σκαιῷ, ἐκόλουσεν (ἐκολόβωσεν) ἄκραν χεῖρα (τὴν

Ὡρμάθη ποτὶ σᾶμα πατρὸς, ὅθι καρτερὸς Ἴδας
Κεκλιμένος θαεῖτο μάχην ἐμφύλιον ἀνδρῶν.
Ἀλλὰ μεταΐξας, πλατὺ φάσγανον ὦσε διαπρὺ
Τυνδαρίδας λαγόνος τε καὶ ὀμφαλοῦ· ἔγκατα δ' εἴσω
Χαλκὸς ἄφαρ διέχευεν· ὁ δ' εἰς χθόνα κεῖτο νενευκὼς
Λυγκεὺς, κὰδ δ' ἄρα οἱ βλεφάρων βαρὺς ἔδραμεν ὕπνος.
Οὐ μὰν οὐδὲ τὸν ἄλλον ἐφ' ἑστίῃ εἶδε πατρώῃ
Παίδων Λαοκόωσα, φίλον γάμον ἐκτελέσαντα.
Ἠ γὰρ ὅγε στάλαν Ἀφαρηΐου ἐξανέχουσαν
Τύμβω ἀναῤῥήξας ταχέως Μεσσάνιος Ἴδας,
Μέλλε κασιγνήτοιο βαλεῖν σφετέροιο φονῆα·
Ἀλλὰ Ζεὺς ἐπάμυνε, χερῶν δέ οἱ ἔκβαλε τυκτὰν
Μάρμαρον, αὐτὸν δὲ φλογέῳ συνέφλεξε κεραυνῷ.
Οὕτω Τυνδαρίδαις πολεμιζέμεν οὐκ ἐν ἐλαφρῷ.
Αὐτοί τε κρατέοντε, καὶ ἐκ κρατέοντος ἔφυσαν.

Χαίρετε Λήδας τέκνα, καὶ ἀμετέροις κλέος ὕμνοις
Ἐσθλὸν ἀεὶ πέμποιτε. φίλοι δέ γε πάντες ἀοιδοὶ
Τυνδαρίδαις, Ἑλένᾳ τε, καὶ ἄλλοις ἡρώεσσιν,
Ἴλιον οἳ διέπερσαν, ἀρήγοντες Μενελάῳ.
Ὑμῖν κῦδος, ἄνακτες, ἐμήσατο Χῖος ἀοιδὸς,
Ὑμνήσας Πριάμοιο πόλιν, καὶ νῆας Ἀχαιῶν,
Ἰλιάδας τε μάχας, Ἀχιλῆά τε πύργον ἀϋτῆς.
Ὑμῖν δ' αὖ καὶ ἐγὼ λιγεῶν μειλίγματα Μουσῶν,
Οἷ' αὐταὶ παρέχουσι, καὶ ὡς ἐμὸς οἶκος ὑπάρχει,
Τοῖα φέρω. γεράων δὲ θεοῖς κάλλιστον ἀοιδή.

---

ἐκείνου). 206. Λαοκόωσα] ἡ μήτηρ τῶν παίδων, γυνὴ τοῦ Ἀφαρέως, ἡ παρ' Ἀπολλοδώρῳ Ἀρήνη, ἢ Πολυδώρα καλουμένη. 207. Στάλαν] στήλην ἐξέχουσαν τοῦ μνήματος· ἢ καὶ ἐφόνευσε Κάστορα, κἂν ὁ ποιητὴς ἀποσι-

ΤΕΛΟΣ ΤΟΥ ΠΡΩΤΟΥ ΤΟΜΟΥ.

κοψεν αὐτοῦ ἄκραν τὴν χεῖρα· ὁ δὲ πληγεὶς, ῥίψας τὸ ξίφος, ὡρμήθη καταφυγεῖν πρὸς τὸ πατρῷον μνῆμα, ἔνθα ὁ Ἴδας, ἀγαθὸς ὢν ἀνὴρ, ἐθεᾶτο καθήμενος τὸν ἀγῶνα· ἀλλ' ὁ Κάστωρ ἀναπηδήσας τοῦ πρόσω, καὶ τὸ ξίφος διελάσας αὐτῷ εἰς τὸν ὀμφαλὸν διαμπὰξ, διεῖλε πάντα τὰ ἔγκατα· τῷ δὲ καταπεσόντι, ἐλθὼν ὁ τοῦ θανάτου ὕπνος, ἐκάλυψεν αὐτῷ τὰ βλέφαρα· Ἀλλ' οὐδὲ μέχρι δεῦρο ἔστη τὸ κακόν· οὐδὲ γὰρ τὸν ἕτερον παῖδα ἡ μήτηρ Λαοκόωσα εἶδεν ἔτι ἐν τῇ πατρῴᾳ ἑστίᾳ τέλος δόντα τῷ γάμῳ· Ἴδας γὰρ ἅμ' ἰδὼν τὸν ἑαυτοῦ ἀδελφὸν πεσόντα, ἀνασπάσας στήλην ἀνέχουσαν ἐπὶ τοῦ Ἀφαρείου τάφου, ἤισιν ὁμόσε ταύτῃ ἐπὶ τὸν φονέα τοῦ Λυγκέως· ἀλλ' ὁ Ζεὺς ἀπαμύνας αὐτῷ, τήν τε μάρμαρον ἐποίησεν ἐκπεσεῖν τῶν χειρῶν, καὶ τῷ κεραυνῷ αὐτὸν κατέκαυσεν· οὕτω χαλεπόν ἐστι τῷ παντὶ πόλεμον ἄρασθαι πρὸς Τυνδαρίδας· αὐτοί τε γάρ εἰσιν κράτιστοι, κἀκ κρατίστων γεγενημένοι.

Χαίρετε τοίνυν παῖδες τῆς Λήδας, καὶ κλέος τοῖς ἡμῶν πέμπετε ὕμνοις· πάντα γὰρ φίλα πρὸς Τυνδαρίδας τοῖς ὑμνῳδοῖς, τῇ θ' Ἑλένῃ αὐτῇ καὶ τοῖς τὴν Τροίαν συνεξελοῦσι· Μέγα μὲν κλέος ὑμῖν, ὦ ἄνακτες, περιέθηκεν ὁ Χῖος ποιητὴς, τήν τε Πριάμου ὑμνήσας πόλιν, τάς τε νῆας τῶν Ἑλλήνων, καὶ τὰς ἐν Ἰλίῳ μάχας· καὶ τελευτῶν Ἀχιλλέ' αὐτὸν τὸ τοῦ πολέμου μέγα ἔρυμα· Τοιαῦτα τοίνυν μειλίγματα κἀγὼ λιγυφθόγγων Μουσῶν, οἷά μοι παρέχουσιν αὗται, καὶ θυμὸς οἴκος χωρεῖ, ὑμῖν προσφέρω· πάντων γὰρ γερῶν θεοῖς κάλλιστον ὕμνος.

---

μνύνων τὸν ἥρωα παρασιωπεῖ τοῦτο. 220. Πῦργον αὐτῆς] ἀντέρεισμα καὶ ὀχύρωμα τῆς μάχης. 221. Λιγεῶν] λιγὺς, λιγεῖα, λιγυιῶν καὶ λιγεῶν· ὀξυφώνων, εὐφώνων.

## ΤΕΛΟΣ ΤΟΥ ΠΡΩΤΟΥ ΤΟΜΟΥ.

# ΠΑΡΟΡΑΜΑΤΑ.

## ΕΝ ΤΩι ΚΕΙΜΕΝΩι.

Σελ. 14. στίχ. 66. Τάκετο, γρ. ἐτάκετο· αὐτόθι. 67. ἤ, ἦ. 20; 123. ἐσσί. 32. 51. ἔκτοσθε. 38, 109. Φωνεῦτα· 40, 44. ἦ ῥά με· 64, 24. καλὰ φύοντι γρ. καλὰ πάντα φύοντι· 74, 13. λοίσθια. 76, 27. κακάν. 86, 88. μάλοισι. 88, 101. τοῦτο. αὐτόθι, 107· ὧν γρ. ἐν 100, 26. ἀΐοισα. 110, 56. Ἀλκυόνες. 112, 77. ἢ Ῥοδόπαν. αὐτόθι, 74. καὶ ὡς δρύες. καὶ στίχ. 83. τὸ θὴν γρ. τὺ θήν. 114, 88. εἰσαΐων. καὶ στίχ. 102. αἴθετ'. 160· 77. πολλαί. 164, 17. εἰ γάρ· 170, 11. ἀνατρέχοι· 172, 44. δειναί. 180, 9. λασῶ· 208, 115. πλαθάνω. 238, 128· ἀρείων. 242, 11. εὐνάν. 260, 21 μακρά.

## ΕΝ ΤΗ ΠΑΡΑΦΡΑΣΕΙ.

Σελ. 5. στίχ. 3. σύριγκι, γρ. σύριγγι. 11, 14. βρίθουσα, 13, 2. βρώσιμον 13, 2. ἀνθέριξι. καὶ 16· ὃς ἀντὶ τοῦ, ὅν. 15, 16. Ἰδοῦσαι· 21, 7. ῥεῖθρα. 23, 16. ἀμφεκάλυψεν. 29, 4. ἀναῤῥιπίσαντες· 29, 19. τῷ πυρί. 33, 3. ἐμή. 35, 1. ἀθρόον. 35, 10. λειπομένη. 39, 4. φιληδεῖ. 41, 1. εἰσιδὼν, εἰσεῖδε. 44, 3· Ερως. 51, 8. αἰτία. 75, 2. ὃς πρώην καὶ 13 ἔσμυχε. 93. 16. ἔχθραν. 99. ἦδον ἀντὶ τοῦ εἶδον· καὶ 9. αὐτῇ. 107, 7. ἐφθημεν· 127, 8. ἡμῖν· 129, 8. οὔθατα σφριγῶσι. 133, 16. φύλλοις· 137, 5· περιϊόντα. 156, 23. δρεψομένη. 175. ἤκουσεν ἀντὶ τοῦ ἤκουσα, 183, 16. εὐπίτριπτος. 189, 2. χλαμύδα. 202, 4. πάρεστι· 213, 3. μεμέρισται. 223, 9. ἀνασκιρτῶντα. 229, 20. Ὕλλον. 233, 21. ἔχουσαν. 247, 17. Εὐπένθερε. 255, 5, καὶ διεμύλλαινε. 267, 9. τοὺς ἀστέρας· καί, παρορῶντες. 277, 1. καρηκρμῶντες.

## ΕΝ ΤΟΙΣ ΣΧΟΛΙΟΙΣ.

Σελ. 9. στίχ. 7. παροχεῖται γρ. περιχεῖται. 11, 9. αἱμάσσειν. καὶ περιθριγκουμένην. 12, 7. εἴην ἀντὶ τοῦ εἶεν. 16, 5. ὁ Δάφνις, 18, 10. ἐξενεχθέν. 20, 7, ἐνδιαιτώμεναι: 54, 10. τούτου. καὶ 12. μάντεως. 65. 4. ἀκρωτήριον πρὸς ἀνατολάς· 78, 1. τερετίζοντι 81, 2. γνωστά. 115, 2. τὸν ἀντὶ τοῦ τῶν. 127, 3. κληΐζονται. 148, 2. χλωρότητα. 148, 5. σπείρουσι· 161, 3. κιχλίζουσι· 182, 8. συνανακειμένων. 205, 8. αὐτῶν ἀντὶ αὐτόν.

# ΘΕΟΚΡΙΤΟΣ.

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ

# ΘΕΟΚΡΙΤΟΣ.

## ΠΑΡΑΦΡΑΣΘΕΙΣ, ΣΧΟΛΙΑΣΘΕΙΣ ΤΕ, ΚΑΙ ΕΚΔΟΘΕΙΣ

ΥΠΟ

*ΝΕΟΦΥΤΟΥ ΔΟΥΚΑ.*

ΕΙΣ ΤΟΜΟΥΣ ΔΥΟ.

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ.



ΕΝ ΑΙΓΙΝΗι,

ΕΚ ΤΗΣ ΤΥΠΟΓΡΑΦΙΑΣ ΑΝΔΡΕΟΥ ΚΟΡΟΜΗΛΑ.

1839.

Χρὴ Μουσῶν θεράποντα καὶ ἄγγελον, εἴτι περισσὸν
εἰδείη σοφίης, μὴ φθονερὸν τελέθειν·
Ἀλλὰ τὰ μὲν μῶσθαι, τὰ δὲ δεικνύναι, ἄλλα δὲ ποιεῖν.
τί σφιν χρήσηται μοῦνος ἐπιστάμενος; Θέογ. 747.

# ΥΠΟΘΕΣΙΣ

## ΤΟΥ ΚΓ΄. ΕΙΔΥΛΛΙΟΥ.

Παιδος τις ἔρωτι ἁλοὺς, οὐκ ἐδύνατο τυχεῖν, ὧν ἐσκόπει, ἀγρίου ὄντος καὶ ἀνενδότου τοῦ ἐρωμένου· ἐλθὼν παρ᾽ αὐτὸν, ἀπήγξατο, ἀπαιωρίσας ἑαυτὸν ἀπὸ τῆς θύρας· ὁ δὲ παῖς ἰδὼν, ἀπῄει σὺν τάχει λουσόμενος, ἔνθα τὸ τοῦ Ἔρωτος ἄγαλμα ἦν ἱδρυμένον· τὸ δὲ, καταπεσὸν ἐπ᾽ αὐτὸν ἐξ ὀργῆς, ἐφόνευσε.

# ΕΡΑΣΤΗΣ Η ΔΥΣΕΡΩΣ.

## *ΕΙΔΥΛΛΙΟΝ ΚΓ'.*

### ΚΕΙΜΕΝΟΝ.

ΑΝΗΡ τις πολύφιλτρος ἀπηνέος ἤρατ' ἐφάβω,
Τὰν μορφὰν ἀγαθῶ, τὸν δὲ τρόπον οὐκ ἔθ' ὁμοίω.
Μίσει τὸν φιλέοντα, καὶ οὐδὲ ἓν ἅμερον εἶχε·
Κοὐκ ᾔδη τὸν Ἔρωτα, τὶς ἦν θεὸς, ἡλίκα τόξα
Χερσὶ κρατεῖ, πῶς πικρὰ βέλη ποτὶ παιδία βάλλει.
Πάντα δὲ κὴν μύθοισι καὶ ἐν προσόδοισιν ἀτειρής.
Οὐδέ τι τῶν πυρσῶν παραμύθιον, οὐκ ἀμάρυγμα
Χειλέος, οὐκ ὄσσων λιπαρὸν σέλας, οὐ ῥοδόμαλον,
Οὐ λόγος, οὐχὶ φίλαμα τὸ κουφίζον τὸν ἔρωτα.
Οἷα δὲ θὴρ ὑλαῖος ὑποπτεύησι κυναγὼς,
Οὕτω πάντ' ἐποίει ποτὶ τὰν βροτόν· ἄγρια δ' αὐτῷ
Χείλεα, καὶ κῶραι δεινὸν βλέπον, εἶχεν ἀνάγκαν·

---

4. Ἤδη.] τῆς ἀρχαίας καὶ Ὁμηρικῆς γλώσσης ἐστὶ τοῦτο ἀντὶ τοῦ Ἤδει. 6 Ἐν προσόδοισιν] ἐν ταῖς μετ' ἀλλήλων ἀναστροφαῖς. Ἀτειρὴς δὲ ὡς ὁ σίδηρος μὴ ὑπείκων, ἀμάλακτος. 7. Ἀμάρυγμα] καὶ ἀμαρυγὴ, τὸ τοῦ χρώματος ἀποστίλβωμα, ἡ ἐπικαθημένη τοῖς χείλεσι χάρις. 12. Εἶχεν ἀνά-

# ΕΡΑΣΤΗΣ η ΔΥΣΕΡΩΣ.

## ΕΙΔΥΛΛΙΟΝ ΚΓ'.

### ΠΑΡΑΦΡΑΣΙΣ.

ΑΝΗΡ τις τῶν σφόδρα τοῖς ἔρωσι κατεσχημένων, ἠράσθη ποτὲ παιδὸς ἐφήβου, ἀγαθοῦ μὲν ἰδεῖν, τὸν δὲ τρόπον οὐκέθ' ὁμοίου· ἀπηνὴς γάρ τις ἦν, καὶ τὸν ἐρῶντ' ἐμίσει, μηδὲν ἐπιεικὲς πρὸς αὐτὸν ἐνδεικνύμενος· οὔπω γὰρ ἔγνω τὸν ἔρωτα, ὅςτις θεός ἐστιν, οὐδ' ἃ ἐν ταῖς χερσὶ τυγχάνει περιστρέφων τόξα, οὐδ' ἡλίκα ἐπὶ τοὺς παῖδας ἀφίησι βέλη· ἀλλ' ἦν ὅλως ἄτεγκτος μὲν ἐν λόγοις, ἀμείλικτος δὲ κἀν ταῖς πρὸς ἀλλήλους ἐντεύξεσιν· Ἐντεῦθεν ἄρα τῶν ἐρωτικῶν φλογῶν ἦν αὐτῷ φάρμακον οὐδὲν οὐδαμόθεν, μήτε χείλους ἐρύθημα ὑπομαρμαῖρον, μήτ' ὀμμάτων σελάγισμα ἀγλαὸν, μήτε παρειᾶς ῥοδόμηλον, οὐ λόγος, οὐ φίλημα, τὸ τὸν ἔρωτα πεφυκὸς ἀνακουφίζειν· ἀλλ' ὅπερ τὰ ὀρεινὰ θηρία ποιοῦσι πρὸς τοὺς κυνηγοὺς, τοῦτο πρὸς τὸν ἐραστὴν κἀκεῖνος ἠγρίαινεν· εὐθὺς γὰρ τοῖς τε χείλεσιν ἐτραχύνετο, καὶ τοῖς ὄμμασι πῦρ ἐφαίνετο βλέπειν, ὥσπερ ἐν μεγίστῃ γενόμενος ἀγωνίᾳ·

---

γκην] οὐκ οἶδ' ὅτι ποτὲ σημαίνει τοῦτο, εἰμὴ ὅτι, παρεῖχεν ἀπήνειαν, ἐδεί-

Τὰ δὲ χολᾷ τὸ πρόσωπον ἀμείβετο· φεῦγε δ' ἀπὸ χρὼς
Ὕβριν τᾶς ὀργᾶς περικείμενος, ἀλλὰ καὶ οὕτως
Ἦν καλός· ἐξ ὀργᾶς ἐρεθίζετο μᾶλλον ἐραστάς.
Λοίσθιον οὐκ ἤνεικε τόσαν φλόγα τᾶς Κυθερείας,
Ἀλλ' ἐνθὼν ἔκλαιε ποτὶ στυγνοῖσι μελάθροις,
Καὶ κύσε τὰν φλιάν· οὕτω δ' ἀνενείκατο φωνάν·

Ἄγριε παῖ καὶ στυγνὲ, κακᾶς ἀνάθρεμμα λεαίνης
Λάϊνε παῖ, καὶ ἔρωτος ἀνάξιε, δῶρά τοι ἦνθον
Λοίσθια ταῦτα φέρων τὸν ἐμὸν βρόχον· οὐκ ἔτι γάρ σε
Κῶρ', ἐθέλω λυπεῖν κεχολωμένον· ἀλλὰ βαδίζω
Ἔνθα τύ μευ κατέκρινας· ὅπῃ λόγος ἦμεν ἀταρπὸν,
Ξυνὸν τοῖσιν ἐρῶσι τὸ φάρμακον, ἔνθα τὸ λᾶθος.
Ἀλλὰ καὶ ἢν ὅλον αὐτὸ λαβὼν ποτὶ χεῖλος ἀμέλξω,
Οὐδέ κε τὼς σβέσσω τὸν ἐμὸν πόθον· ἄρτι δὲ χαίρειν
Τοῖσι τεοῖς προθύροις ἐπιβάλλομαι· οἶδα τὸ μέλλον·
Καὶ τὸ ῥόδον καλόν ἐστι, καὶ ὁ χρόνος αὐτὸ μαραίνει·
Καὶ τὸ ἴον καλόν ἐστιν ἐν εἴαρι, καὶ ταχὺ γηρᾷ·
Λευκὸν τὸ κρίνον ἐστὶ, μαραίνεται, ἀνίκα πίπτει.
Ἁ δὲ χιὼν λευκὰ, καὶ τάκεται, ἀνίκα παχθῇ·
Καὶ κάλλος καλόν ἐστι τὸ παιδικὸν, ἀλλ' ὀλίγον ζῇ.

---

κνειεν αὐστηρότητα, ἀγριότητα. 14. Περικείμενος.] τί ὅτι μὴ γράψομεν Περικείμενον; ἵνα ᾖ, ἀπέφευγεν αὐτὸν ὁ χρὼς, ὕβριν ἐκ τῆς ὀργῆς περικείμενον. 16. Τόσαν φλόγα] ἐν τῇ ἀρχαίᾳ ἀντὶ τούτου κεῖται, Τὰ σύμφορα. Κυθέρειαν λέγει τὴν Ἀφροδίτην ὡς ἐν Κυθήροις τιμωμένην. 18. Φλιὰν] οἱ ἑκατέρωθεν παραστάται τῆς θύρας, καὶ ὁ ἀνώτατος πάντων ὁ ὁριζόντειος λέγεται φλιά· ὁ δὲ κάτω, ὃν πατοῦντες εἰσίεμεν, λέγεται, οὐδός. 21. Λᾶθος] λῆθος, τὸ τῆς λήθης ὕδωρ· οὗ πίνοντες οἱ ἐν Ἅδου, ἐπελανθά-

κἀντεῦθεν χολὴ εὐθὺς αὐτῷ παντὸς κατεχεῖτο τοῦ προσώπου, τοῦ χροὸς ἀπολιπόντος αὐτὸν, ὡς ὑβριστὴν δι' ὀργὴν γεγενημένον· καί τοι καὶ οὕτως αὖ καλὸς ἦν, ἐπὶ πλέον τοὺς ἐραστὰς τῇ ὀργῇ ἐξερεθίζων. Τέως δ' οὖν μὴ δυνάμενος ἐκεῖνος ἐνεγκεῖν τὴν τῆς Κύπριδος τοσαύτην φλόγα, προσελθὼν εἰς τὴν τοῦ παιδὸς οἰκίαν, καὶ τὴν φλιὰν καταφιλήσας, ὠδύρετο ἐκεῖνα λέγων.

Ὦ παῖ, ἄγριε καὶ στυγνὲ παῖ, ἀνάθρεμμα κακῆς λεαίνης, ἠλίθιε, καὶ τοῦ Ἔρωτος ἀπότροφε, ἥκω σοι ὕστατα δῶρα τὸν ἐμὸν τοῦτον βρόχον φέρων· οὐκέτι γὰρ λυπήσω σε οὕτως ἀπεχθημένον πρός με· ἀλλ' εἶμι, ἔνθ' αὐτός με ἠνάγκασας ἰέναι, ἔνθ' ὁδὸς κοινή ἐστι τὸ μόνον τοῖς ἐρῶσι παραμύθιον, ἔνθα τὸ τῆς λήθης ἐστὶν ὕδωρ· καί τοι κἀκεῖθεν εἰ καὶ ὅλοις ὅλον αὐτὸ χείλεσιν ἐπαρυσαίμην, οὐκ οἶδ', εἰ οἷός τ' ἔσομαι ἅπασαν τὴν φλόγα ἀποσβέσαι. Τέως δ' οὖν ἐγὼ ἀρκοῦμαι ἀναπαύσασθαι παρὰ τοῖς σοῖς προθύροις. οἶδα γὰρ ἀκριβῶς τὸ μέλλον· καλὸν μὲν τὸ ῥόδον, ἀλλ' ὁ χρόνος αὐτὸ μαραίνει· καλὸν δὲ καὶ τὸ ἴον ἦρι· ἀλλὰ ταχὺ γηράσκει· λευκὸν δὲ καὶ τὸ κρίνον ἐστὶν, ἀλλ' εὐθὺς ἐκπεσὸν, ἀποσβέννυται· λευκὴ δὲ καὶ ἡ χιὼν, ἀλλὰ τακεῖσα, εἰς ῥευστὸν μεταβάλλει. οὕτω καὶ τὸ κάλλος τῶν παίδων καλὸν μὲν, ἀλλ' ἄστα-

νοντο πάντων τῶν ἐπὶ γῆς. 27. Ἐπιβάλλομαι] ἄπορόν μοι τοῦτό ἐστιν· εἰ μὴ γὰρ τὸ, Ἐπιβάλλομαι, δεξαίμεθα ἀντὶ τοῦ, Ἐπαγγέλλω, κελεύω σε χαίρειν, παράδοξον ἔσται καὶ ἀσυνήθιστον· εἰδὲ ἀναλύοντες εἴποιμεν, Ἐπιβάλλω ἐμαυτὸν (προσδιορίζω) χαίρειν (ἵνα χαίρω) τοῖς προθύροις, ὑποφαίνεταί τι φῶς. λέγομεν γὰρ ἔα χαίρειν τούτοις, καὶ χαίρω τούτοις· καὶ οὕτως ἔσται τὸ χαίρειν ἀντὶ ἀγαπᾷν τὸ, εὐχαριστεῖσθαι, ἐξαρκεῖσθαι· εἰ δέ τι με λαν-

Ἥξει καιρὸς ἐκεῖνος, ὁπηνίκα καὶ τὺ φιλάσεις,
Ἁνίκα τὰν καρδίαν ὀπτεύμενος, ἁλμυρὰ κλαύσεις.
Ἀλλὰ τὺ, παῖ, κἂν τοῦτο πανύστατον ἁδύ τι ῥέξον·
Ὁππόταν ἐξενθὼν ἠρτημένον ἐν προθύροισι
Τοῖσι τεοῖσιν ἴδῃς, τὸν τλάμονα μή με παρένθῃς·
Στᾶθι δὲ, καὶ βραχὺ κλαῦσον· ἐπισπείσας δὲ τὸ δάκρυ
Λῦσον τῷ σχοίνῳ με, καὶ ἀμφίθες ἐκ ῥεθέων σῶν
Εἵματα, καὶ κρύψον με, τὸ δ' αὖ πύματόν με φίλασον,
Κἂν νεκρῷ χάρισαι τὰ σὰ χείλεα· μή με φοβαθῇς·
Οὐ δύναμαι ζῆν, εἴγε διαλλάξας με φιλάσεις·
Χῶμα δέ μοι κοίλανον, ὅ μευ κρύψει τὸν ἔρωτα.
Κἂν ἀπίῃς, τόδε μοι τρὶς ἐπάϋσον, Ὦ φίλε κεῖσαι.
Ἢν δέ γε λῇς, καὶ τοῦτο, Καλὸς δέ μοι ὤλεθ' ἑταῖρος.
Γράψον καὶ τόδε γράμμα, τό σοι στίχοισι χαράξω·
ΤΟΥΤΟΝ ΕΡΩΣ ΕΚΤΕΙΝΕΝ, ΟΔΟΙΠΟΡΕ, ΜΗ ΠΑΡΟΔΕΥΣῌΣ.
ΑΛΛΑ ΣΤΑΣ ΤΟΔΕ ΛΕΞΟΝ, ΑΠΗΝΕΑ ΕΙΧΕΝ ΕΤΑἸΡΟΝ.
Ὧδ' εἰπὼν, λίθον εἷλεν· ἐρεισάμενος δ' ἐπὶ τοίχῳ
Ἄχρι μέσων οὐδῶν φοβερὸν λίθον, ἧπτεν ἀπ' αὐτῶν
Τὰν λεπτὰν σχοινῖδα· βρόχον δ' ἔμβαλλε τραχήλῳ.
Τὰν ἕδραν δ' ἐκύλισεν ὑπὲκ ποδὸς, ἠδ' ἐκρεμάσθη
Νεκρός· ὁ δ' αὖτ' ὤϊξε θύρας, καὶ τὸν νεκρὸν εἶδεν
Αὐλᾶς ἐξ ἰδίας ἠρτημένον· οὐ δ' ἐλυγίχθη
Τὰν ψυχὰν, οὐ κλαῦσε νέον φόνον, ἀλλ' ἐπὶ νεκρῷ

---

θάνῃ, λεγέτω ἄλλος τὸ ἀτρεκές. 35. Κἂν] μειωτικῶς ἀντὶ τοῦ Γέ, Γοῦν· ὡς καὶ κατωτέρω στίχ. 41. ὅπερ παρὰ τοῖς ἀρίστοις τῶν συγγραφέων

τον καὶ ὠκύμορον. Ἀλλ᾽ ἔσται ὅτε καὶ σοῦ κρατήσει ἔρως, ὁπότ᾽ αἰσθόμενος τὸ πῦρ αὐτοῦ ἐν τῇ καρδίᾳ, πικρὰ δάκρυα κατὰ τῶν παρειῶν ἀφήσεις. Ἀλλὰ σύ γ᾽, ὦ μειράκιον, ἐκεῖνο, χάριν ὑστάτην φέρων, ὕστατον ἐμοὶ ποιήσειας ἄν, ἅμα ἐξελθὼν τῆς σῆς οἰκίας· ἰδὼν γάρ με τὸν ἄθλιον ἠρτημένον ἐν προθύροις, μὴ παρέλθῃς· ἀλλ᾽ ἐπισχὼν, καὶ δάκρυ βραχὺ κατασπείσας, λῦσον με τοῦ βρόχου· εἶθ᾽ οὕτω τοῖς σαυτοῦ περιστείλας ἱματίοις, καὶ περικαλύψας τὰ εἰκότα, φίλησόν με τὸ ὕστατον, καὶ νεκρὸν γοῦν, εἰ μήπω ζῶντα· οὐ γὰρ δέος μή τι φίλημα ἡδὺ οἷόν τε ᾖ νεκροὺς ἐξαναστῆσαι· ἀλλὰ κοίτην τινὰ κοίλην φρόντισόν μοι ἀνορύξαι, ἣ τὸν ἐμὸν καλύψει ἔρωτα περιλαβοῦσα· ἢν δ᾽ ἀπίῃς τοὐναντίον, λέγε μοι γοῦν ἐκεῖνο τρὶς, Ὦ φίλε κεῖσαι! εἰ δέ τι καὶ πλέον θέλοις, πρόσθες κἀκεῖνο, Καλός μοι ἀπώλετο ἑταῖρος! εἶθ᾽ οὕτως ἐγχαράξεις ἐν τῷ λίθῳ καὶ τοὐπίγραμμα ἐκεῖνο·

» Τοῦτον Ἔρως ἔκτεινεν, ὁδοιπόρε, μὴ παροδεύσῃς.
» Ἀλλὰ στὰς τόδε λέξον, Ἀπηνέα εἶχεν ἑταῖρον.

Ταῦτα δ᾽ εἰπὼν, ἐκκυλίσας μέγαν λίθον, καὶ ἐνερεισάμενος αὐτὸν τῷ τοίχῳ ἐς τ᾽ ἐπὶ μέσης θύρας, ἀναβὰς, ἐξῆψεν ἐκ τῆς ἄνωθεν φλιᾶς πλεκτὴν σχοινίδα, καὶ ἐμβαλὼν τὸν βρόχον τῷ τραχήλῳ, ἀπήγξατο, ἐκκυλίσας τῷ ποδὶ τὸν λίθον. Ὁ δὲ παῖς, ὡς ἀνέῳξε τὰς θύρας, ἰδὼν τὸν νεκρὸν ἐν τῇ ἑαυτοῦ αὐλῇ ἀπηρτημένον, οὐδὲ μικρὸν ἐκινήθη τὴν ψυχὴν, οὐδ᾽ ἐδάκρυσε τὸν φόνον ὅλως· ἀλλ᾽ ἅπερ ἔφερεν ἱμάτια,

---

οὐκ ἐν χρήσει. 39. Ῥεθέων] τῶν μελῶν τοῦ σώματός σου. 46. Τό σοι σίχεια] δοκεῖ χωλαίνειν τὸ μέτρον, εἴγε τὸ στίχος ἔχει βραχὺ τὸ Ἰῶτα. 51,

Εἵματα πάντ' ἐμίανεν ἐφαβικά· βαῖνε δ' ἐς ἄθλως
Γυμναστῶν, καὶ τῆλε φίλων ἐπεμαίετο λουτρῶν,
Καὶ ποτὶ τὸν θεὸν ἦνθε, τὸν ὕβριζε· λαϊνέας δὲ
Ἵστατ' ἐπὶ κρηπῖδος Ἔρως, ὑδάτων ἐφύπερθεν.
Ἅλατο καὶ τὤγαλμα, κακὸν δ' ἔκτεινεν ἔφαβον.
Νᾶμα δ' ἐφοινίχθη· παιδὸς δ' ἐπενάχετο φωνά.

Χαίρετε τοὶ φιλέοντες· ὁ γὰρ μισῶν ἐφονεύθη.
Στέργετε δ' ὕμμες αἶται· ὁ γὰρ θεὸς οἶδε δικάζειν.

---

Τὰν λεπτὰν] ἐμοὶ δοκεῖ ἄμεινον εἶναι γράφειν Πλεκτάν. 56. Ἐμίανεν] οἱ φονεύοντές τινα ἀθεμίτως, κατέφευγον εἰς φίλους ἐπὶ καθαρμῷ, μηδὲν τῶν φίλων ἁπτόμενοι, μήτε συνεσθίοντες, μήτε ἐν ἄλλοις τισὶ κοινωνοῦντες· ὁ δὲ παῖς οὗτος οὐκ οἶδ' ὅπως ἐμίανεν τὰ ἑαυτοῦ ἱμάτια τῷ φόνῳ, εἴτε ἄκων

ἐπιμολύνας ἀπὸ τοῦ νεκροῦ, καὶ πρὸς τὸ γυμνάσιον ἀπελθὼν, ἐδεῖτο καθαρμοῦ, ἀπεχόμενος τῶν φίλων· ἦν δ' ἐπὶ τῶν λουτρῶν ὁ Ἔρως ἱδρυμένος λίθινος ἐπὶ κρηπῖδος· ὑπὸ τοῦτον οὖν ἦλθεν, ὃν ετύγχανεν ὑβρίσας· τὸ δὲ ἄγαλμα ἀνασκιρτῆσαν, κακὸν ἀπέκτεινε μείρακα· καὶ τὸ μὲν ὕδωρ ἐφοινίχθη τῷ αἵματι ἐκείνου· φωνὴ δ' ἀμυδρὰ ἀπὸ τῶν ὑδάτων ἠκούσθη, λέγουσα· Χαίρετε οἱ ἐρασταί· ὁ γὰρ μισῶν ὑμᾶς ἐγὼ ἤδη ἀπωλέσθην· ὑμεῖς δὲ οἱ ἐρώμενοι ἀντιφιλεῖτε· θεὸς γὰρ ὑβρισθεὶς, ἔχει ἔκδικον ὄμμα.

---

ἐκβαίνων τῆς οἰκίας, εἴτ' ἑκὼν, ὡς ἀναίσθητος, καὶ οὕτως ἐλθὼν εἰς τὸ γυμνάσιον, ἐζήτει καθαρθῆναι. 61. Ἀπενήχετο] ἐνήχετο, ἐπὶ τῶν ὑδάτων ἠχομένη, ἠκούετο. 63. Ἀΐται] οἱ ἐρώμενοι παρὰ Θετταλοῖς· εἴληπται δὲ ταῦτα ἀπὸ τῶν Μόσχου. ἴδε Εἰδ. ς'. ἐν τῷ τέλει.

## ΥΠΟΘΕΣΙΣ

Αλκμήνη ἰδοῦσα Ἡρακλέα, δεκάμηνον ἤδη ὄντα, δύο δράκοντας ἐπ' αὐτὸν ἐπελθόντας, καταπαλαίσαντα, μεταπέμπεται Τειρεσίαν τὸν μάντιν, δεομένη ἐξηγήσασθαι αὐτῇ.

# ΗΡΑΚΛΙΣΚΟΣ.

## *ΕΙΔΥΛΛΙΟΝ ΚΔ'.*

Ηρακλεα δεκάμηνον ἐόντα ποχ' ἁ Μιδεᾶτις
Ἀλκμήνα καὶ νυκτὶ νεώτερον Ἰφικλῆα,
Ἀμφοτέρως λούσασα καὶ ἐμπλήσασα γάλακτος,
Χαλκείαν κατέθηκεν εἰς ἀσπίδα, τὰν Πτερελάου
Ἀμφιτρύων καλὸν ὅπλον ἀπεσκύλευσε πεσόντος.
Ἁπτομένα δὲ γυνὰ κεφαλᾶς μυθήσατο παίδων·
Εὕδετ' ἐμὰ βρέφεα γλυκερὸν καὶ ἐγέρσιμον ὕπνον,
Εὕδετ' ἐμὰ ψυχὰ, δύ' ἀδελφεώ, εὔσοα τέκνα,
Ὄλβιοι εὐνάζοισθε, καὶ ὄλβιοι ἀῶ ἵκοισθε·
Ὣς φαμένα, δίνασε σάκος μέγα· τοὺς δ' ἔλαβ' ὕπνος.

---

1. Μηδεᾶτις] πόλις ἦν ἡ Μίδεα ἐν Ἀργολίδι. 4. Πτερελάου] καὶ Πτερέλου βασιλέως τῶν Σαμίων ἐν Κεφαλληνίᾳ, πρὸς ὃν πολεμήσας ὁ Ἀμφιτρύων αὐτόν τε ἐφόνευσε, καὶ τὰ ὅπλα ἐσκύλευσε. 7. Ἐγέρσιμον] ἐλαφρὸν, ὥστε ὑμᾶς ῥᾳδίως ἐγερθῆναι. 9. Ἀῶ] ἐπὶ τὴν ἠῶ. 10. Δίνασε] ἐκίνησεν·

τὶ ἂν εἴη τὸ γενόμενον, καὶ τίποτ' ἔσοιτο ἐκ τούτου· ὁ δὲ μέγαν φησὶν ἔσεσθαι. καὶ δυωκαίδεκα ἀνύσαντ' ἄθλους, εἰς τὸν οὐρανὸν ἀναβήσεσθαι, ἰσότιμον ἐσόμενον τοῖς θεοῖς. Ἐλλείπει δὲ τὸ τέλους τούτου.

# ΗΡΑΚΛΙΣΚΟΣ.

## ΕΙΔΥΛΛΙΟΝ ΚΑ΄.

Αλκμηνη ἡ ἐκ πόλεως Μηδέας, λούσασα τοὺς ἑαυτῆς παῖδας Ἡρακλέα, δεκάμηνον ἤδη γεγεννημένον, καὶ Ἰφικλέα μιᾷ νυκτὶ ὑστερότοκον τεχθέντα, καὶ παρασχοῦσα ἀμφοτέροις τὸν μαστὸν, ἐπεὶ αὐτοῖς καλῶς εἶχε, κατέθηκεν ἄμφω ἐν χαλκῇ ἀσπίδι, ἣν Ἀμφιτρύων ἐσκύλευσε Πτερέλαν πεσόντα ποτὲ ἐν μάχῃ· εἶθ' οὕτως ἁψαμένη τῆς κεφαλῆς αὐτῶν, ηὔξατο ταῦτα.

Καθεύδοιτε, ὦ τέκνα, ἡ ἐμὴ ψυχὴ ἄμφω, γλυκερὸν μὲν, ἐλαφρὸν δὲ καὶ νηφάλαιον ὕπνον, καθεύδοιτε εὐτυχῆ τέκνα, δίδυμοί τε ὄντες, καὶ ὄλβιοι εὐναζόμενοι· οὕτω δὲ ἵκοισθε εἰς ἕω.

Ταῦτα δ' εἰποῦσα, ὑπεκίνησε παρ' ἑκάτερα μικρὸν τὴν ἀσ-

Ἆμος δὲ στρέφεται μεσονύκτιον εἰς δύσιν ἄρκτος
Ὠρίωνα κατ' αὐτὸν, ὁ δ' ἀμφαίνει μέγαν ὦμον·
Τᾶμος ἄρ' αἰνὰ πέλωρα δύω πολυμήχανος Ἥρη
Κυανέαις φρίσσοντας ὑπὸ σπείραισι δράκοντας
Ὦρσεν ἐπὶ πλατὺν οὐδὸν, ὅθι σταθμὰ κοῖλα θυράων
Οἴκω, ἀπειλήσασα φαγεῖν βρέφος Ἡρακλῆα.
Τὼ δ' ἐξειλυσθέντες ἐπὶ χθονὶ γαστέρας ἄμφω
Αἱμοβόρως ἐκύλιον· ἀπ' ὀφθαλμῶν δὲ κακὸν πῦρ
Ἐρχομένοις λάμπεσκε, βαρὺν δ' ἐξέπτυον ἰόν·
Ἀλλ' ὅτε δὴ παίδων λιχμώμενοι ἐγγύθεν ἦνθον,
Καὶ τότ' ἄρ' ἐξέγροντο (Διὸς νοέοντος ἅπαντα)
Ἀλκμήνας φίλα τέκνα· φάος δ' ἀνὰ οἶκον ἐτύχθη.
Ἤτοι ὅγ' εὐθὺς ἄϋσεν, ὅπως κακὰ θηρί' ἀνέγνω
Κοίλω ὑπὲρ σάκεος, καὶ ἀναιδέας εἶδεν ὀδόντας,
Ἰφικλέης· οὔλαν δὲ ποσὶν διελάκτισε χλαῖναν,
Φευγέμεν ὁρμαίνων· ὁ δ' ἐναντίος εἴχετο χερσὶν
Ἡρακλέης, ἄμφω δὲ βαρεῖ ἐνεδήσατο δεσμῷ,
Δραξάμενος φάρυγος, ὅθι φάρμακα λυγρὰ τέτυκται
Οὐλομένοις ὀφίεσσι, τὰ καὶ θεοὶ ἐχθαίροντι.
Τὼ δ' αὖτε σπείρεσιν ἑλισσέσθην περὶ παῖδα
Ὀψίγονον, γαλαθηνὸν, ὑπὸ τροφῷ αἰὲν ἄδακρυν·

---

ὕπνον γὰρ τοῦτο μνηστεύει τοῖς βρέφεσι. 11. Ἄρκτος] ἐν δὲ μεσονυκτίῳ ἡνίκα ἡ Ἄρκτος, ἐν μεσουρανήματι γενομένη, κάτεισι πρὸς τὴν δύσιν, καθ' ὃν χρόνον ὁ Ὠρίων ἐπιτέλλων, δεικνύει τὸν ἑαυτοῦ μέγαν ὦμον. Οὕτως, οἶμαι, ἐξηγητέον τὸ χωρίον τοῦτο συμφώνως τοῖς πράγμασιν. 15. Ὅθι σταθμὰ κοῖλα θυράων] οὐ στροφεῦσιν, ὡς ἔοικεν, ἐστρέφοντο αἱ θύραι, καθάπερ νῦν· ἀλλὰ λίθοι ὑποκείμενοι κοιλώματα ἔχοντες, ἀνεῖχον τὰς θύρας, ἔμβολα σιδηρᾶ ἐν τοῖς κοιλώμασιν ἡρμο[illegible]να ἐχούσας, καὶ περὶ ταῦτα

πίδα, καὶ ὁ ὕπνος ἐλθὼν, κατέλαβε τοὺς παῖδας· περὶ δὲ μέσην νύκτα, ὁπόθ' ἡ Ἄρκτος μὲν τρέπεται εἰς δύσιν, Ὠρίων δὲ ἐπιτείλας, δείκνυσιν ἡμῖν τὸν μέγαν αὐτοῦ ὦμον, τότε δὴ ἡ πολύτροπος Ἥρα ἀφίησιν εἰς τὴν Ἀμφιτρύωνος οἰκίαν κατὰ τὸν οὐδὸν, ἔνθα στρέφεται ἡ θύρα, δύο δράκοντας πελωρίους, περιεσπειραμένους καὶ φρίσσοντας, κελεύσασα καταφαγεῖν τὸν Ἡρακλέα· οἱ δὲ ἐξελίξαντες τὰς σπείρας, ἄμφω αἱμοβόροι ὄντες, εἷρπον ἐπὶ τὸ βρέφος, πῦρ μὲν βλέποντες, ἰὸν δ' ἐκπνέοντες· ἀλλ' οὐκ ἔφθησαν τῶν παίδων ἐγγὺς γενέσθαι, ταῖς γλώσσαις ἀπολειχόμενοι, καὶ οἱ φίλοι τῆς Ἀλκμήνης παῖδες ἐξηγέρθησαν (οὐ γὰρ ἐκοιμᾶτο ὁ μέγας Ζεὺς) καὶ τὸ οἴκημα ἐπλήσθη φωτὸς αἴφνης. Ὁ μὲν οὖν Ἰφικλῆς, ὡς εἶλε τὰ θηρία ἀπὸ τῆς ἀσπίδος προφαίνοντα τοὺς φοβεροὺς ὀδόντας, ἀνεβόησε· καὶ ἀπολακτίσας, ἣν ἐσκέπετο χλαῖναν, τοῖς ποσὶν, ὡρμήθη φεύγειν· ὁ δὲ Ἡρακλῆς τοὐναντίον ἐλθὼν εἰς χεῖρας, ἀπέπνιγεν αὐτοὺς ἰσχυρῶς, ἐν τῷ φάραγγι αὐτῶν περισφηκώσας τοὺς δακτύλους, ἔνθα τοῖς ἀνδροφόνοις ὄφεσιν ἐμφύονται τὰ θυμοφθόρα φάρμακα, ἃ καὶ οἱ θεοὶ μισοῦσιν· οἱ δὲ ὄφεις περιειλίξαντες μὲν ταῖς σπείραις τὸν ὀψιγόνον Ἡρακλέα, τὸν ὑπομάζιον μὲν ἔτι ὄντα, οὐδέ πω δὲ ὑπὸ τῇ τροφῷ δεδακρυκότα, ἀλλὰ κεκμηκότα ταῖς ἀ-

---

στρεφομένας, καθάπερ καὶ νῦν ἐν ταῖς πύλαις τῶν πόλεων γίγνεται διὰ βάρος· οὕτω δοκεῖ ἐκλελῆφθαι καὶ παρὰ Σοφοκλεῖ. (Οἰδ. Τυρ. στίχ. 1256.)

» . . . . Ἐκ δὲ πυθμένων

» Ἔκλινε κοῖλα κλῇθρα . . .

16. Ἀπειλήσασα] ἐκέλευσε σὺν ἀπειλῇ. 31. Ὀψίγονον] οὐχ ὅτι ἦν Ἰφικλέους νεώτερος. (ἦν γὰρ μιᾷ νυκτὶ πρότερος) ἀλλ' ὅτι ἡ Ἥρα διεκώλυσε τὴν ἐν καιρῷ γέννησιν αὐτοῦ μέχρις ἂν φθάσῃ γεννηθεὶς Εὐρυσθεὺς, διὰ τοῦτο καλεῖ αὐτὸν Ὀψίγονον, οἷον ὀψὲ τοῦ ἀνήκοντος χρόνου γεγενημένον.

Ἀψ δὲ πάλιν διέλυον, ἐπεὶ μογέοιεν ἀκάνθας,
Δεσμῶ ἀναγκαίω πειρώμενοι ἔκλυσιν εὑρεῖν.
Ἀλκμήνα δ' ἐσάκουσε βοᾶς, καὶ ἐπέγρετο πρᾶτα.
Ἄνσταθ' Ἀμφιτρύων· ἐμὲ γὰρ δέος ἴσχει ὀκνηρόν.
Ἄνστα, μηδὲ πόδεσσι τεοῖς ὑπὸ σάνδαλα θείης..
Οὐκ αἴεις, παίδων ὁ νεώτερος ὅσσον ἀΰτεῖ;
Οὐ νοέεις, ὅτι νυκτὸς ἀωρί που οἶδέ τε τοῖχοι
Πάντες ἀριφραδέες, καθαρᾶς ἄτερ ἠριγενείας;
Ἔστι τί μοι κατὰ δῶμα νεώτερον, ἔστι, φίλ' ἀνδρῶν.
Ὥς φάθ'. ὁ δ' ἐξ εὐνᾶς ἀλόχῳ κατέβαινε πιθήσας·
Δαιδάλεον δ' ὥρμησε μετὰ ξίφος, ὅ ῥ' οἱ ὕπερθε
Κλιντῆρος κεδρίνῳ περὶ πασσάλῳ αἰὲν ἄωρτο.
Ἤτοι ὅγ' ὠριγνᾶτο νεοκλώστω τελαμῶνος,
Κουφίζων ἑτέρᾳ κολεὸν μέγα, λώτινον ἔργον.
Ἀμφιλαφὴς δ' ἄρα παστὰς ἐνεπλήσθη πάλιν ὄρφνης.
Δμῶας δὴ τότ' ἄϋσεν ὕπνον βαρὺν ἐκφυσῶντας.
Οἴσετε πῦρ ὅτι θᾶσσον ἀπ' ἐσχαρεῶνος ἑλόντες,
Δμῶες ἐμοί, στιβαροὺς δὲ θυρᾶν ἀνακόψατ' ὀχῆας.
Ἄνστατε δμῶες ταλασίφρονες· αὐτὸς ἀΰτεῖ.
Οἱ δ' αἶψα προγένοντο λύχνοις ἅμα δαιομένοισι
Δμῶες· ἐνεπλήσθη δὲ δόμος, σπεύδοντος ἑκάστω.
Ἤτοι ἄρ' ὡς εἴδοντ' ἐπιτίτθιον Ἡρακλῆα
Θῆρε δύω χείρεσσιν ἀπρὶξ ἀπαλαῖσιν ἔχοντα,

---

32. Ἀκάνθας] ἄκανθαι εἰσὶ καὶ οἱ νωτιαῖοι σπόνδυλοι, ἐν οἷς ἦν αὐτοῖς ἡ ἰσχὺς τοῦ περισφίγγειν· ἀλλὰ πιεζόμενα κατὰ τὸν λαιμὸν, παρελύοντο. 44. Ὠριγνᾶτο] ὠρέγετο, ἐλάβετο· οὕτω κατὰ γενικὴν συνέταξε καὶ κατωτέρω (στίχ. 124.) κοινὴ δὲ ἡ χρῆσις καὶ παρ' Ὁμήρῳ, καὶ ἡ σημασία κυρία, ἀλλὰ δυ-

κάνθαις, ἐξειλίσσοντο εὐθὺς, παντοίως πειρώμενοι τοῦ χαλεποῦ δεσμοῦ ἀπαλλαγῆναι· ἐν δὲ τούτῳ εἰσῄει ἡ βοὴ εἰς τὰ ὦτα τῆς Ἀλκμήνης· καὶ διεγερθεῖσα πρώτη, ἔφη ταῦτα.

Ἀνάστα Ἀμφιτρύων· δέος γὰρ ἔχει με ἰσχυρόν· ἀναστὰς δ' ἐν τάχει, μὴ ζήτει μηδὲ σάνδαλα ὡς περιθῇς τοῖς ποσίν· οὐκ ἀκούεις, οἵας φωνὰς ὁ νεώτερος ἀφίησι τῶν παίδων; οὐχ ὁρᾷς τοὺς τοίχους τούτους ἀωρεὶ διὰ νυκτὸς φωτιζομένους, μήπω τοῦ λυκαυγοῦς διαγελῶντος; ἔστι τι νέον ἐν τῇ οἰκίᾳ, φίλτατε ἀνδρῶν· ἔστι τί. Ἡ μὲν ταῦτα εἶπε.

Ὁ δὲ πεισθεὶς τῇ γυναικὶ, καταπηδήσας εὐθὺς ἀπὸ τῆς εὐνῆς, ἀνέδραμεν ἐπὶ τὸ ξίφος, ὃ ἐκ κεδρίου ἀπῃώρητο πασσάλου· λαβὼν δὲ τοῦτο τῇ μὲν ἐκ τοῦ νεοκλώστου τελαμῶνος, τῇ δὲ ἑτέρᾳ ἐκ τοῦ κολεοῦ, ὃς ἦν ἀριστούργημα ἐκ λωτοῦ, ἵησι πρὸς τὴν παστάδα, ἐν ᾗ ἐκοιμᾶτο τὰ παιδία. ἀλλ' αἴφνης ἐκλελοιπότος τοῦ φωτὸς, καὶ πάντων καλυπτομένων σκότει, τότε δὴ καλεῖ τοὺς ὑπηρέτας, ὡς βαθὺν ἤδη σπῶντας ὕπνον, εἰπὼν,

Οἰκέται, ταλασίφρονες οἰκέται, ἐγέρθητε, σπεύσατε, κομίσατε φῶς λαβόντες ἐκ τῆς ἐσχάρας· κόψατε τοὺς τῶν θυρῶν μοχλούς. Ταῦτα δ' αὐτοῦ εἰπόντος, παραχρῆμα ἐκεῖνοι ἐγερθέντες, προσήνεγκαν εὐθὺς λύχνους ἀνημμένους· ἄλλου δ' ἄλλοθεν ἐλθόντος, ἐπλήσθη ἀνθρώπων καὶ φωτὸς τὸ δῶμα· ὡς δὲ προσελθόντες, εἶδον τὸν ὑπομάζιον ἔτι παῖδα Ἡρακλέα, ἀπρὶξ ἁπαλαῖς χερσὶ κατέχοντα δύο θηρία, μιᾷ φωνῇ ἀνω-

σερμήνευτος· δηλοῖ γὰρ τείνειν ἑαυτὸν πρός τι, ἐνεργεῖν τι εἰς αὐτὸ ἐπιθυμοῦντα. 49. Λώτιον ἔργον] λωτὸν οὐ τὸ χόρτον φησὶν, ἀλλ' ἄλλο τι ξύλον ἐν Ἀφρικῇ, ὡς φασὶν, εὑρισκόμενον, ἐξ οὗ, ὡς τιμίου ὄντος, κατεσκεύαζο-

Συμπλήγδην ἰάχησαν· ὁ δ᾽ ἐς πατέρ᾽ Ἀμφιτρύωνα
Ἑρπετὰ δεικανάασκεν, ἐπάλλετο δ᾽ ὑψόθι χαίρων
Κωροσύνᾳ· γελάσας δὲ, πάρος κατέθηκε ποδοῖιν
Πατρὸς ἑοῦ θανάτῳ κεκαρωμένα δεινὰ πέλωρα.
Ἀλκμήνα μὲν ἔπειτα ποτὶ σφέτερον λάβε κόλπον
Ξηρὸν ὑπαὶ δείους ἀκράχολον Ἰφικλῆα.
Ἀμφιτρύων δὲ τὸν ἄλλον ὑπ᾽ ἀμνείαν θέτο χλαῖναν
Παῖδα· πάλιν δ᾽ ἐς λέκτρον ἰὼν, ἐμνάσατο κοίτω.
Ὄρνιχες τρίτον ἄρτι τὸν ἔσχατον ὄρθρον ἄειδον·
Τειρεσίαν τόκα μάντιν, ἀλαθέα πάντα λέγοντα,
Ἀλκμήνα καλέσασα, χρέος κατέλεξε νεοχμὸν,
Καί νιν ὑποκρίνεσθαι, ὅπως τελέεσθαι ἔμελλεν,
Ἠνώγει. Μήδ᾽, εἴτι θεοὶ νοέοντι πονηρὸν,
Αἰδόμενος, ἐμὲ κρύπτε· καὶ ὡς οὐκ ἔστιν ἀλύξαι
Ἀνθρώποις ὅ,τι Μοῖρα κατὰ κλωστῆρος ἐπείγει,
Μάντι Εὐηρείδα, μάλα σε φρονέοντα διδάσκω.
Τὼς ἔλεγεν βασίλεια· ὁ δ᾽ ἀνταμείβετο τοίως·
Θάρσει, ἀριστοτόκεια γύναι, Περσήϊον αἷμα.
Ναὶ γὰρ ἐμὸν γλυκὺ φέγγος ἀποιχόμενον πάλαι ὄσσων,
Πολλαὶ Ἀχαιϊάδων μαλακὸν περὶ γούνατι νῆμα
Χειρὶ κατατρίψοντι ἀκρέσπερον ἀείδοισαι
Ἀλκμήναν ὀνομαστί· σέβας δ᾽ ἔσῃ Ἀργείαισι.

---

τοὺς τῶν ξιφῶν κολεούς. 55. Συμπλήγδην ἰάχησαν] ἢ συγκρούσαντες ἅμα τὰς φωνὰς σύμπαντες ὁμοφώνως, ἢ ὁμοῦ σύμπαντες ἐκπλαγέντες ἐπὶ τῷ παραδόξῳ, ἀνεφώνησαν. 57. Κωροσύνῃ] εὐθυμίᾳ ἀνηκούσῃ τοῖς νηπίοις. 58. Κεκαρωμένα] ὡς ἐν μέθῃ τοῦ θανάτου ἐζαλωμένα. 60. Ἀκράχολον ]

λόλυξαν σύμπαντες· Ὁ δὲ Ἡρακλῆς δεικνύων τῷ πατρὶ τοὺς ὄφεις, ἀνεσκίρτα, γεγηθὼς τῇ ἡλικίᾳ· καὶ γελάσας, κατέθηκεν αὐτοὺς πρὸ τῶν ποδῶν τοῦ πατρὸς τῷ τοῦ θανάτου βεβαρυμμένους ὕπνῳ· Ἀλκμήνη δὲ ἀνεκολπώσατο Ἰφικλέα, μόλις ἐμπνέοντα ἐπὶ τῷ φόβῳ· Ἀμφιτρύων δὲ ὡσαύτως Ἡρακλέα ἀναλαβὼν, ἔθηκεν ἐπὶ τῆς κλίνης, χλαίνῃ ἐξ οἴος περικαλύψας· καὶ οὕτως ἐπανελθὼν εἰς τὸν θάλαμον, ἐμνήσθη ὕπνου.

Περὶ δὲ τὴν τρίτην τῶν ἀλεκτρυόνων ᾠδὴν τῶν κατ' ὄρθρον τὴν ἐσχάτην, Ἀλκμήνη μεταπεμψαμένη Τειρεσίαν, ὃς οὐδέ ποτ' ἐψεύσατο, καὶ εἰποῦσα αὐτῷ, ἅπερ ξυνέβη, ἐδεῖτο ἐξηγήσασθαι ὅ,τι ποτ' εἴη, καὶ ὅ,τι ποτε χρὴ ποιεῖν περὶ τούτου, μηδὲν ἀποκρυπτόμενον, εἴτι γνοίη παρὰ τῶν θεῶν χαλεπόν· μηδὲν γὰρ ἐξεῖναι ἀποφυγεῖν, ἃ ἂν οἱ Μοῖρα ἐπικλώσῃ τοῖς ἀνθρώποις· Μάντι σοφὲ, Εὐηρέους παῖ, οἶδά σε πλείω ἐμοῦ εἰδότα.

Ἡ μὲν ταῦτ' εἶπεν, ὁ δὲ ἀπεκρίνετο πρὸς ταῦτα· Θάῤῥει, ὦ μῆτερ ἀρίστων παίδων, ἡ ἐκ Περσέως τὸ γένος ἕλκουσα· Ναὶ μὰ τὸ γλυκερὸν φέγγος τοῦ ἡλίου, ὃ πάλαι ποτὲ τὰ ἐμὰ ἀπέλιπεν ὄμματα, πολλαὶ τῶν Ἑλληνίδων, ὁπότε ἑσπέρας καταλαβούσης, στρέφουσι πρὸ τῶν γονάτων νῆμα, τὸ σὸν ὄνομα τιμῶσαι, εὐφήμῳ στόματι μεμνήσονται Ἀλκμήνης·

---

καὶ ἀκρόχολον, ἐπιῤῥεπῆ εἰς ἀλλοίωσιν ψυχικῆς διαθέσεως· ἐνταῦθα ἐν τεῖ τὸ εἰς φόβον ὀξύθυμον. 69. Κατὰ κλωστῆρος] ἐπὶ τοῦ ἀτράκτου, ἢ διὰ τοῦ ἀτράκτου. 72. Περσήϊον αἷμα] Περσεὺς ὁ τοῦ Ἀκρισίου μετὰ πλάνην πολλὴν, ἐπανελθὼν ἐγένετο βασιλεὺς τοῦ Ἄργους· εἶτα Μυκηνῶν καὶ Μιδέας.

Τοῖος ἀνὴρ ὅδε μέλλει ἐς οὐρανὸν ἄστρα φέροντα
Ἀμβαίνειν τέος υἱός, ἀπὸ στέρνων πλατὺς ἥρως,
Οὗ καὶ θηρία πάντα καὶ ἀνέρες ἥσσονες ἄλλοι.
Δώδεκά οἱ τελέσαντι πεπρωμένον ἐν Διὸς οἰκεῖν
Μόχθως· θνατὰ δὲ πάντα πυρὰ Τραχίνιος ἑξεῖ.
Γαμβρὸς δ' ἀθανάτων κεκλήσεται, οἳ τάδ' ἐπῶρσαν
Κνώδαλα φωλεύοντα βρέφος διαδηλήσασθαι.
Ἔσται δὴ τοῦτ' ἆμαρ, ὁπανίκα νεβρὸν ἐν εὐνᾷ
Καρχαρόδων σίνεσθαι ἰδὼν λύκος οὐκ ἐθελήσει.
Ἀλλά, γύναι, πῦρ μέν τοι ὑπὸ σποδῷ εὔτυκον ἔστω,
Κάγκανα δ' ἀσπαλάθω ξύλ' ἑτοιμάσατ', ἢ παλιούρω,
Ἢ βάτω, ἢ ἀνέμῳ δεδονημένον αὖον ἄχερδον·
Καῖε δὲ τώδ' ἀγρίαισιν ἐπὶ σχίζαισι δράκοντε
Νυκτὶ μέσα, ὅκα παῖδα κανεῖν τεὸν ἤθελον αὐτοί.
Ἦρι δὲ συλλέξασα κόνιν πυρὸς ἀμφιπόλων τις,
Ῥιψάτω εὖ μάλα πᾶσαν ὑπὲρ ποταμοῖο φέροισα,
Ῥωγάδας ἐς πέτρας, ὑπερούριον· ἂψ δὲ νέεσθαι
Ἄστρεπτος· καθαρῷ δὲ πυρώσατε δῶμα θεείῳ
Πρᾶτον· ἔπειτα δ' ἅλεσσι μεμιγμένον (ὡς νενόμισται)
Θαλλῷ ἐπιῤῥαίνειν ἐστεμμένον ἀβλαβὲς ὕδωρ·
Ζηνὶ δ' ἐπιῤῥέξαι καθυπερτέρῳ ἄρσενα χοῖρον,
Δυσμενέων αἰεὶ καθυπέρτεροι ὡς τελέθοιτε.
  Φᾶ, καὶ ἐρωήσας ἐλεφάντινον ᾤχετο δίφρον

---

ἐξ οὗ κατήγετο καὶ ὁ Ἡρακλῆς. 81. Τραχίνιος] τῆς Τραχίνιος ἢ Τραχινίας· ἐννοεῖ τὴν Οἴτην, ἔνθα ἐτάφη Ἡρακλῆς· ὡς Σοφοκλῆς ἐν Τραχινίαις. 82. Ἀθανάτων] τὴν Ἥραν ἐννοητέον, ὡς μητέρα τῆ ἥβης, ἣν ἔγημεν Ἡρακλῆς. 85.] Λύκος. ἀλληγορικὸν ἔοικε τοῦτο εἶναι· ἔσται γὰρ ὅτε, φησί, λύ-

Τοιοῦτος γὰρ ὁ σὸς παῖς ἔσται οὗτος, ὃς ἐν ὑστέρῳ χρόνῳ μέλλει ἀναβήσεσθαι εἰς τὸν ἀστεροφεγγῆ οὐρανὸν, ἥρως ὅλως εὐρύστερνος· ὅς ἀνδρῶν καὶ θηρίων κρείττων ἔσται· δώδεκα γὰρ ἄθλους ἐκτελέσας, καλεσθήσεται ὑπὸ τῆς Μοίρας κατοικεῖν, ἔνθα Ζεὺς ὁ πατὴρ ἐνδιαιτᾶται· τὸ δὲ θνητὸν, ὅσον αὐτῷ ὑπάρχει, παραδοθήσεται πυρὶ ἐν Τραχινίᾳ, αὐτὸς δὲ γαμβρὸς ἀκούσει ἀθανάτων, οἵ νῦν ἀφῆκαν τὰ θηρία ταῦτα ἐκ τῶν φωλεῶν καταφαγεῖν τὸ βρέφος· ἔσται δὲ ταῦθ᾽, ὁπόθ᾽ ὁ καρχαρόδων λύκος, ἰδὼν νεβρὸν εὐναζόμενον, οὐκ ἀδικήσει· Νῦν δ᾽ οὖν, ἐκεῖνο δεῖσε ποιεῖν, ὦ γύναι, ξύλα συλλέξασα ξηρὰ ἐξ ἀσπαλάθου, ἢ παλιούρου, ἢ βάτου, ἢ ἄχερδον αὖον περιδονούμενον ὑπὸ ἀνέμου, ἐπὶ τούτων κατακαῦσαι τὰ θηρία ταῦτα κατὰ μέσην νύκτα, ἡνίκα αὐτὰ ἐπῄεσαν ἐπὶ τὸ βρέφος· εἶθ᾽ οὕτως, ὑπογελώσης τῆς ἡμέρας, τῶν θεραπαινίδων τις, συλλέξασα ἐκ τοῦ πυρὸς τὴν κόνιν, ῥιψάτω φέρουσα ἐς τοὺς ἀνέμους ἐν τῷ ποταμῷ ἄνωθεν ἀπὸ σκοπέλου πέτρας· ταῦτα δὲ πράξασα, ἐπανελθέτω οἴκαδε ἀμεταστρεπτεί· Ἐπὶ δὲ τούτοις δεῖ πρῶτον καθᾶραι τὴν οἰκίαν θείῳ· ἔπειτα ἐπιῤῥάναι ὕδωρ ἀβλαβὲς, ἅλατι μεμιγμένον, ἐξ ἀγγείου, ὡς ἔθος, θαλλῷ περιεστεμένου· Διῒ δὲ τῷ μεγίστῳ ἄῤῥενα θύσαι χοῖρον, ἵνα κρείττους τῶν ἐχθρῶν ἀεὶ γένησθε.

Ταῦτ᾽ εἰπὼν ὁ Τειρεσίας, καί τοι ἐς βαθὺ γῆρας ἐτύγχανεν

---

κος οὐ τολμήσει βλάψαι τὸν νεβρὸν ὅτε λύκοι μετὰ προβάτων συμβιώσονται· τοῦτ᾽ ἔστιν, ὁπότε οἱ κακοῦργοι οὐ τολμήσουσι δέει τοῦ Ἡρακλέους ἀδικεῖν τοὺς ἐπιεικεῖς. 99. Ἐρωήσας] κούφῳ πηδήματι ἀναβὰς, ἀνεχώρησεν

Τειρεσίας, πολλοῖσι βαρύς περ ἐὼν ἐνιαυτοῖς.
Ἡρακλέης δ' ὑπὸ ματρὶ, νέον φυτὸν ὡς ἐν ἀλωᾷ,
Ἐτρέφετ', Ἀργείω κεκλημένος Ἀμφιτρύωνος.
Γράμματα μὲν τὸν παῖδα γέρων Λίνος ἐξεδίδαξεν,
Υἱὸς Ἀπόλλωνος, μελεδωνεὺς, ἄγρυπνος, ἥρως.
Τόξον δ' ἐντανύσαι καὶ ἐπίσκοπον εἶναι ὀϊστῶν,
Εὔρυτος, ἐκ πατέρων μεγάλαις ἀφνειὸς ἀρούραις.
Αὐτὰρ ἀοιδὸν ἔθηκε καὶ ἄμφω χεῖρας ἔπλασεν
Πυξίνᾳ ἐν φόρμιγγι Φιλαμμονίδας Εὔμολπος.
Ὅσσα δ' ἀπὸ σκελέων ἑδροστρόφοι Ἀργόθεν ἄνδρες
Ἀλλάλως σφάλλοντι παλαίσμασιν, ὅσσα τε πύκται
Δεινοὶ ἐν ἱμάντεσσιν, ἅ τ' εἰς γαῖαν προπεσόντες,
Πυγμάχοι ἐξεύροντο παλαίσματα σύμφορα τέχνᾳ,
Πάντ' ἔμαθ' Ἑρμείαο διδασκόμενος παρὰ παιδὶ
Ἁρπαλύκῳ Φανοτῆϊ· τὸν οὐδ' ἂν τηλόθι λεύσων
Θαρσαλέως τὶς ἔμεινεν ἀεθλεύοντ' ἐν ἀγῶνι.
Τοῖον ἐπισκύνιον βλοσυρῷ ἐπέκειτο προσώπῳ.
Ἵππους δ' ἐξελάσασθαι ὑφ' ἅρματι, καὶ περὶ νύσσαν
Ἀσφαλέως κάμπτοντα, τροχῶ σύριγγα φυλάξαι,
Ἀμφιτρύων ὃν παῖδα φίλα φρονέων ἐδίδασκεν
Αὐτὸς, ἐπεὶ μάλα πολλὰ θοῶν ἐξήρατ' ἀγώνων
Ἄργει ἐν ἱπποβότῳ κειμήλια· καὶ ἀαγεῖς

---

οὕτω γὰρ ἐννοητέον τὸ Ἐρωήσας, ὅσον ἐκ τῶν ἑπομένων. 103. Λίνος] Θηβαῖος ἦν οὗτος υἱὸς Ἀπόλλωνος καὶ τῆς Μούσης Οὐρανίας· εἷς τῶν ἀρχαιοτάτων ῥαψωδῶν, διδάξας τὴν μουσικὴν καὶ αὐτὸν τὸν Ὀρφέα. Εὔρυτον δὲ τὸν τῆς Οἰχαλίας ἐν Εὐβοίᾳ βασιλέα λέγει, ὃν ὑστέρῳ χρόνῳ ὁ αὐτὸς ἐφό-

ἐληλακὼς, ἀλλὰ λίαν κούφως εἰς τὸν ἑαυτοῦ ἐλεφάντινον ἀνεπήδησε δίφρον· Ὁ δὲ Ἡρακλῆς ἀνετρέφετο ὑπὸ τῇ μητρὶ, ὡς νεόφυτον ἐν κήπῳ, Ἀμφιτρύωνος παῖς προσαγορευόμενος Ἀργείου· πεπαίδευται δὲ πολλαχῶς, γράμματα μὲν μεμαθηκὼς παρὰ τοῦ ἥρωος Λίνου τοῦ γέροντος, ὃς ἦν αὐτῷ ἄγρυπνος προστάτης· τόξον δι᾽ αὖ ἐντεῖναι, καὶ κατὰ σκοπὸν τὰ βέλη ἀφιέναι, παρ᾽ Εὐρύτου τοῦ πατρῶθεν πολυκτήμονος γεγενημένου· μέλπειν δὲ, καὶ τὰς χεῖρας ἐπὶ τῆς πυξίνης φόρμιγγος ἀσκῆσαι, παρ᾽ Εὐμόλπου τοῦ φιλοδαμίδου· ἃ δὲ οἱ παλαισταὶ ἐν Ἄργει καταπαλαίουσιν ἀλλήλους ἐν ὑποσκελίσμασι, καὶ ἃ οἱ πύκται ἐν ἱμᾶσιν περιελισσομένοις, καὶ ἃ οἱ πυγμάχοι ἐξεῦρον παλαίσματα σύμφορα τῇ τέχνῃ, ταῦτ᾽ ἐξέμαθε παρὰ τοῦ Ἁρπαλύκου τοῦ Φανοτέως παιδὸς τοῦ Ἑρμοῦ· ὃν καὶ πόῤῥωθεν ἰδών τις ἀγωνιζόμενον, οὐκ ἂν ἔμεινε θαῤῥῶν ἐν τῷ σταδίῳ, τοιοῦτον ἐπισκύνιον ὁρῶν αὐτῷ ἐν βλοσυρῷ ἐπικείμενον προσώπῳ· ἵππους δ᾽ ὑπὸ δίφρῳ ἐλάσαι ἐζευγμένους, καὶ περὶ τὸν καμπτῆρα ἀσφαλῶς ἐπικάμψαι, μὴ τὴν τοῦ τροχοῦ συναράξῃ σύριγγα φυλαττόμενος, ταῦτα παρ᾽ αὐτοῦ τοῦ Ἀμφιτρύωνος, τοῦ φίλου ἑαυτοῦ πατρὸς ἐξεπαιδεύθη· ὃς κἂν τῷ ἱπποβότῳ Ἄργει πολλὰ πολλάκις αὐτὸς ἐξ ἀγώνων εἴληφεν ἀριστεῖα· οὗ καὶ οἱ

---

νευσεν Ἡρακλῆς. Εὔμολπος δὲ οὗτος μόνον ἐνταῦθά ἐστι γνωστὸς, υἱὸς Φιλάμμονος ἀρχαίου μουσικοῦ υἱοῦ Ἀπόλλωνος καὶ Λευκονόης ἐκ Θράκης.

112. Πυγμάχοι] τὸ προπίπτειν κατὰ γῆς ἔτι καὶ νῦν ἐπιτηδεύονται, ἀλλ᾽ οὐχ οἱ πυγμάχοι, ἀλλ᾽ οἱ παλαισταί· ὅθεν ἀξιοῖ τις γράφειν, Παμμάχοι· εἰσὶ δὲ οὗτοι οἱ παγκρατισταὶ οἱ τὴν πυγμὴν καὶ τὴν πάλην ἑνοῦντες εἰς τὸν

Αἵμοι, ἐφ' ὧν ἐπέβαινε, χρόνῳ διέλυσαν ἱμάντας.
Δούρατι δὲ προβολαίῳ, ὑπ' ἀσπίδι νῶτον ἔχοντα,
Ἀνδρὸς ὀρέξασθαι, ξιφέων τ' ἀνέχεσθαι ἀμυχμόν,
Κοσμῆσαί τε φάλαγγα, λόχον τ' ἀναμετρήσασθαι
Δυσμενέων ἐπιόντα, καὶ ἱππήεσσι κελεῦσαι,
Κάστωρ ἱππαλίδας ἔδαεν, φυγὰς Ἄργεος ἐνθών,
Ὁππόκα κλᾶρον ἅπαντα καὶ οἰνόπεδον μέγα Τυδεὺς
Ναῖε, παρ' Ἀδρήστοιο λαβὼν ἱππήλατον ἄργος.
Κάστορι δ' οὔτις ὁμοῖος ἐν ἀμιθέοις πολεμιστὰς
Ἄλλος ἔην, πρὶν γῆρας ἀποτρίψαι νεότητα.
Ὧδε μὲν Ἡρακλῆα φίλα παιδεύσατο μάτηρ·
Εὐνὰ δ' ἦς τῷ παιδὶ τετυγμένα ἀγχόθι πατρός,
Δέρμα Λεόντειον, μάλα οἱ κεχαρισμένον αὐτῷ·
Δεῖπνον δὲ, κρέα τ' ὀπτὰ, καὶ ἐν κανέῳ μέγας ἄρτος
Δωρικός, ἀσφαλέως κε φυτοσκάφον ἄνδρα κορέσσαι.
Αὐτὰρ ἐπ' ἄματι τυννὸν ἄνευ πυρὸς αἴνυτο δόρπον·
Εἵματα δ' οὐκ ἀσκητὰ μέσας ὑπὲρ ἕννυτο κνάμας.

[Λείπει τὸ τέλος τοῦ παρόντος Εἰδυλλίου.]

---

αὐτὸν ἀγῶνα. 114. Φανοτῆϊ] ἐν δὲ τῇ ἀρχαίᾳ κεῖται, Φανοπῆϊ. Φανοτεὺς, ἐκ πόλεως τῆς Φωκίδος. 124. Ὀρέξασθαι] ἴδε ἀνωτέρω στίχ. 44. τὸ δὲ Ἀνέχεσθαι, ἀνασύρειν ἑαυτὸν καὶ φυλάξασθαι τὴν ἀπὸ τοῦ ξίφους προσβολὴν δηλοῖ. 125. Λόχον] τοῦτο σημαίνει καὶ τάγμα στρατιωτῶν, καὶ ἔνεδραν· πότερον οὖν, λόγον λαβεῖν τῶν ἐχθρῶν, ὁπόσοι εἶεν, ἢ λόγον λαβεῖν, ὅπῃ ἔνεδρα ἐγκάθηται τῶν ἐχθρῶν; κρίνας ἑλοῦ, ὃ ἂν μᾶλλόν σε πείθῃ. 127. Φυγὰς Ἄργους] ἐκληφθήτω ἡ Γενικὴ Ἄργους κτητικῶς εἰς τὸ Φυγὰς ἐν παθητικῷ λόγῳ ἀντὶ τοῦ Φυγὰς εἰς Ἄργος· τοῦτο γὰρ κἀκ τῶν ἑπομένων συνάγεται· ἔστι δ' ὁ λόγος καὶ κατὰ πρωθύστερον σχῆμα εἰς τὸν Τυ-

δίφροι, ἐφ᾽ ὧν ἐσταδιοδρόμει, ἀβλαβεῖς, καὶ οἱ ἱμάντες ἀῤῥαγεῖς διετέλεσαν, εἰμὴ ὅτι ὁ χρόνος, πολὺς ῥυεὶς μεταξὺ, ἐκολόβωσε· τὸ δὲ διηγκυλισμένον δόρυ, καὶ τὴν ἀσπίδα φέροντα ἐπ᾽ ὦμον, τῶν πολεμίων καθικνεῖσθαι, καὶ πληγὴν ἀποκρούσασθαι ξίφους, φάλαγγά τε κοσμῆσαι, καὶ ἀριθμὸν τῶν πολεμίων ἐπιόντων ἀνευρεῖν, καὶ ἱππέας εὖ θέσθαι, ταῦτ᾽ ἐξέμαθε παρὰ Κάστορος τοῦ ἱππηλάτου, ὁπόθ᾽ ὁ Τυδεὺς, ἐλθὼν εἰς Ἄργος, Ἀδράστου τόν τε κλῆρον καὶ τὴν βασιλείαν αὐτῷ ἐπιτρέψαντος, ἦρχεν αὐτὸς ἐν Ἄργει· ἦν δὲ Κάστορι οὐδεὶς οὐδαμοῦ ὅμοιος πολεμιστὴς ἐν ἡμιθέοις, πρὶν ἢ τὸ γῆρας ἐπελθὸν παραλῦσαι αὐτῷ τὴν ῥώμην.

Οὕτως Ἡρακλῆς ἐπεπαίδευτο ὑπὸ μητρὶ φιλούσῃ, εὐνὴν κατέχων παρὰ τῷ πατρὶ λεοντῆν ὑπεστρωμένην, ὃ ἦν αὐτῷ μάλιστα κεχαρισμένον· δεῖπνον δὲ ἐν μὲν τῷ ἀρίστῳ κρέα ἦν αὐτῷ ὀπτὰ, καὶ ἄρτος ἐν κανίστρῳ Δωρικὸς, οἷος ἄνδρα ἐμπλῆσαι φυτοκόμον· ἑσπέρας δὲ, ἀκατάσκευος ἦν καὶ ἁπλῆ τροφή· ὁμοίως δὲ καὶ ἱμάτια ἁπλᾶ καὶ ἀκατέργαστα, ἐς μέσας κνήμας μόλις καθιόντα, περιεβάλλετο.

---

δέχα ἀποδιδόμενος. 128. Τυδεὺς] υἱὸς Οἰνέως καὶ Περιβοίας βασιλέως τῆς ἐν Αἰτωλίᾳ Καλυδῶνος· φονεύσας ἐν θήρᾳ Ἀλκάθοον καὶ ἐκ τούτου φυγὼν ἦλθεν εἰς Ἄργος· καὶ λαβὼν Δηϊπύλην, ἐξ ἧς ἐγέννησε τὸν μέγαν Διομήδην. 135. Δεῖπνον Ὁμηρικῶς δεῖπνον λέγει τὸ ὑστέρῳ χρόνῳ λεγόμενον Ἄριστον, τὸ δὲ νῦν Δεῖπνον Δόρπον ἐκάλουν τότε. — Τὸ δὲ Ἄρτος Δωρικὸς πότερον, κατὰ τὸ σχῆμα, ἢ διὰ τὴν ποιότητα; οὐκ οἶδα. 139. Ἐπ᾽ ἄματι] μετὰ τὴν ἡμέραν, ἑσπέρας.

## ΥΠΟΘΕΣΙΣ

ΗΡΑΚΛΗΣ εἰς Αὐγείαν τὸν τῶν Ἐπειῶν βασιλέα ἐλθὼν, θαυμάζει τὰ ἐκείνου θρέμματα, ἀμύθητα ὄντα, θαυμάζεται δὲ καὶ αὐτὸς, ταῦρον αὐτοῦ ἐπ' αὐτὸν ἐπελθόντα ῥα-

# ΗΡΑΚΛΗΣ
# ΛΕΟΝΤΟΦΟΝΟΣ.
### Η ΚΑΤΑ ΤΙΝΑ ΑΝΤΙΓΡΑΦΑ,
# ΑΥΓΕΙΟΥ ΚΛΗΡΟΣ.

## ΕΙΔΥΛΛΙΟΝ ΚΕ'.

[Λείπει ἡ ἀρχή.]

ΤΟΝ δ' ὁ γέρων προσέειπε, φυτῶν ἐπίουρος ἀροτρεὺς,
Παυσάμενος ἔργοιο, τὸ οἱ μετὰ χερσὶν ἔκειτο·
Ἔκ τοι, ξεῖνε, πρόφρων μυθήσομαι, ὅσσ' ἐρεείνεις,
Ἑρμέω ἀζόμενος δεινὴν ὄπιν εἰνοδίοιο·

1. Ἐπίουρος] ὁ ἐπὶ τῶν ἔργων, ἔφορος· ἰστέον δὲ ὅτι ἡ ἀρχὴ τοῦ Εἰδυλλίου τούτου ἐξέλιπε· δῆλον δὲ, ὅτι Ἡρακλῆς πεμφθεὶς ὑπὸ Εὐρυσθέως τὴν τοῦ Αὐγείου καθᾶραι κόπρον, ἐντυγχάνει πρώτῳ τῷ γέροντι δι' οὗ συνί-

δίως ἀποκρουσάμενος· ὑφ᾽ οὗ καὶ γνωστὸς γενόμενος, ὅςτις ἦν, ἐρωτᾶται παρὰ τοῦ Φυλέως, παιδὸς τοῦ Αὐγείου, πῶς ἐφόνευσε τὸν ἐν Νεμέᾳ λέοντα· ὁ δὲ διέξεισιν αὐτῷ πάντα περιστατικῶς. Λείπει δὲ καὶ τούτου ἡ ἀρχή.

## *ΗΡΑΚΛΗΣ*
# ΛΕΟΝΤΟΦΟΝΟΣ.
### Η ΚΑΤΑ ΤΙΝΑ ΑΝΤΙΓΡΑΦΑ,
# ΑΥΓΕΙΟΥ ΚΛΗΡΟΣ.

## *ΕΙΔΥΛΛΙΟΝ ΚΕ΄.*

[Λείπει ἡ ἀρχή.]

Ο δὲ τῶν φυτῶν ἐπιμελούμενος γέρων, παυσάμενος τοῦ ἔργου, ὃ μετὰ χεῖρας εἶχεν, ἀπεκρίνατο πρὸς αὐτόν· Αὐτίκα, ὦ ξένε, ἐρῶ σοι πάντα, ἅσοι βουλομένῳ ἐστιν εἰδέναι, ὅπως καὶ τὴν τοῦ Ἑρμοῦ, δεινὴν ὀργὴν ἐπὶ τούτοις ἀφοσιώμεθα·

σταται τῷ Αὐγείᾳ καὶ τῷ παιδὶ αὐτοῦ Φυλεῖ, καὶ ἐκπλαγεὶς τῷ πλήθει τῶν θρεμμάτων ἐκείνου, διηγεῖται καὶ αὐτὸς ἐν μέρει, ὅπως ὑπεστὰς, ἀπέκτεινε

Τὸν γὰρ φασὶ μέγιστον ἐπουρανίων κεχολῶσθαι,
Εἴ κεν ὁδοῦ ζαχρεῖον ἀνήνηταί τις ὁδίτην.
Ποῖμναι μὲν βασιλῆος ἐΰτριχες Αὐγείαο
Οὐ πᾶσαι βόσκονται ἴαν βόσιν, οὐθ' ἕνα χῶρον·
Ἀλλ' αἱ μὲν ῥα νέμονται ἐπ' ὄχθαις ἀμφ' Ἐλισοῦντος,
Αἱ δ' ἱερὸν θείοιο παρὰ ῥόον Ἀλφειοῖο,
Αἱ δ' ἐπὶ Βουπρασίου πολυβότρυος, αἱ δὲ καὶ ὧδε.
Χωρὶς δὴ σηκοί σφι τετυγμένοι εἰσὶν ἑκάσταις.
Αὐτὰρ βουκολίοισι περιπλήθουσι περ ἔμπης
Πάντεσσιν νομοὶ ὧδε τεθηλότες αἰὲν ἔασι,
Μηνίου ἂμ μέγα τῖφος· ἐπεὶ μελιηδέα ποίην
Λειμῶνες θαλέθουσιν, ὑπόδροσοι εἰαμεναί τε
Εἰς ἄλις, ἥ ῥα βόεσσι μένος κεραῇσιν ἀέξει.
Αὖλις δέ σφισιν ἥδε τεῆς ἐπὶ δεξιὰ χειρὸς
Φαίνεται εὖ μάλα πᾶσα πέρην ποταμοῖο ῥέοντος,
Κείνῃ ὅθι πλατάνιστοι ἐπηεταναὶ πεφύασι,
Χλωρή τ' ἀγριέλαιος, Ἀπόλλωνος νομίοιο
Ἱερὸν ἁγνὸν, ξεῖνε, τελειοτάτοιο θεοῖο.
Εὐθὺς δὲ σταθμοὶ περιμήκεες ἀγροιώταις
Δέδμηνθ', οἳ βασιλῆϊ πολὺν καὶ ἀθέσφατον ὄλβον
Ῥυόμεθ' ἐνδυκέως, τριπόλοις σπόρον ἐν νειοῖσιν
Ἔσθ' ὅτε βάλλοντες, καὶ τετραπόλοισιν ὁμοίως.
Οὔρους μὴν ἴσασι φυτοσκάφοι. οἱ πολυεργοὶ

τὸν ἐν Νεμέᾳ λέοντα. 6. Ζαχρεῖον ὁδοῦ] ὁδηγίας ἢ ἄλλου του δεόμενον ἐν ὁδῷ. 8. Ἴαν] μίαν καὶ τὴν αὐτήν. 9. Νέμονται] ἐν δὲ τῇ ἀρχαίᾳ κεῖται. Ἠϊόντος. δηλονότι τοῦ Ἐλισοῦντος, ἢ Ἐλίσοντος, μικροῦ ποταμοῦ ἐν τῇ Ἤλιδι, ὅπου διαῤῥεῖ καὶ ὁ Ἀλφειός. Βουπράσιον δὲ αὐτόθι καὶ χώρα καὶ πόλις.

τοῦτον γὰρ μάλιστα θεῶν ἁπάντων φασὶν ὀργίζεσθαι, εἴτις ὁδίτην, ζητοῦντά τι μαθεῖν, περιφρονοίη· Ποίμναι μὲν οὖν εὔποκοι τῷ βασιλεῖ Αὐγείῳ οὐ τὴν αὐτὴν νέμοντες νομὴν, οὐδ' ἐν τοῖς αὐτοῖς χωρίοις· ἀλλ' αἱ μὲν παρὰ τὸν Ἐλισοῦντα· αἱ δὲ παρὰ τὸ μέγα ῥεῦμα τοῦ Ἀλφειοῦ· καὶ ἄλλαι μὲν παρὰ τὸ πολύοινον Βουπράσιον, ἄλλαι δὲ ὧδε παρ' ἡμῖν· ἀλλὰ καὶ οἱ σταθμοὶ τὸν αὐτὸν τρόπον κατεσκευασμένοι εἰσὶν αὐτῶν ἑκάστῃ· βουκολίοις γὰρ, μυρίοις ὅσοις οὖσι, πάρεστι νομὸς περὶ τὸ τοῦ Μηνίου ἕλος· ἐνταῦθα θάλλουσι λειμῶνες εὐανθεῖς ἐν χωρίοις καθημένοις, ἄφθονον παρέχοντες ποίην, ὑφ' ἧς αἱ βόες τρεφόμεναι, πιαίνονται μάλιστα· ἴδε δὲ καὶ ἡ ἔπαυλις αὐτῶν δεῦρο πρὸς τὰ δεξιὰ ἐκείνη πέρα τοῦ ποταμοῦ μάλ' ἐπίσημος, ἔνθα αἱ ἀρχαῖαι πλατανιστοὶ εἰσὶν ἐκεῖναι, καὶ ἀειθαλὴς αὕτη ἀγριέλαιος, τέμενος ἱερὸν Ἀπόλλωνος Νομίου, θεοῦ τελειοτάτου· ὅπου καὶ σταθμοὶ περιμήκεις εἰσὶν ἡμῖν τοῖς γεωργοῖς, οἳ ἄφθονον πλοῦτον τῷ βασιλεῖ σὺν εὐνοίᾳ περιποιοῦμεν· τρὶς γὰρ καὶ τετράκις ἔσθ' ὅτε τὰς ἀρούρας ἀροτριοῦντες, οὕτω καταβάλλομεν τὸ σπέρμα· ἴσασι δὲ πάντες οἱ φιλόπονοι τοὺς ὅρους, καθ' οὓς χρὴ ἕκαστον τὸ ἑαυτοῦ ποιεῖν, καὶ ἐν καιρῷ, περιπ-

15. Τῖφος Μηνίου] ἕλος τοῦ Μηνίου ποταμοῦ, τῆς Ἤλιδος καὶ αὐτοῦ. 16. Εἱαμενὴ] χώρα καθημένη, ταπεινὴ, ἕλος· παρὰ τὸ καθῆσθαι· τὸ γὰρ καθήμενα ἀεὶ εἰσὶ ταπεινότερα τῶν ἀνισταμένων χωρίων. 22. Τελειοτάτου θεοῦ] διὰ τὸ σέβεσθαι τὸν θεὸν τοὺς ἐνταῦθα ἀγροδιαίτους τιμᾷ αὐτὸν τῷ τοιούτῳ ὀνόματι. 25. Ἐν νειοῖσι τριπόλοις] ἐν ἀρούραις, τρὶς καὶ τετράκις τῷ ἀρότρῳ ἐκ συστροφῆς τῶν βοῶν ἀροτριωμέναις. 27. Οὐροὺς] Οὐροὺς ἀντὶ τοῦ Οὔρους ἐκ τῆς ἀρχαίας ἔγραψα, ἵνα ᾖ, τάφρος, ὄρυγμα, ὅ ἐστιν

Ἐς ληνοὺς ἱκνεῦνται, ἐπὴν θέρος ὥριον ἔλθῃ.
Πᾶν γὰρ δὴ πεδίον τόδ' ἐΰφρονος Αὐγείαο,
Πυροφόροι τε γύαι, καὶ ἀλωαὶ δενδρήεσσαι,
Μέχρι πρὸς ἐσχατιὰς πολυπιδάκος ἀκρωρείης·
Ἃς ἡμεῖς ἔργοισιν ἐποιχόμεθα πρόπαν ἦμαρ,
Ἣ δίκη οἰκήων, οἷσιν βίος ἔπλετ' ἐπ' ἀγροῖς·
Ἀλλὰ σύ πέρ μοι ἔνισπε, (τό τοι καὶ κέρδιον αὐτῷ
Ἔσσεται) οὗ τινος ὧδε κεχρημένος εἰλήλουθας·
Ἠέ τι Αὐγείην, ἢ καὶ δμώων τινὰ κείνου
Δίζεαι, οἵ οἱ ἔασιν. ἐγὼ δέ κέ τοι σάφα εἰδὼς,
Πάντα μάλ' ἐξείποιμ'· ἐπεὶ οὔ σέ γε φημὶ κακῶν ἐξ
Ἔμμεναι, οὐδὲ κακοῖσιν ἐοικότα φύμεναι αὐτὸν,
Οἷόν τοι μέγα εἶδος ἐπιπρέπει· ἦ ῥά νυ παῖδες
Ἀθανάτων τοιοίδε μετὰ θνητοῖσιν ἔασι.
Τὸν δ' ἀπαμειβόμενος προσέφη Διὸς ἄλκιμος υἱός·
Ναὶ, γέρον, Αὐγείην ἐθέλοιμί κεν ἀρχὸν Ἐπειῶν
Εἰσιδέειν· τοῦ γάρ με καὶ ἤγαγεν ἐνθάδε χρειώ.
Εἰ δ' ὁ μὲν ἂρ κατὰ ἄστυ μένει παρὰ οἷσι πολίταις,
Δήμου κηδόμενος, διά τε κρίνησι θέμιστας,
Δμώων δή τινα, πρέσβυ, σύ μοι φράσον ἡγεμονεῦσαι,
Ὅστις ἐπ' ἀγρῶν τῶνδε γεραίτερος αἰσυμνήτης,
Ὧι κε τὸ μὲν κ' εἴποιμι, τὸ δ' ἐκ φαμένοιο πυθοίμην.
Ἄλλου δ' ἄλλον ἔθηκε θεὸς γ' ἐπιδευέα φωτῶν.
Τὸν δ' ὁ γέρων ἐξαῦτις ἀμείβετο, δῖος ἀροτρεύς·
Ἀθανάτων, ὦ ξεῖνε, φραδῇ τινὸς ἐνθάδ' ἱκάνεις·

---

ὅρος, σύνορον· ἃ μᾶλλον οἱ γεωργοὶ ἐπίστανται. 28. Ὥριον θέρος] καὶ ὡραῖον, καθ' ὃν χρόνον γίνονται τὰ ὡραῖα καὶ μᾶλλον αἱ σταφυλαί. 33.

πεύοντος τοῦ θέρους, ἥκειν ἐπὶ τὸν τρυγητόν· πᾶν γὰρ τὸ πεδίον τοῦτο κτῆσίς ἐστι τοῦ εὐδαίμονος Αὐγείου, αἵτε σιτοφόροι γαῖαι, καὶ οἱ δενδρώδεις ἐκεῖνοι κῆποι μέχρι τοῦ ἀκρωτηρίου,, ἐξ οὗ πολλαὶ πηγαὶ ἐπιῤῥέουσιν ὑδάτων, οὓς ἡμεῖς λιπαρῶς φυτοκομοῦμεν, ὡς ἀπόκειται τοῦτο τοῖς οἰκέταις, οἷς ὁ βίος τῶν ἀγρῶν ἐπιμελεῖσθαι· Νῦν δ' εἰπέ μοι καὶ αὐτὸς ἐν μέρει, τίποτε βουλόμενος ἐλήλυθας δεῦρο; τοῦτο γὰρ μαθόντος ἐμοῦ, καὶ σοί τι συνοίσει· πότερον Αὐγείαν αὐτὸν, ἢ τῶν οἰκετῶν αὐτοῦ τινα ἦλθες ζητήσων; ἐγὼ γὰρ, ὡς πάντ' εἰδὼς, μάλα σαφῶς ἐξηγήσομαί σοι· οὐ γὰρ ἂν εἴποιμι τῶν κακῶν τινά σε εἶναι· οὐ γὰρ ἔοικας, ὅσον σοὶ τὸ εἶδος διαπρέπει· τοιοῦτοι γὰρ εἰσιν ἐν τοῖς θνητοῖς οἱ παῖδες τῶν ἀθανάτων.

Ἡρακλῆς δ' ὁ εὔρωστος παῖς τοῦ Διὸς ἀπεκρίνατο πρὸς ταῦτα· ναὶ ὦ γέρων, Αὐγείαν αὐτὸν τῶν Ἐπειῶν βασιλέα ἐφίεμαι ἰδεῖν· πρὸς γὰρ τοῦτον χρεία τις ἤγαγέ με· εἰ δὲ ἐκεῖνος διατρίβει ἐν τῇ πόλει, ἐπιμελούμενος τοῦ δήμου, καὶ δικάζων τοῖς πολίταις, φράσον μοι αὐτὸς τινὰ, ὦ γέρων, τῶν ἐπιστατούντων γεραιτέρων, ὃς λαβὼν καὶ δοὺς λόγον, ἡγεμών μοι ἔσται, ἐφ' ὃ σπεύδω· ὁ γὰρ θεὸς ἐποίησε πάντας ἀνθρώπους ἄλλον πρὸς ἄλλο ἐπιδεεῖς ἀλλήλων.

Γέρων δὲ ὁ σεβαστὸς ἀπεκρίνατο πρὸς ταῦτα· θεῶν τις ἔοικεν, ὦ ξένε, ξυναγωγεύς σου γενέσθαι δεῦρο· ἐφ' ὃ γὰρ

---

Ἡ δίκη οἰκήων] ὥσπερ ἐστὶ τὸ ἔθος, ἡ τάξις τῶν οἰκείων· συνήθης ἡ φράσις, αὕτη ἐστὶ δίκη θεῶν, δίκη βασιλέων, δίκη ἀνθρώπων. 34. Αὐτῷ] σοὶ αὐτῷ. 47. Πρέσβυ] ἀντὶ τούτου ἐν τῇ ἀρχαίᾳ κεῖται, Τῶνδε.

Ὥς τοι πᾶν, ὅ θέλεις, αἶψα χρέος ἐκτετελέσθαι.
Ὧδε γὰρ Αὐγείης υἱὸς φίλος Ἠελίοιο,
Σφωϊτέρῳ σὺν παιδὶ, βίῃ Φυλῆος ἀγαυοῦ,
Χθιζός γ' εἰλήλουθεν ἀπ' ἄστεος, ἤμασι πολλοῖς
Κτῆσιν ἐποψόμενος, ἤ οἱ νήριθμος ἐπ' ἀγρῶν·
Ὥς που καὶ βασιλεῦσιν ἐείδεται ἐν φρεσὶν ᾗσιν
Αὐτοῖς κηδομένοισι σαώτερος ἔμμεναι οἶκος.
Ἀλλ' ἴομεν μάλα πρὸς μίν· ἐγὼ δέ τοι ἡγεμονεύσω
Αὖλιν ἐς ἡμετέρην, ἵνα κεν τέτμοιμεν ἄνακτα.
 Ὣς εἰπὼν ἡγεῖτο· νόῳ δ' ὅγε πολλὰ μενοίνα,
Δέρμά τε θηρὸς ὁρῶν, χειροπληθῆ τε κορύνην,
Ὁππόθεν ὁ ξεῖνος· μέμαεν δέ μιν ἐξερέεσθαι.
Ἂψ δ' ὄκνῳ ποτὶ χεῖλος ἐλάμβανε μῦθον ἰόντα,
Μή τί οἱ οὐ κατὰ καιρὸν ἔπος ποτιμυθήσαιτο
Σπερχομένῳ· χαλεπὸν δ' ἑτέρου νόον ἴδμεναι ἀνδρός.
 Τοὺς δὲ κύνες προσιόντας ἀπόπροθεν αἶψ' ἐνόησαν,
Ἀμφότερον, ὀδμῇ τε χροὸς, δούπῳ τε ποδοῖϊν.
Θεσπέσιον δ' ὑλάοντες ἐπέδραμον ἄλλοθεν ἄλλος
Ἀμφιτρυωνιάδῃ Ἡρακλεῖ· τὸν δὲ γέροντα,
Ἀχρεῖον κλάζοντε, περίσσαινόν γ' ἑτέρωθεν.
Τοὺς μὲν ὅγε λάεσσιν, ἀπὸ χθονὸς ἄσσον ἀείρων,
Φευγέμεν ἂψ ὀπίσω δειδίσσετο· τρηχὺ δὲ φωνῇ
Ἠπείλει μάλα πᾶσιν, ἐρητύσασκε δ' ὑλαγμοῦ,

55. Βίῃ] σύμφωνον τοῦτό ἐστι πρὸς τῷ παιδὶ, ὡς εἰ ἔλεγε, σὺν παιδὶ ἰσχυρῷ Φυλεῖ· ὡς λέγομεν καὶ βίη Ἡρακλέως. 58. Εἴδεται] δοκεῖ· ὅμοιον δὲ τοῦτο τῷ, οὐδεὶς πιαίνει ἵππον, ὡς βασιλέως ὀφθαλμός. 61. Τέτμοιμεν] ἐντύχοιμεν, ἀπαντήσαιμεν. 72. Ἀχρεῖον κλάζοντε] δυϊκῷ δὲ ἀριθμῷ

ἥκεις, τοῦτ' αὐτίκα μάλα καὶ τετελεσμένον ἔσται· πάρεστι γὰρ Αὐγείας, ὁ φίλος Ἡλίου παῖς, χθὲς ἐλθὼν ἐκ τῆς πόλεως μετὰ Φυλέως τοῦ παιδὸς, διὰ πολλοῦ χρόνου τὴν ὑπάρχουσαν αὐτῷ ἐπισκεψόμενος οὐσίαν· ἥτις ἄφθονός ἐςιν αὐτῷ ἐν τοῖς ἀγροῖς· ἴσασι γὰρ οἱ βασιλεῖς, ὡς τότε μᾶλλον λιπαροὶ καθίστανται οἱ οἶκοι, ἡνίκ' αὐτοί εἰσιν ἐπίσκοποι τῶν ἔργων· Ἀλλ' ἕπου μοι πρὸς ἐκεῖνον· ἐγὼ γὰρ αὐτὸς πρὸς τὴν ἡμετέραν αὐλὴν ἡγήσομαί σοι· ἔνθα ἐντευξόμεθα ἐκείνῳ.

Ταῦτα δ' εἰπὼν ὁ γέρων, προηγεῖτο, κατὰ νοῦν ἀνακυκλῶν ἀεὶ, τὶς καὶ τοδαπὸς ὁ ξένος εἴη, ὃς λεοντῆν ἐπ' ὤμων φέροι, καὶ ῥόπαλον ἐν ταῖς χερσὶ τοιοῦτον· Καί τοι δ' ὥρμητο πολλάκις ἐρωτῆσαι αὐτὸν, τὶς εἴη, ἀλλ' ἀνεκόπτετο, ἐπέχων ἐν τοῖς χείλεσι τὸν λόγον, ὡς ὠκνῶν, μὴ παρὰ καιρὸν τοὐρώτημα φανῇ αὐτῷ ἐπειγομένῳ· οὐ γὰρ ῥάδιον τὸ τοῦ ἑτέρου φρόνημα εἰδέναι.

Τούτους οὖν οὕτω προσιόντας τῇ ἐπαύλει ἔτι πόῤῥωθεν ἐνενόησαν οἱ κύνες, ἔκτε τῆς ὀδμῆς αὐτῶν, κἀκ τοῦ κρότου τῶν ποδῶν ἐπῃσθημέναι· Ἐπῄεσαν οὖν αὐτῷ μὲν τῷ Ἀμφιτρύδῃ ὑλακῇ ἀγρίᾳ ἄλλος ἄλλοθεν καθυλακτοῦντες· τὸν δὲ γέροντα αὖ, ὑποκλάζοντες σὺν προσποιήσει, περιέσαινον· Τούτους δ' ὁ γέρων, λίθους ἀναλαβὼν ἀπὸ τῆς γῆς, ἐποίησεν ἀποχωρῆσαι, τραχυτέρᾳ τῇ φωνῇ ἀναγκάσας

---

διὰ τὸ μέτρον ἐχρήσατο ἀντὶ πληθυντικοῦ· σύνηθες δὲ τὸ σχῆμα παρὰ ποιηταῖς· ὡς καὶ κατωτέρω. στίχ. 137. Ἀχρεῖον δὲ ἔκλαζον, ὅτι καὶ πρὸς τὸν γέροντα ἐχρῶντο τῇ κλαγκῇ, μηδὲν δέον, προσαίνοντες, οἷον ὑπὸ χαρᾶς κινούμενοι· πεφύκασι γὰρ οἱ κύνες κλάζειν καὶ οἷς συνοῦσι διὰ χαράν· ἔστι δὲ εὑρεῖν παρὰ ποιηταῖς καὶ ἀχρεῖον ἔκλαυσε, καὶ ἀχρεῖον ἐγέλασεν, οἷον

Χαίρων ἐν φρεσὶν ᾗσιν, ὅθ' οὔ εκεν αὖλιν ἔρυντο,
Αὐτοῦ γ' οὐ παρεόντος, ἔπος δ' ὅγε τοῖον ἔειπεν·
Ὢ πόποι, οἷον τοῦτο θεοὶ ποίησαν ἄνακτες
Θηρίον ἀνθρώποισι μετέμμεναι· ὡς ἐπιμηθές·
Εἴ οἱ καὶ φρένες ὧδε νοήμονες ἔνδοθεν ἦσαν,
Ἤιδει δ', ᾧτε χρὴ χαλεπαινέμεν, ᾧτε καὶ οὐκὶ,
Οὐκ ἄν οἱ θηρῶν τις ἐδήρισεν περὶ τιμῆς·
Νῦν δὲ λίην ζάκοτόν τι καὶ ἀῤῥηνὲς γένεθ' αὔτως.
Ἦ ῥα, καὶ ἐσσυμένως ποτὶ ταὔλιον ἷξον ἰόντες.
Ἠέλιος μὲν ἔπειτα ποτὶ ζόφον ἔτραπεν ἵππους,
Δείελον ἦμαρ ἄγων· τὰ δὲ ἐπήλυθε πίονα μῆλα
Ἐκ βοτάνης ἀνιόντα μετ' αὔλιά τε σηκούς τε.
Αὐτὰρ ἔπειτα βόες μάλα μυρίαι ἄλλαι ἐπ' ἄλλαις
Ἐρχόμεναι φαίνονθ', ὡσεὶ νέφη ὑδατόεντα,
Ὅσσά τ' ἐν οὐρανῷ εἰσὶν ἐλαυνόμενα προτέρωσε
Ἠὲ νότοιο βίῃ, ἠὲ Θρῃκὸς βορέαο·
Τῶν μὲν τ' οὔτις ἀριθμὸς ἐν ἠέρι γίνετ' ἰόντων,
Οὐδ' ἄνυσις· τόσα γάρ τε μετὰ προτέροισι κυλίνδει
Ἲς ἀνέμου, τὰ δέ τ' ἄλλα κορύσσεται αὖθις ἐπ' ἄλλοις·
Τόσσ' αἰεὶ μετόπισθε βοῶν ἐπὶ βουκόλι' ᾔει.
Πᾶν δ' ἄρ' ἐνεπλήσθη πεδίον, πᾶσαι δὲ κέλευθοι,
Ληΐδος ἐρχομένης· στείνοντο δὲ πίονες ἀγροὶ
Μυκηθμῷ· σηκοὶ δὲ βοῶν ῥεῖα πλήσθησαν
Είλιπόδων· ὄϊες δὲ κατ' αὐλὰς ηὐλίζοντο.

---

ἠναγκασμένον καὶ παράκαιρον γέλωτα. 81. Ὧτε χρὴ χαλεπαίνειν, ᾧτε καὶ οὐκί.] οἷον τοῖς ἐπὶ κακῷ ἐπιοῦσιν, ἀλλ' οὐ καὶ τοῖς φιλίως προσιοῦσιν.

σιωπῆσαι· ἔχαιρε δ' οὖν ὁ γέρων ἐν τῷ κρυπτῷ, ὅτι, αὐτοῦ ἀπόντος, φυλάττουσι τὴν ἔπαυλιν, εἰπὼν τοιαῦτα.

Ὦ πόποι· οἷον ἄγρυπνον τοῦτο θηρίον ἔδωκαν οἱ θεοὶ ἀνθρώποις δῶρον! εἰ γὰρ καὶ νοῦς αὐτῷ ἐνῆν, ὥστ' εἰδέναι, ὅτῳ μὲν χρὴ χαλεπαίνειν, ὅτῳ δὲ μή, οὐδὲν ἂν ἦν παρ' ἀνθρώποις αὐτοῦ τιμιώτερον· νῦν δὲ λίαν ἐστὶν ὀργίλον, καὶ ἀκράτητον.

Ταῦτα δὲ αὐτοῦ εἰπόντος, εἰσῆλθον εἰς τὴν αὐλήν· ἦν δ' ὥρα, ἡνίχ' ὁ ἥλιος ἤλαυνε τὸ ἑαυτοῦ ἅρμα πρὸς τὸν ζόφον κατὰ δείλην ὀψίαν, ὁπότε τὰ ποίμνια, ἐπανιόντα ἀπὸ τῆς νομῆς, εἰσίασιν εἰς τοὺς σηκούς, καὶ αἱ βόες μυρίον πλῆθος, ἥκουσιν ἄλλαι ἐπ' ἄλλαις· καθάπερ γὰρ αἱ νεφέλαι πνοῇ ἀνέμων, ἄλλη ἄλλῃ, κινούμεναι, ἀκολουθοῦσιν· ὧν ἀριθμὸς οὐκ ἔστιν, οὐδὲ παῦσίς τις, τῶν μὲν προηγουμένων, τῶν δὲ ἑπομένων, καὶ ἐπικαταλαμβανουσῶν τὰς πρώτας, ὥστ' ἐπισωρεύεσθαι ἀλλήλαις· οὕτω καὶ τὰ βουκόλια ἀλλ' ἄλλων διάδοχα εἰς τὴν ἔπαυλιν συνελέγοντο· ὥστε πᾶν μὲν τὸ πεδίον ἐστένωτο τῷ πλήθει, πᾶσα δὲ ὁδὸς μεστὴ ἦν θρεμμάτων ἐς τοὺς σηκοὺς ἰόντων· ὧν τῷ μυκηθμῷ πάντες οἱ ἀγροὶ ἐδόκουν στένειν· καὶ οἱ σηκοὶ ἐντεῦθεν ἐπλήσθησαν βοῶν ἑλικοπόδων· αἱ δ' αὖ ὄϊες ηὐλίζοντο καὶ αὗται ἄλλαι

---

52. Οὐκ ἄν τις ἐδίρησε περὶ τιμῆς] εἰ λόγος προὔκειτο περὶ τιμῆς (χρηματικῆς) πάντες ἂν εἶπον, ὅτι τὸν κύνα δεῖ τιμιώτερον εἶναι· ἢ οὕτως, Οὐδεὶς φείδεται κύνα τοιοῦτον πολλοῦ πρίασθαι. 83. Ἀῤῥηνὲς] δηκτικόν, ἀκρατές. 93. Ἄνυσις] παῦσις, τέλος. Ὅρα δὲ τὴν εἰκόνα ἄνωθεν οὐδὲν τῶν Ὁμήρου ἀπολειπομένην. 97. Ληΐδος ἐρχομένης] ἀντὶ κτήσεως· ἐπειδὴ ὅμως οἱ δυνατοὶ καὶ ἐκ λείας ἐποιοῦντο τὴν κτῆσιν, λέγεται ἡ Κτῆ-

Ἔνθα μὲν οὔτις ἔκηλος, ἀπειρεσίων περ ἐόντων,
Εἱστήκει παρὰ βουσὶν ἀνὴρ κεχρημένος ἔργου·
Ἀλλ᾽ ὁ μὲν ἀμφὶ πόδεσσιν εὐτμήτοισιν ἱμᾶσι
Καλοπέδιλ᾽ ἀράρισκε, παρασταδὸν ἐγγὺς ἀμέλγων·
Ἄλλος δ᾽ αὖ φίλα τέκνα φίλαις ὑπὸ μητράσιν ἵει,
Πινέμεναι λαροῖο μεμαότα πάγχυ γάλακτος·
Ἄλλος ἀμόλγιον εἶχ᾽, ἄλλος τρέφει πίονα τυρόν.
Ἄλλος ἐσῆγεν ἔσω ταύρους δίχα θηλειάων.
Αὐγείης δ᾽ ἐπὶ πάντας ἰὼν θηεῖτο βοαύλους,
Ἥν τινά οἱ κτεάνων κομιδὴν ἐτίθεντο νομῆες.
Σὺν δ᾽ υἱός τε, βίη τε βαρύφρονος Ἡρακλῆος,
Ὡμάρτευν βασιλῆϊ διερχομένῳ μέγαν ὄλβον.
Ἔνθα καὶ ἄρρηκτόν περ ἔχων ἐν στήθεσι θυμὸν
Ἀμφιτρυωνιάδης, καὶ ἀρηρότα νωλεμὲς αἰεί,
Ἐκπάγλως θαύμαζε βοῶν τόγε μυρίον ἔθνος
Εἰσορόων. οὐ γάρ κεν ἔφασκέ τις οὐδὲ ἐώλπει
Ἀνδρὸς ληΐδ᾽ ἑνὸς τόσσην ἔμεν, οὐδὲ δέκ᾽ ἄλλων,
Οἵγε πολύῤῥηνες πάντων ἔσαν ἐκ βασιλήων.
Ἠέλιος δ᾽ ᾧ παιδὶ τόδ᾽ ἔξοχον ὤπασε δῶρον,
Ἀφνειὸν μήλοις περὶ πάντων ἔμμεναι ἀνδρῶν·
Καί ῥά οἱ αὐτὸς ὄφελλε διαμπερέως βοτὰ πάντα
Ἐς τέλος· οὐ μὲν γάρ τις ἐπήλυθε νοῦσος ἐκείνου
Βουκολίοις, αἵτ᾽ ἔργα καταφθίνουσι νομήων.
Αἰεὶ δὲ πλέονες κεραοὶ βόες, αἰὲν ἀμείνους
Ἐξ ἔτεος γείνοντο μάλ᾽ εἰς ἔτος· ἦ γὰρ ἅπασαι
Ζωοτόκοι τ᾽ ἦσαν περιώσια, θηλυτόκοι τε.

---

εις καὶ Λεῖκ. 101. Κεχρημένος] χρείαν ἔχων ἔργου· ἀργὸς δηλονότι. 101.

ἄλλη· ὅπου ἔβλεπέ τις τοὺς ποιμένας ἑνός τινος ἐχομένους ἔργου, καὶ μηδέν αὐτῶν ἀξυντελῆ ὄντα, καίπερ μυρίων αὐτῶν ὄντων· ὁ μὲν γὰρ αὐτῶν εὖ περιθέμενος τὰ πέδιλα περὶ τοὺς πόδας, ἤμελγεν ἐκ τοῦ πλησίον· ὁ δὲ τοὺς ἄρνας ἐφίει ταῖς μητράσιν· ἐφιεμένους ἤδη γάλακτος ἡδέος ἐμπλησθῆναι· καὶ ἄλλος μὲν ἔφερεν ἀμολγέα· ἕτερος δὲ τυρὸν ἐπήγνυ· καὶ ἄλλος αὖ εἰσήλαυνε τοὺς ταύρους, τῶν θηλειῶν μεμονωμένους· Αὐγείας δὲ διὰ πάντων τῶν σταθμῶν ἰὼν, ἐσκόπει, ἥν τινα αὐτῷ ἐπιμέλειαν οἱ ποιμένες ποιοῦνται τῶν θρεμμάτων· ὡς δ' αὔτως καὶ ὁ παῖς αὐτῷ καὶ ὁ Ἥρως Ἡρακλῆς, παρηκολούθουν τῷ βασιλεῖ, τὸν ἑαυτοῦ ἐπισκεπτομένῳ ὄλβον· ἔνθα ὁ τοῦ Ἀμφιτρύονος, καί τοι ἦν ἀνὴρ, οἷος ἀκίνητον καρδίαν πρὸς τὰ τοιαῦτα ἔχειν, ἀλλ' οὐκ εἶχε μὴ θαυμάζειν σὺν ἐκπλήξει, τοσαῦθ' ὁρῶν βοῶν μυρία ἔθνη· τίς γὰρ πώποτε ᾠήθη ὄψεσθαι τοσαύτην κτῆσιν ἑνὶ ἀνδρὶ γεγενημένην, ἣν οὐδὲ ἐν δέκα ἅμα βασιλεῦσι, καὶ τούτοις πολυκτημονεστάτοις οὖσιν, εὕροι τις ἂν ζητήσας; τοσαύτην Ἥλιος ὁ πατὴρ αὐτῷ ἐδωρήσατο περιουσίαν, συναύξων μὲν αὐτῷ τὰ κτήνη, ἀποσοβῶν δὲ ἑτέρωθεν τὰς νόσους, ἐξ ὧν φθείρονται τὰ ἔργα τῶν ποιμένων· αἱ γὰρ βόες ἐξ ἔτους εἰς ἔτος ἀεὶ πλείους γίγνονται, εὔτοκοι οὖσαι καὶ θηλυτόκοι ἅμα· αἷς

---

Ἀράρισκεν . . . ἀμέλγων] ἀντιμέρεια τὸ σχῆμα, ἀντὶ τοῦ, Ἀραρὼς ἤμελγεν, τὸ ἡγούμενον ἀντὶ τοῦ ἑπομένου, εἰ μήτι λανθάνει. 104. Φίλαις ὑπὸ μητράσιν] ἐν δὲ τῇ ἀρχαίᾳ κεῖται, Φίλας ἀπὸ μητέρας· ὡς κἀν τῷ ἑπομένῳ, ἀντὶ τοῦ, Λαροῖο μεμαότα πάγχυ, κεῖται, Λιαροῖο πέπληνται δὲ πάγχυ. 117. Πολύῤῥηνες] ἐκ συγκοπῆς τοῦ πολυάρρηνες παρὰ τὸ Ἄρς καὶ Ἄρην,

Ταῖς δὲ τριηκόσιοι ταῦροι σύναμ' ἐστιχόωντο,
Κνήμαργοί θ' ἕλικές τε διηκόσιοί γε μὲν ἄλλοι
Φοίνικες: πάντες δ' ἐπιβήτορες οἵγ' ἔσαν ἤδη.
Ἄλλοι δ' αὖ μετὰ τοῖσι δυώδεκα βουκολέοντο
Ἱεροὶ Ἠελίου· χροιὴν δ' ἔσαν ἠΰτε κύκνοι,
Ἀργησταί, πᾶσιν δὲ μετέπρεπον εἰλιπόδεσσιν·
Οἳ καὶ ἀτιμαγέλαι βόσκοντ' ἐριθηλέα ποίην
Ἐν νομῷ, ὧδ' ἔκπαγλον ἐπὶ σφίσι γαυριόωντες.
Καί ῥ' ὁπότ' ἐκ λασίοιο θοοὶ προγενοίατο θῆρες
Ἐς πεδίον δρυμοῖο, βοῶν ἕνεκ' ἀγροτεράων,
Πρῶτοι τοί γε μάχηνδε κατὰ χροὸς ἤεσαν ὀσμήν·
Δεινὸν δ' ἐβρυχῶντο, φόνον λεύσσοντε προσώπῳ.
Τῶν μέν τε προφέρεσκε βίηφί τε, καὶ σθένεϊ ᾧ,
Ἠδ' ὑπεροπλίῃ, Φαέθων μέγας: ὅν ῥα βοτῆρες
Ἀστέρι πάντες ἔϊσκον, ὅθ' οὕνεκα πολλὸν ἐν ἄλλοις
Βουσὶν ἰὼν λάμπεσκεν, ἀρίζηλος δ' ἐτέτυκτο.
Ὅς δή τοι σκύτος αὖον ἰδὼν χαροποῖο λέοντος,
Αὐτῷ ἔπειτ' ἐπόρουσεν ἐϋσκόπῳ Ἡρακλῆϊ,
Χρίμψασθαι ποτὶ πλευρὰ κάρη, στιβαρόν τε μέτωπον.
Τοῦ μὲν ἄναξ προσιόντος ἐδράξατο χειρὶ παχείῃ
Σκαιοῦ ἄφαρ κέραος· κατὰ δ' αὐχένα νέρθ' ἐπὶ γαίης
Κλάσσε βαρύν περ ἐόντα· πάλιν δέ μιν ὦσεν ὀπίσσω,
Ὤμῳ ἐπιβρίσας· ὁ δέ οἱ ἐπὶ νεῦρα τανυσθεὶς
Μυῶν ἐξ ὑπάτοιο βραχίονος ὀρθὸς ἀνέστη.
Θαύμαζεν δ' αὐτός τε ἄναξ, υἱός τε δαΐφρων

ἀρνεῖον. 132. Ἀτιμαγέλαι] ὡς ἐν μὲν τῇ νεμῇ περιφρονοῦντες τὴν ἀγέλην,

τριακόσιοι παρομαρτοῦσι ταῦροι, ἑλικόκερῳ καὶ λευκόκνημοι πάντες, χωρὶς ἕτεροι διακόσιοι φοίνικες· ἅπαντες δὲ ἐπιβήτορες ἦσαν· ἕτεροι δ' αὖ παρὰ τούτους δυωκαίδεκα, δίκην κύκνων λευκότητι διαπρέποντες τοῖς ἄλλοις, ἱεροὶ ἦσαν Ἡλίῳ· οἳ τῷ ἑαυτῶν ἐπαγαλλόμενοι κάλλει, χωρὶς τῶν ἄλλων ἐν ὑποδρόσοις διανέμονται λειμῶσιν· ἐπειδὰν ὅμως ὑποφανῇ ποτε ἐκ τῶν παρακειμένων δρυμόνων θηρία ἀθρόα, ἐπὶ τὰς ἀγέλας ἐπιόντα, οὗτοι πρῶτοι, αἰσθόμενοι ἀπὸ τῆς ὀσμῆς, ἀντεπεξίασιν αὐτοῖς εἰς μάχην, βρυχώμενοι φοβερὸν, τὸν φόνον ἔχοντες ἐπ' ὄψιν· ὧν ἦν ῥώμῃ τε καὶ τόλμῃ πολλῷ τῶν ἄλλων προὔχων, μέγας καλούμενος Φαέθων· ἀστέρι δ' αὐτὸν εἴκαζον οἱ βουκόλοι, ἀνθ' ὧν διέπρεπεν ἐν βουκολίοις· Οὗτος δὴ, ἰδὼν τὸ ξηρὸν δέρμα τοῦ φοβεροῦ λέοντος, ἦσεν ὁμόσε ἐπὶ τὸν Ἡρακλέα, πλαγίως θέλων λαβεῖν αὐτὸν τοῖς κέρασιν ἐπὶ τὰς πλευράς· Ἡρακλῆς δ' ἅμα προσιόντος αὐτοῦ δραξάμενος τοῦ εὐωνύμου κέρως χειρὶ στιβαρᾷ, ἔκαμψε μὲν τὸν ἄκαμπτον αὐτοῦ αὐχένα, ἐξέωσε δὲ πάλιν, ἐπιβρίσας τῷ ὤμῳ· ὁ δὲ καταπονηθεὶς τὰ νεῦρα ἐκ βραχίωνος ἰσχυροῦ, ὤρθωσε τὴν κεφαλὴν εἰς τὸ κατὰ φύσιν· Τούτων δὲ οὕτω γενομένων, ἐθαύμαζον οἱ περιεστῶτες ὁρῶντες ὅ,τε

---

τῇ ἑαυτῶν ἀρετῇ ἀγαλλόμενοι· ἐν δὲ τῇ πρὸς τὰ θηρία μάχῃ αὐτὰ καὶ καὶ προαισθόμενοι καὶ ἀντεπεξιόντες. 137. Λεύσσοντε] δυϊκὸν ὡς ἀνωτέρω στίχ. 72. ἴδε ἐκεῖ. 142. Σκύτος] ἄλλος ἔγραψε Σκύλος. τὸ δὲ Χαροποῖο] τοῦ γλαυκοῦ, φοβεροῦ. 144. Χρίμψασθαι] τρίψαι τὴν ἑαυτοῦ κεφαλὴν πρὸς τὰς πλευράς, ὅ ἐστι, Κεραῖσαι ἕνεκα τῆς λεοντῆς. 148. Ἐπιτανυσθεὶς τὰ νεῦρα] καταπονηθεὶς, πρῶτον κατὰ γῆς πιεσθεὶς, εἶθ' οὕτως

Φυλεὺς, οἵ τ' ἐπὶ βουσὶ κορωνίσι βουκόλοι ἄνδρες,
Ἀμφιτρυωνιάδαο βίην ὑπέροπλον ἰδόντες.
Τὼ δ' εἰς ἄστυ, λιπόντε κατ' αὐτόθι πίονας ἀγροὺς,
Ἐστιχέτην, Φιλεύς τε βίη θ' Ἡρακληείη.
Λαοφόρον δ' ἐπέβησαν ὅτε πρώτιστα κελεύθου,
Λεπτὴν καρπαλίμοισι τρίβον ποσὶν ἐξανύσαντες,
Ἥ ῥα δι' ἀμπελεῶνος ἀπὸ σταθμῶν τετάνυστο,
Οὔτι λίην ἀρίσημος ἐν ὕλῃ χλωρᾷ ἐοῦσα·
Τῇ μὲν ἄρα προσέειπε Διὸς γόνον ὑψίστοιο
Αὐγείεω φίλος υἱὸς, ἕθεν μετόπισθεν ἐόντα,
Ἦκα παρακλίνας κεφαλὴν κατὰ δεξιὸν ὦμον·
Ξεῖνε, πάλαι τινὰ πάγχυ σέθεν πέρι μῦθον ἀκούσας,
Ὡσεί περ σφετέρησιν ἐνὶ φρεσὶ βάλλομαι ἄρτι·
Ἦλυθε γὰρ στείχων τίς ἀπ' Ἄργεος, ὡς νέος ἀκμὴν
Ἐνθάδ' Ἀχαιὸς ἀνὴρ, Ἑλίκης ἐξ ἀγχιάλοιο,
Ὅς δή τοι μυθεῖτο καὶ ἐν πλεόνεσσιν Ἐπειῶν,
Οὕνεκεν Ἀργείων τις, ἕθεν παρεόντος, ὄλεσσε
Θηρίον, αἰνολέοντα, κακὸν τέρας ἀγροιώταις,
Κοίλην αὖλιν ἔχοντα Διὸς Νεμέοιο παρ' ἄλσος·
Οὐκ οἶδ' ἀτρεκέως, ἢ Ἄργεος ἐξ ἱεροῖο
Αὐτόθεν, ἢ Τίρυνθα νέμων πόλιν, ἠὲ Μυκήνην·
Ὣς κεῖνός γ' ἀγόρευε· γένος δέ μιν εἶναι ἔφασκεν

---

ἀφεθεὶς, ἀνέστη ἀναλαβὼν, ὃ πρότερον εἶχε σχῆμα. 151. Ἄνδρες] ἐν τῇ ἀρχαίᾳ ἀντὶ τούτου κεῖται Ἦσαν. 155. Ὅτε πρώτιστα] οὕτω ἔγραψα ἀντὶ τοῦ Ὅτε ἐξ ἑτέρας, ἵνα ᾖ κατὰ πρωθύστερον σχῆμα ἀντὶ τοῦ ὀρθοῦ, ὅτε δὲ πρώτιστ' ἀπέβησαν λεωφόρου κελεύθου. Δηλοῖ δὲ ἡ ὁδὸς ὅτι κατ' ἀρχὰς μὲν

βασιλεὺς αὐτὸς, ὅ,τε συνετὸς Φυλεὺς, καὶ πάντες οἱ βουκόλοι.

Ἐντεῦθεν τοίνυν Φυλεὺς μὲν καὶ Ἡρακλῆς, καταλιπόντες τὸν ἀγρὸν ἐπανῆκον εἰς τὴν πόλιν· ὡς δὲ διανύσαντες τὰ στενὰ τῆς τρίβου βήματι ταχεῖ δι' ἀμπελόνων καὶ παντοίας ὕλης, ἔνθ' οὐκ ἐργάσιμα ἦν μάλιστα, ἐπέβησαν τῆς λεωφόρου, ἐνταῦθα ἐπισχὼν ὁ φίλος τοῦ Αὐγείου παῖς, καὶ κλίνας ἠρέμα τὴν κεφαλὴν παρὰ θάτερον, εἶπεν ταῦτα πρὸς τὸν παῖδα τοῦ Διὸς, ἑπόμενον αὐτῷ·

Ὦ ξένε, πάλαι τυγχάνω ἀκούσας περὶ σοῦ, ὅσον ἐκ τῶν παρόντων πείθομαι πιστεύειν· ἀνὴρ γάρ τις ἐκ τῆς Ἑλίκης τῆς παράλου, νέος τὴν ἡλικίαν, ἐλθὼν ἐξ Ἄργους, ἄλλα θ' ἡμῖν πολλὰ διεξῄει πρὸς πολλοὺς τῶν Ἐπειῶν, καὶ ὅτι δὴ ἀπέκτεινε λέοντα, γεωργοῖς μέγιστον βλάβος ὄντα, καὶ παρὰ τὸ ἄλσος τοῦ Νεμαίου Διὸς ἐμφωλεύοντα· ἀλλ' οὐκ οἶδα, εἰ ἐξ Ἄργους ἀληθῶς ἢ ἐκ Τίνθινρος, ἢ καὶ ἐκ Μυκηνῶν αὐτῶν ἔλεγεν ἐκεῖνον εἶναι· τὸ δὲ γένος ἔφασκεν ἐκ τοῦ

---

ἦν στενὴ, εἶτα δὲ ἡ λεωφόρος, ὅπου ῥάστη ἦν βαδίζειν. 160. Ἐόντα] ἐν ἄλλοις κεῖται, ἰόντα. 162. Ἀκούσας] εἰμί· ἄμεινον δ' ἦν γράφειν· Ἀκοῦσαι· βούλεται δὲ λέγειν. Σὺ, ὡς ἔοικεν, εἶ περὶ οὗ ἀνὴρ Ἀργεῖος ἐλθὼν εἶπεν ἡμῖν θαυμαστὰ, ὅσον ἐγὼ συμβάλλομαι, ἐξ ὧν ἐν σοὶ βλέπω. 166. Ἐπειῶν] ἀπὸ τοῦ Ἐπειοῦ τοῦ Ἐνδυμίωνος, βασιλέως τῆς Ἤλιδος. 169. Νεμέοιο] τοῦ Νεμαίου. Νεμέα δὲ, τόπος δρυμώδης πλησίον τῆς Νεμέας πόλεως τῆς Ἀργολίδος, ἔνθα καὶ ναὸς τοῦ Διὸς, ὅπου Ἡρακλῆς ἐφόνευσε τὸν Νέμιον Λέοντα. Τίρυνς δὲ καὶ Μυκήνη, ἢ Μυκῆναι ἄλλως ἐν τῇ Ἀργολίδι· ἡ μὲν 50 στάδια ἀπέχουσα τοῦ Ἄργους, καθέδρα οὖσα Εὐρυσθέως· αἱ δὲ, 80. καθέδρα Περσέως. Περσεὺς δὲ υἱὸς Δανάης τῆς Ἀκρισίου· ὃν τελευταῖον ἐφόνευσεν ὁ Περσεὺς ἀκουσίως κατὰ τὸν χρησμόν· οἱ δὲ Αἰγιαλεῖς ἀρχαῖοι κάτοικοι ἦσαν ἐν Ἀχαΐᾳ. Ἑλίκη δ' αὖ πόλις καὶ αὐτὴ τῆς αὐτῆς Ἀχαΐας· ἀπὸ

(Εἰ ἐτεόν περ ἐγὼ μιμνήσκομαι) ἐκ Περσῆος.
Ἔλπομαι οὐχ ἕτερον τόδε τλήμεναι Αἰγιαλήων
Ἠὲ σὲ, δέρμα δὲ θηρὸς ἀριφραδέως ἀγορεύει
Χειρῶν καρτερὸν ἔργον, ὅ τοι περὶ πλευρὰ καλύπτει.
Εἴπ' ἄγε νῦν μοι πρῶτον, (ἵνα γνώω κατὰ θυμὸν,
Ἥρως, εἴτ' ἐτύμως μαντεύομαι, εἴτε καὶ οὐκί,)
Εἰ σύ γ' ἐκεῖνος, ὃν ἄμμιν ἀκουόντεσσιν ἔειπεν
Οὑξ Ἑλίκηθεν Ἀχαιὸς, ἐγὼ δέ σε φράζομαι ὀρθῶς.
Εἰπὲ δ', ὅπως ὀλοὸν τόδε θηρίον αὐτὸς ἔπεφνες,
Ὅππως τ' εὐύδρου Νεμέης εἰσήλυθε χῶρον.
Οὐ μὲν γάρ κε τοσόνδε κατ' Ἀπίδα κνώδαλον εὕροις
Ἱμείρων ἰδέειν· ἐπεὶ οὐ μάλα τηλίκα βόσκει,
Ἀλλ' ἄρκτους τε, σύας τε, λύκων τ' ὀλοφώϊον ἔρνος.
Τῷ καὶ θαυμάζεσκον ἀκούοντες τότε μῦθον·
Οἱ δέ νυ καὶ ψεύδεσθαι ὁδοιπόρον ἀνέρ' ἔφαντο,
Γλώσσης μαψιδίοιο χαριζόμενον παρεοῦσιν·
Ὣς εἰπὼν μέσσης ἐξηρώησε κελεύθου
Φυλεὺς, ὄφρα κιοῦσιν ἅμα σφίσιν ἄρκιον εἴη,
Καί ῥά τε ῥηΐτερον φαμένου κλύει Ἡρακλῆος,
Ὅς μιν ὁμαρτήσας τοίῳ προσελέξατο μύθῳ·
Ὦ Αὐγηϊάδη, τὸ μὲν ὅ,ττί με πρῶτον ἀνήρευ,
Αὐτὸς καὶ μάλα ῥεῖα κατὰ στάθμην ἐνόησας.
Ἀμφὶ δέ σοι τὰ ἕκαστα λέγοιμί κε τοῦδε πελώρου,
Ὅππως ἐκράανθεν, ἐπεὶ λιλαίεαι ἀκούειν,
Νόσφιν γ' ἢ, ὅθεν ἦλθε· τὸ γὰρ, πολέων περ ἐόντων

---

δὲ καὶ Ἀπία αὐτὴ ἡ Πελοπόννησος. 189. Ἐξηρώησε] ἐσπευσμένως παρε-

Περσέως ἕλκειν, ὅσον ἐγὼ μέμνημαι αὐτοῦ εἰπόντος· τοιοῦτον δὲ κίνδυνον τίς ἂν ὑπέστη ἄλλος τῶν Αἰγιαλήων, ἢ σύ; καὶ γὰρ καὶ τὸ δέρμα, ὅπερ τὰς σὰς πλευρὰς ἀμφικαλύπτει, ἔργον δοκεῖ εἶναι χειρῶν ἀάπτων, σαφῶς ἀποδεικνύει· Ἀλλ' ἄγ' εἰπέ μοι, ὦ Ἥρως (βουλοίμην γὰρ εἰδέναι, εἰ ἀληθῶς εἰκάζω) εἰ σύγ' ἐκεῖνος, ὃν ὁ ἐκ τῆς Ἑλίκης Ἀχαιὸς ἡμῖν ἱστόρει, καὶ εἰ ἐγὼ οὐκ ἐξαπατῶμαι, καὶ ὅπως ἀπέκτεινας αὐτὸς τὸ φοβερὸν τοῦτο θηρίον, καὶ ὅπως ποτὲ αὐτὸ εἰσῆλθεν εἰς τὴν ἑλώδη χώραν τῆς Νεμέης· οὐ γὰρ ἂν εὕροις ζητῶν τηλικοῦτον θηρίον ἐν τῇ χώρᾳ τῆς Ἀπίας· καί τοι γὰρ πολλὰ τρέφει, ἀλλ' ἄρκτους καὶ σύας καὶ λύκους τοιαῦτα λυμεῶνα καὶ φθοροποιὰ θηρία· διὸ καὶ μάλιστα ἐθαύμαζον πάντες πρὸς τὴν φήμην· εἰσὶ δὲ οἳ καὶ ψεύδεσθαι ᾠήθησαν τὸν ὁδοιπόρον, ὡς ἐκ γλώσσης ψευδοῦς χαριζόμενον τοῖς παραγινομένοις.

Ταῦτα δὲ εἰπὼν ὁ Φυλεὺς, ὑπεξέστη ἀπὸ μέσης τῆς ὁδοῦ παρὰ θάτερα, ἵνα ᾖ ἱκανὸν ἀμφοτέροις συστάδην ἀπὸ τοῦ ἴσου προϊέναι, ἐφ' ᾧ καὶ ῥᾶον ἀκούοι λέγοντος Ἡρακλέους· ὁ δὲ ἀποκρινάμενος πρὸς ταῦτα, εἶπεν.

Παῖ Αὐγείου, τὸ μὲν πρῶτον, ὧν μου πυνθάνῃ, εὐστόχως ἔγνως· τὰ δὲ ἄλλα περὶ τοῦ θηρίου τούτου, ὅπως ἕκαστα τυγχάνει πεπραγμένα, ἐπειδὴ τοῦτο μάλιστα ἐπιθυμεῖς εἰδέναι, καὶ ὅπως πόρρωθεν, ἢ ὅθεν ἦλθε, τοῦτ' ἐγώ ἐρῶ σοι· τοῦτο γὰρ, καί περ πολλῶν Ἀργείων ὄντων, οὐδεὶς αὐτῶν ἂν ἔχοι σαφῶς ἐξηγήσασθαι· εἰκάζομεν δὲ θεῶν τινα εἶναι

---

χώρησε καὶ τῷ Ἡρακλεῖ τόπον τῆς ὁδοῦ, ἵνα ἀπὸ τοῦ ἴσου συμπορεύωνται. — τὸ δὲ Ἄρκιον οὕτως ἔγραψα ἀντὶ τοῦ Ἄρκιος. 194. Κατὰ στάθμην ἐνόησας] τὸ πρῶτον (στίχ. 177) ἐρώτημα.

Ἀργείων, οὐδείς κεν ἔχοι σάφα μυθήσασθαι·
Οἷον δ' ἀθανάτων τιν' ἐΐσκομεν ἀνδράσι πῆμα
Ἥρων μηνίσαντα Φορωνήεσσιν ἐφεῖναι.
Πάντας γὰρ Πισῆας, ἐπικλύζων, ποταμὸς ὣς,
Λῖς ἄμοτον κεράϊζε· μάλιστα δὲ Βεμβιναίους,
Οἳ ἕθεν ἀγχίμολοι ναῖον, ἄτλητα παθόντες.
Τὸν μὲν ἐμοὶ πρώτιστα τελεῖν ἐπέταξεν ἄεθλον
Εὐρυσθεύς, κτεῖναι δέ μ' ἐφίετο θηρίον αἰνόν.
Αὐτὰρ ἐγὼ κέρας ὑγρὸν ἑλὼν, κοίλην τε φαρέτραν
Ἰῶν ἐμπλείην, νεόμην· ἑτέρηφι δὲ βάκτρον
Εὐπαγὲς, αὐτόφλοιον ἐπηρεφέος κοτίνοιο,
Εὔμετρον· τὸν μὲν αὐτὸς ὑπὸ ζαθέῳ Ἑλικῶνι
Εὑρὼν, σὺν πυκινῇσιν ὁλοσχερὲς ἔσπασα ῥίζης.
Αὐτὰρ ἐπεὶ τὸν χῶρον, ὅθι λῖς ἦεν, ἵκανον,
Δὴ τότε τόξον ἑλὼν στερπτῇ ἐπέλασσα κορώνῃ
Νευρειὴν, περὶ δ' ἰὸν ἐχέστονον εἶθαρ ἔθησα,
Πάντῃ δ' ὄσσε φέρον, ὀλοὸν τέρας ἐσκοπίαζον,
Εἴ μιν ἐσαθρήσαιμι, πάρος γ' ἐμὲ κεῖνον ἰδέσθαι.
Ἤματος ἦν τὸ μεσηγὺ, καὶ οὐδέπῃ ἴχνια τοῖο
Φρασθῆναι δυνάμην, οὐδ' ὠρυθμοῖο πυθέσθαι.
Οὐδὲ μὲν ἀθρώπων τις ἔην ἐπὶ βουσὶ καὶ ἔργοις
Φαινόμενος σπορίμοιο δι' αὔλακος, ὅντιν' ἐροίμην·
Ἀλλὰ κατὰ σταθμοὺς χλωρὸν δέος εἶχεν ἕκαστον.
Οὐ μὴν πρὶν πόδας ἔσχον, ὄρος τανύφυλλον ἐρευνῶν,
Πρὶν ἰδέειν, ἀλκῆς τε παραυτίκα πειρηθῆναι.

---

200. Φορωνήεσσιν] ἐκ τοῦ Φορωνέως υἱοῦ τοῦ Ἰνάχου καὶ τῆς Μελίας. Πισίαι

ὃς ἕνεκα ἱερῶν ὀργισθεὶς, ἐφῆκε τοιοῦτον τέρας Φορωνεῦσι· πάντας γὰρ Πισέας ἐπικλύζον τὸ θηρίον, καθάπερ ποταμὸς, τὰ μέγιστα τῶν κακῶν ἐποίει· καὶ πάντων μάλιστα τοὺς Βεμβιναίους, ὡς ἐγγύτερον ἐκείνου κατῳκημένους· Τοῦτον οὖν πρῶτον ἆθλον ἐπέταξέ μοι Εὐρυσθεὺς ἐπιτελέσαι, δι' ἐφέσεως μάλιστ' ἔχων αὐτὸν ἐμὲ ὑπὸ τοῦ θηρὸς ἀναλωθῆναι· ἀλλ' ἐγὼ ἀναλαβὼν τὴν μὲν ταῖν χεροῖν τὸ εὐκαμπὲς τόξον καὶ τὴν φαρέτραν, βελῶν πεπληρωμένην· τῇ δὲ ἑτέρᾳ τὸ ῥόπαλον, ὅ αὐτός ποτε εὑρὼν ἐν Ἑλικῶνι, εὐπαγὲς, εὔμετρον, ἀνεσπασάμην αὐταῖς ῥίζαις αὐτόφλοιον ἐκ πυκνῆς καὶ κατηφεροῦς κοτίνου, ἀπῄειν· κἀπειδὴ δ' ἀφικόμην, ἔνθα ἐνεφώλευεν ὁ λέων, λαβὼν τὸ τόξον, ἔτεινα, καὶ τὴν νευρὰν διειρκὼς ἐκ τῆς κορώνης, ἐπέβαλον εὐθὺς τὸ βέλος· περιφέρων δὲ τὸ ὄμμα πάντῃ, περιεσκόπουν, εἴπως εἴδοιμί πῃ τὸ θηρίον, πρὶν ἐμὲ ἰδεῖν ἐκεῖνο· ἦν δὲ μέσον τῆς ἡμέρας, καὶ οὐκ ἦν οὔτε ἴχνος τὶ ἰδεῖν, οὔτε ὠρυγμοῦ ἀκοῦσαι· οὔτε μὴν ἀνθρώπων τίς ἐφαίνετο ἀροτριῶν τὴν χώραν, ὅντινα ἂν ἐρωτῴην· συσχεθέντες γὰρ ἅπαντες τῷ δέει, κατεκλείσθησαν ἐν τῷ σταθμῷ, ἐν ᾧ ἕκαστος ἦν κατῳκημένος· ἀλλ' ἐγὼ οὐκ ἐπαυσάμην πρότερον μεταλλεύων κατὰ τὸ δάσος, πρὶν ἰδεῖν τε καὶ ὁμόσε ἐπ' αὐτὸν θῆρα ἰέναι· ἦν δ' οὔπω ὀψία

---

δὲ, ἐκ τῆς Πίσης πόλεως ἐν Ἤλιδι. Βεμβιναῖοι δὲ, ἐκ Βεμβίνης, κώμης τῆς Ἀργολίδος πλησίον Νεμέης. 206. Κέρας ὑγρὸν] τόξον ἐκ Κέρατος εὔκαμπτον. 208. Ἐπηρεφέος] ἐκ κοτίνου, ἧς οἱ κλάδοι ἦσαν πυκνοὶ, ἢ κατωφερεῖς. 211. Ὅθι.] ἐν ἄλλοις, Ὅπῃ λῖς, ὁ λέων. στρεπτὴν δὲ κορώνην λέγει τὸ ἐν τῷ ἄκρῳ τοῦ τόξου σφαίρωμα, ἢ ὁτιοῦν, ἀφ' οὗ ἠρτᾶτο ἡ νευρά· ἣν ἠρτημένην ἑτέρωθεν, ἐν καιρῷ χρείας ἀπήρτουν ἀμφοτέρωθεν, ἐπικάμπτοντες βίᾳ τὸ τόξον, ὡς ἐκ τῶν Ὀδυσσιακῶν ἐν τοῖς μνηστῆρσιν ἀγώνων πεπαιδεύμεθα. 219. Οὐδέπῃ] γράφουσι δὲ καὶ οὐδ' ὅπῃ.

Ἤτοι ὁ μὲν σήραγγα προδείελος ἔστιχεν εἰς ἥν,
Βεβρωκὼς κρειῶν τε καὶ αἵματος· ἀμφὶ δὲ χαίτας
Αὐχμηρὰς πεπάλακτο φόνῳ, χαροπόν τε πρόσωπον,
Στήθεά τε· γλώσσῃ δὲ περιλιχμᾶτο γένειον.
Αὐτὰρ ἐγὼ θάμνοισιν ἄφαρ σκιεροῖσιν ἐκρύφθην,
Ἐν ῥύῳ ὑλήεντι, δεδεγμένος, ὁππόθ' ἵκοιτο·
Καὶ βάλον ἆσσον ἰόντος ἀριστερὸν εἰς κενεῶνα
Τηϋσίως· οὐ γάρ τι βέλος διὰ σαρκὸς ὄλισθεν,
Ὀκριόεν, χλωρῇ δὲ παλίσσυτον ἔμπεσε ποίῃ.
Αὐτὰρ ὁ κρᾶτα δαφοινὸν ἀπὸ χθονὸς ὦκ' ἐπάειρεν
Θαμβήσας, πάντῃ δὲ διέδραμεν ὀφθαλμοῖσι
Σκεπτόμενος, λαμυροὺς δὲ χανὼν ὑπ' ὀδόντας ἔφηνε.
Τῷ δ' ἐγὼ ἄλλον ὀϊστὸν ἀπὸ νευρῆς προΐαλλον,
Ἀσχαλόων, ὅτι μοι πρὶν ἐτώσιος ἔκφυγε χειρός·
Μεσσηγὺς δ' ἔβαλον στηθέων, ὅθι πνεύμονος ἕδρα.
Ἀλλ' οὐδ' ὣς ὑπὸ βύρσαν ἔδυ πολυώδυνος ἰός·
Ἀλλ' ἔπεσε προπάροιθε ποδῶν ἀνεμώλιος αὔτως.
Τὸ τρίτον αὖ μέλλεσκον, ἀσώμενος ἐν φρεσὶν αἰνῶς,
Αὖ ἐρύειν· ὁ δέ μ' εἶδε περιγληνώμενος ὄσσοις
Θὴρ ἄματος· μακρὴν δὲ παρ' ἰγνύῃσιν ἕλιξε
Κέρκον, ἄφαρ δὲ μάχης ἐμνήσατο· πᾶς δέ οἱ αὐχὴν
Θυμοῦ ἐνεπλήσθη, πυρσαὶ δ' ἔφριξαν ἔθειραι
Σκυζομένῳ· κυρτὴ δὲ ῥάχις γένετ' ἠΰτε τόξον,
Πάντοθεν εἰλυσθέντος ὑπαὶ λαγόνας τε καὶ ἰξύν.
Ὡς δ' ὅταν ἁρματοπηγὸς ἀνὴρ, πολέων ἴδρις ἔργων,
Ὄρπηκας κάμπτῃσιν ἐρινεοῦ εὐκεάτοιο,

---

225. Χαροπὸν] ἐν τῇ ἀρχαίᾳ κεῖται, Χαλεπόν. 228. Ἐν ῥίῳ] ἐν ἄκρᾳ

δείλη καὶ ὁρῶ αὐτὸν εἰς τὸν ἑαυτοῦ ἐπανήκοντα φωλεὸν μεστὸν κρεῶν καὶ λύθρου τάς τε αὐχμηρὰς χαίτας, τό,τε βλοσυρὸν πρόσωπον, καὶ πᾶν τὸ στῆθος ἀνάπλεω αἵματος, καὶ συνεχῶς περιλείχοντα τὸ γένειον τῇ γλώσσῃ· ἐγὼ δὲ κατεδυόμην ὑπὸ πυκνῇ τῇ ὕλῃ, ὡς δεξόμενος αὐτὸν ὁπότε ἔλθοι· αὐτίκα δὲ προσιόντα, ἔβαλον αὐτὸν κατὰ τὸν εὐώνυμον τῶν λαγόνων μάτην· τὸ γὰρ βέλος, μὴ δυνηθὲν διακόψαι τὴν δορὰν αὐτοῦ, κατέπεσεν ἄπρακτον ἐπὶ τῆς ποίας· ὁ δὲ ἐκπλαγεὶς τὸ πρῶτον, καὶ τοὺς φοβεροὺς αὐτοῦ ὀδόντας ὑπεκφήνας, πάντῃ πάνθ' ὑπέτρεχε τῇ θέᾳ· ὁπότ' ἐγὼ καὶ ἕτερον βέλος ἐπ' αὐτὸν ἀφῆκα, ἀσχάλας τῇ τοῦ πρώτου ἀτυχίᾳ· ἔτυχον δὲ αὐτοῦ κατὰ τὸ στῆθος, ἔνθα μάλιστα κεῖται ὁ πνεύμων· ἀλλὰ καὶ τοῦτο ἔῤῥιπται εἰς μάτην, μὴ δυνηθὲν διατρῆσαι τὴν δορὰν, ἀλλὰ καταπεσὸν πρὸ τῶν ποδῶν αὐτοῦ ἀξυντελές· ἐντεῦθεν δὲ ἀδημονῶν ἐγὼ τοῖς ὅλοις, ἤμελλον καὶ τρίτον ἐπαφήσειν, ὁπότε περιβλέψας κατεῖδέ με ὁ ἀκόρεστος θὴρ ἐκεῖνος, καὶ παραχρῆμα περιελίξας τὴν οὐρὰν ὑπὸ τὰ σκέλη, τὸν μὲν αὐχένα θυμοῦ πεπληρωμένος, τὰς δὲ χαίτας φρίσσων ὅλως ἐξ ὀργῆς, καὶ τὴν ῥάχιν ἐπικαμφθεὶς εἰς τόξον, καὶ ὡς εἰπεῖν συσφαιρωθεὶς τήν τε ἰξὺν καὶ τοὺς λαγῶνας, ἵησιν ὁμόσε ἐπ' ἐμὲ ἀνασκιρτήσας· καθάπερ γὰρ, ἡνίκα τὶς τῶν ἁρματοποιῶν, πολλῶν ἔργων εἰδήμων, ἐρι-

---

τινὶ δασείᾳ. 231. Ὀκριόεν] πολλὰς ἔχων ἀκοκὰς, ἢ ὀξύ. Ὀκρυόεν δὲ διὰ τοῦ Υ, κρυερὸν, ψυχρόν. 234. Ὑπὸ δόντας ἔφηνε] ἐν δὲ τῇ ἀρχαίᾳ κεῖται, Ὑπέδειξεν ὀδόντας. 241. Περιγληνώμενος] περιβλέπων· παρὰ τὸ Γλήνη, ἡ ἐν τῷ ὀφθαλμῷ κόρη. 246. Ἰξὺν] μικρὸν τῶν λαγόνων ἀπέχει ἡ ἰξὺς, εἰμὴ ἐννοεῖ τὰ ἰσχία, ἢ τὴν ὀσφύν. 248. Εὐκεάτοιο] ῥᾳδίως

Θάλψας ἐν πυρὶ πρῶτον, ἐπαξονίῳ κύκλα δίφρῳ·
Τοῦ μὲν ὑπ' ἐκ χειρῶν ἔφυγεν τανύφλοιος ἐρινεὸς
Καμπτόμενος, τηλοῦ δὲ μιῇ πήδησεν ὑφ' ὁρμῇ·
Ὣς ἐπ' ἐμοὶ λῖς αἰνὸς ἀπόπροθεν ἀθρόος ἆλτο,
Μαιμώων χροὸς ἆσαι, ἐγὼ δ' ἑτέρηφι βέλεμνα
Χειρὶ προεσχεθόμην, καὶ ἀπ' ὤμων δίπλακα λώπην,
Τῇ δ' ἑτέρῃ ῥόπαλον κόρσης ὕπερ αὖον ἀείρας,
Ἤλασα κὰκ κεφαλῆς· διὰ δ' ἄνδιχα τρηχὺν ἔαξα,
Αὐτοῦ ἐπὶ λασίοιο καρήατος ἀγριέλαιον
Θηρὸς ἀμαιμακέτοιο· πέσεν δ' ὅγε, πρὶν ἔμ' ἱκέσθαι,
Ὑψόθεν ἐν γαίῃ, καὶ ἐπὶ τρομεροῖς ποσὶν ἔστη,
Νευστάζων κεφαλῇ· περὶ γὰρ σκότος ὄσσέ οἱ ἄμφω
Ἦλθε, βίῃ σεισθέντος ἐν ὀστέῳ ἐγκεφάλοιο.
Τὸν μὲν ἐγὼν ὀδύνῃσι παραιφρονέεντα βαρείαις
Νωσάμενος, πρὶν αὖθις ὑπότροπον ἀμπνυνθῆναι,
Αὐχένος ἀῤῥήκτοιο παρ' ἰνίον ἤλασα προφθάς;
Ῥίψας τόξον ἔραζε πολύῤῥαπτόν τε φαρέτρην·
Ἦγχον δ' ἐγκρατέως, στιβαρὰς σὺν χεῖρας ἐρείσας
Ἐξόπιθεν, μὴ σάρκας ἀποδρύψῃ ὀνύχεσσι·
Πρὸς δ' οὖδας πτέρνῃσι πόδας στερεῶς ἐπίεζον
Οὐραίους ἐπιβάς· πλευρῇσί τε μῆρ' ἐφύλασσον,

---

σχιζομένου, παρὰ τὸ Κεάζειν τὸ σχίζειν. 252. Ἀθρόος ἆλτο] τὸ στρεβλούμενον βίᾳ ξύλον, ἐὰν ἀπολυθῇ, ἐκπηδᾷ· οὕτω καὶ ὁ λέων ἐξεπήδησε μὲν ἐπὶ τὸν Ἡρακλέα διὰ τοῦ ἀέρος, ἀλλ' οὐκ ἀφίκετο εἰς αὐτόν. φθὰς γὰρ ἐκεῖνος μετέωρον ἔτι ἐν τῷ ἀέρι κατήραξε τῷ ῥοπάλῳ. 263. Ὑπότροπον ἠμπνυνθῆναι] πρὶν ἀναλαβεῖν πάλιν σῶαν τὴν ἀναπνοὴν, ἤλασα προφθὰς, ἔφθην ἐπιπηδήσας ἐπὶ τὸν τράχηλον αὐτοῦ. 267. Σάρκας] ἐν τῇ ἀρχαίᾳ κεῖται, Σαρκός. 269. Μῆρ'] μηρία, καὶ ἐκ συγκοπῆς μῆρα. Πλευρῇσί τε μῆρ' ἐφύλασσον] τὸ, Μῆρα, ἐνταῦθα πότερον, ὡς Εὐθεῖαν, ἢ ὡς Αἰτιατικὴν ἐκληπτέον; εἰ μὲν τὸ πρῶτον, ἐξηγείσθω οὕτω· τὰ μηρία τοῦ Ἥρωος ἀπήμυνον ταῖς πλευραῖς αὐτοῦ· ὅ ἐστιν, ὑπεράσπιζον τὰ ἰσχυρότερα

νεὸν τεμὼν, καὶ πυρὶ περιθάλψας πρῶτον, ἐπικάμπει εἰς τροχὸν ἁμαξιαῖον· ὁ δὲ πιεζόμενος ἐξεπήδησεν, ἐξολισθήσας βίᾳ· οὕτω καὶ ὁ θὴρ ἐκεῖνος πόῤῥωθεν ἔτι μιᾶ ὁρμῇ ἐπεπήδησέ μοι, ἐπιθυμῶν τῶν σαρκῶν μου ἐμπλησθῆναι· ἐγὼ δὲ τῇ μὲν τῶν χειρῶν προβαλλόμενος τὰ βέλη καὶ τὴν ἀπὸ τῶν ὤμων χλαῖναν, τῇ δὲ δεξιᾷ ἀράμενος τὸ ῥόπαλον ῥᾳδίως ὑπὲρ τοὺς αὐτοῦ κροτάφους, κατήνεγκε παντὶ σθένει κατὰ τῆς κεφαλῆς θηρὸς ἀνυποστάτου, ἀλλὰ κατέαξα τὸ βάκτρον, καί τοι ἦν ἐκ τραχυτάτης ἀγριελαίου, ἐκ τῆς φορᾶς εἰς δύο· Ὁ δὲ πρὶν ἐφικέσθαί μου, καταπεσὼν εἰς γῆν ἐκ μετεώρου, ἔστη ἐπὶ ποδῶν τρεμόντων, ἰλιγγιῶν, καὶ τῇ κεφαλῇ ὑπονυστάζων· ἐκτιναχθέντος γὰρ αὐτῷ τοῦ ἐγκεφάλου ἅπαξ, ἐσκοτοδινίασεν· ἐγὼ δ' ὡς ἔγνων αὐτὸν ἐκ τῶν ὀδυνῶν παραφρονοῦντα, ῥίψας κατὰ γῆς τό,τε τόξον καὶ τὴν πολύῤῥαφον φαρέτραν, ἐπεπήδησα εὐθὺς ἐπὶ τοῦ σκληροῦ τραχήλου, πρὶν ἐκεῖνον ὑπὸ τοῦ πάθους ἀναπνεῦσαι, καὶ ἐπιπεσὼν στιβαρωτέραις χερσὶν ἐκ τῶν ὀπισθίων, μή μοι τὰς σάρκας διαῤῥήξῃ τοῖς ὄνυξιν, ἀπῆγχον καρτερικῶς· εἶθ' οὕτω κατεπίεσα πρὸς τοὔδαφος τοὺς μὲν ἐμπροσθίους αὐτοῦ τῶν ποδῶν τοῖς ποσὶ, τὰς δὲ πλευρὰς αὐτοῖς τοῖς μηροῖς, μέχρις οὗ ἄρας αὐτὸν ὀρθὸν, ἐξείλιξα αὐτοῦ τὰ μέλη, ἐκτανύσας αὐτὸν νεκρὸν

---

τοῖς ἀσθενεστέροις καὶ καιριωτέροις τῶν μελῶν. Εἰδὲ τὸ δεύτερον, ἀνάγκη δέξασθαι τὸ σχῆμα τῆς Ἐναλλαγῆς· οἷον, Ἐφύλασσον (ἐγὼ) τὰς πλευρὰς τοῖς μηρίοις, προτεινάμενος ταῦτα. Καὶ ταῦτα μὲν, ἵν' ᾖ σύμφωνα πρὸς τὸ μικρὸν ἀνωτέρω (267) τὸ, Μὴ σάρκας ἀποδρύψῃ ὀνύχοισιν· εἰ δὲ ἀποδοῖμεν τὰς πλευρὰς εἰς τὸ θηρίον, τότε ἐξηγηθήσεται οὕτω. Ἐφύλασσον, ἤρειδον τὸν ἐμαυτοῦ μηρὸν ἐπὶ τῆς πλευρᾶς ἐκείνου· ὃ καὶ φυσικώτερον, οἶμαι, καὶ ἀκόλουθον τῇ ἡγουμένῃ ἐννοίᾳ, λαμβανομένων τῶν Μηρίων καὶ ἀντὶ τῶν γονάτων, ὡς εἰ ἔλεγεν, ἐπεγονάτισα τὰς πλευρὰς αὐτοῦ.

Μέχρις οἱ ἐξετάνυσσα βραχίονας, ὀρθὸν ἀείρας
Ἄπνευστον· ψυχὴν δὲ πελώριον ἔλλαχεν ᾅδης.
Καὶ τότε δὴ βούλευον, ὅπως λασιαύχενα βύρσαν
Θηρὸς τεθνειῶτος ἀπαὶ μελέων ἐρυσαίμην,
Ἀργαλέον μάλα μόχθον· ἐπεὶ οὐκ ἔσκε σιδήρῳ
Τμητὴ, οὐδὲ λίθοις, πειρωμένῳ, οὐδὲ μὲν ὕλῃ·
Ἔνθ' ἐμὶν ἀθανάτων τὶς ἐπὶ φρεσὶ θῆκε νοῆσαι,
Αὐτοῖς δέρμα λέοντος ἀνασχίζειν ὀνύχεσσι.
Τοῖσι θοῶς ἀπέδειρα· καὶ ἀμφεθέμην μελέεσσιν,
Ἕρκος ἐνυαλίου ταμεσίχροος ἰωχμοῖο.
Οὗτός τοι Νεμέου γένετ', ὦ φίλε, θηρὸς ὄλεθρος
Πολλὰ πάρος μήλοις τε καὶ ἀνδράσι κήδεα θέντος.

---

279. Ἰωχμοῖο] ἐνυαλίου ἰωχμοῦ, πολεμικῆς φωνῆς. Ἰωχμὸς πολέμου, ἡ πρὸ

ἐπὶ τῆς γῆς ΜΕΓΑΝ ΜΕΓΑΛΩΣΤΙ, ΕΠΙΛΕΛΗΣΜΕΝΟΝ ΙΠΠΟΣΥΝΗΣ· οὗ τὴν ψυχὴν ἔλαβεν ὁ Ἅδης κάτω. Ἐκ δὲ τούτου ἐβουλευόμην κατ' ἐμαυτὸν, πῶς ἂν τὴν λασιαύχενα θορὰν ἐκ τῶν μελῶν αὐτοῦ ἀποσπασαίμην, χαλεπὸν τοῦτ' ὅ, γενέσθαι· οὐ γὰρ ἐξῆν μοι πειρωμένῳ μήτε σιδήρῳ τέμνειν, μήτε λίθοις, μήτε μὴν ξύλῳ τῳ, τότε δὴ θεῶν τις ἔθηκέ μοι ἐπὶ νοῦν αὐτοῖς τοῖς ὄνυξι ἀποδεῖραι τὸ θηρίον· Ὅπερ καὶ ἐγένετο παραχρῆμα· κἀκ τούτου περιεθέμην τοῦτο ὡς ἕρκος πρὸς τὰ τῶν πολεμίων βέλη· Τοιοῦτος οὖν, ὦ φίλε, ἐγένετο ὁ φόνος τοῦ θηρίου· Ὃ πολλῶν κακῶν κτήνεσι καὶ ἀνθρώποις ἐγένετο αἴτιον.

---

τῆς μάχης βοή· Ἐν δὲ τῇ ἀρχαίᳳ κεῖται, Ὄφρα μοι εἴη, ἀντὶ τοῦ, Ἰωχμοῖο.
281. Κήδεα.] ἐν τῇ ἀρχαίᾳ κεῖται, Μήλοισι καὶ ἀνδράσι πήματα.

## ΥΠΟΘΕΣΙΣ

ΙΝΩ, Ἀντινόη, καὶ Ἀγαυὴ τρεῖς θυγατέρες Κάδμου, ἐκβακχευθεῖσαι, ἀνέβησαν εἰς τὸν Κιθαιρῶνα τὰ τοῦ Διονύσου

# ΛΙΝΑΙ Η ΒΑΚΧΑΙ.

## *ΕΙΔΥΛΛΙΟΝ ΚϚ΄.*

ΙΝΩ, κ' Αὐτονόα, χ' ἁ μαλοπάρηος Ἀγαύα,
Τρεῖς θιάσως ἐς ὄρος τρεῖς ἄγαγον αὐταὶ ἐοῖσαι.
Χ' αἱ μὲν ἀμερξάμεναι λασίας δρυὸς ἄγρια φύλλα,
Κισσόν τε ζώοντα, καὶ ἀσφόδελον τὸν ὑπὲρ γᾶς,
Ἐν καθαρῷ λειμῶνι κάμον δυοκαίδεκα βωμὼς,
Τὼς τρεῖς τᾷ Σεμέλᾳ, τὼς ἐννέα τῷ Διονύσῳ·
Ἱερὰ δὲ ἐκ κίστας πεποναμένα χερσὶν ἑλοῖσαι,
Εὐφάμως κατέθεντο νεοδρέπτων ἐπὶ βωμῶν,

1. Ἰνώ.] τρεῖς αὗται αἱ θυγατέρες Κάδμου δεξάμεναι τὴν λατρείαν Διονύσου, ἀνέβησαν εἰς Κιθαιρῶνα τὸ τῶν Θηβαίων ὄρος τὰ τοῦ Βάκχου ποιήσουσαι ὄργια. Πενθεὺς δὲ ὁ Ἐχίνου καὶ τῆς Ἀγαύης ἢ Ἀγαυῆς κατ' Εὐριπίδην, μιᾶς τῶν τριῶν, βασιλεὺς τῶν Θηβῶν ὢν, ἠθέλησε μαθεῖν τίποτε εἴη τὰ ὄργια ταῦτα, καὶ κωλῦσαι τούτων τήν τε μητέρα καὶ τὰς ἄλλας· αἱ δὲ ἐκβακχευθεῖσαι, καὶ ἐπι-

## ΤΟΥ ΚϚʹ. ΕΙΔΥΛΛΙΟΥ.

τελέσουσαι ὄργια· Πενθεὺς δὲ ὁ τῆς Ἀγαυῆς παῖς διώκων αὐτὰς ἐπὶ σωφροσύνῃ, συλληφθεὶς παρ' ἐκείνων, κατακερματίζεται μεληδόν.

# ΛΗΝΑΙ Η ΒΑΚΧΑΙ.

## *ΕΙΔΥΛΛΙΟΝ ΚϚʹ.*

ΙΝΩ, καὶ Αὐτονόη, καὶ ἡ καλὴ Ἀγαύη αἱ θυγατέρες Κάδμου, τρεῖς οὖσαι, τρεῖς θιάσους γυναικῶν μαινάδων ἀνήγαγον εἰς τὸν Κιθαιρῶνα, καὶ φύλλα ἄγρια ἐκ πυκνῆς δρυὸς δρεψάμεναι ἐκεῖθεν, κισσόντε ἀειθαλῆ, καὶ ἀσφόδελον νεωστὶ ἐκ τῆς γῆς ἀναφυέντα, δυωκαίδεκα βωμοὺς ἀνήγειρον ἐν καθαρῷ λειμῶνι, τρεῖς μὲν τῇ Σεμέλῃ, τοὺς δὲ ἐννέα Διονύσῳ· ἐξελοῦσαι δὲ τὰ ἱερὰ ἐκ τῆς κιβωτοῦ, κατέθεντο ἐπὶ τῶν ἐκ φύλλων νεοδμήτων βωμῶν σὺν εὐφημίᾳ, ὡς αὐτὸς ὁ Διόνυ-

πηδήσασαι ἐπ' αὐτὸν, διεσπάραξαν. Ὁ δὲ μῦθος μάλιστα παρ' Εὐριπίδῃ. Βάκχαι. 2. Θιάσως] χοροὺς, πομπὰς Βακχικάς. 5. Κάμον] ἔκαμον, ᾠκοδόμησαν. καὶ Ὅμηρος χρῆται τῇ λέξει, ἣ καὶ ἡ συνήθεια διέσωσεν. 7. Ἱερὰ δ' ἐκ κίστης] σύμβολα τῆς ἱεροπραξίας, ἃ ἐφύλαττον ἐν κιβωτίῳ ἀπόρρητα καὶ ἀθέατα τοῖς βεβήλοις καὶ ἀπίστοις· τὸ δὲ Πεπονημένα, πεποιη-

Ὡς ἐδίδασχ', ὡς αὐτὸς ἐθυμάζει Διόνυσος.
Πενθεὺς δ' ἀλιβάτου πέτρας ἄπο πάντ' ἐθεώρει,
Σχῖνον ἐς ἀρχαίαν καταδὺς, ἐπιχώριον ἔρνος.
Αὐτονόα πράτα νιν ἀνέκραγε δεινὸν ἰδοῖσα,
Σὺν δ' ἐτάραξε ποσὶν μανιώδεος ὄργια Βάκχω,
Ἐξαπίνας ἐπιοῖσα· τὰ δ' οὐχ ὁρόωντι βέβαλοι.
Μαίνετο μὲν τ' αὐτὰ, μαίνοντο δ' ἄρ' εὐθὺ καὶ ἄλλαι.
Πενθεὺς μὲν φεῦγεν πεφοβημένος· αἱ δ' ἐδίωκον,
Πέπλως ἐκ ζωστῆρος ἐπ' ἰγνύ' ἀνειρύσασαι.
Πενθεὺς μὲν τόδ' ἔειπε, Τίνος κέχρησθε γυναῖκες;
Αὐτονόα δὲ τόδ' εἶπε, Τάχα γνώσῃ πρὶν ἀκοῦσαι.
Μάτηρ μὲν κεφαλὰν μυκήσατο παιδὸς ἑλοῖσα,
Ὅσσον περ τοκάδος τελέθει μύκημα λεαίνας·
Ἰνὼ δ' αὖτ' ἔῤῥηξε σὺν ὠμοπλάτᾳ μέγαν ὦμον,
Λὰξ ἐπὶ γαστέρα βᾶσα· καὶ Αὐτονόᾳ ῥυθμὸς ωὑτός.
Αἱ δ' ἄλλαι τὰ περισσὰ κρέα νομέοντο γυναῖκες,
Ἐς Θήβας δ' ἀφίκοντο πεφυρμέναι αἵματι πᾶσαι,
Ἐξ ὄρεος πένθημα, καὶ οὐ Πενθῆα, φέροισαι.
Οὐκ ἀλέγω, μηδ' ἄλλος ἀπεχθομέναι Διονύσῳ
Φροντίζοι, μηδ' εἰ χαλεπώτερα τῶνδ' ἐμόγησεν,

---

τοιμασμένα, οἷον παρέλκον ἐστὶν ἐν τῷ λόγῳ. 20. Ἑλοῖσα] ἀφελοῦσα, ἀποτεμοῦσα, ὅσον εἰκάζεται κἀκ τῶν Εὐριπίδου. Βάκχαις στίχ. 1092. ἐμῇ ἐκδόσει.

» . . . . . κρᾶτα δ' ἄθλιον,
» Ὅπερ λαβοῦσα τυγχάνει μήτηρ χεροῖν
» Πήξασ' ἐπ' ἄκρον θύρσον ὡς ὀρεστέρου
» Φέρει λέοντος διὰ Κιθαιρῶνος μέσου,
» Λιποῦσ' ἀδελφὰς ἐν χορεῖσι Μαινάδων.

τος αὐτὰς ἐξεδίδασκεν, ὡς αὐτῷ θυμῆρες ἦν· Πενθεὺς δ' ὁ ἄθλιος, καταδὺς εἰς ἀρχαίαν τινὰ σχῖνον, ἥτις ἦν αὐτοφυὴς τῇ χώρᾳ, ἐσκόπει πάντα ἀπὸ πέτρας ἠλιβάτου. Ἐντεῦθεν οὖν ἰδοῦσα αὐτὸν ἡ Αὐτονόη πρώτη, ἐνέκραξε διαπρύσιον, καὶ ἐπιπηδήσασα ἐξαπίνης, ἀνέτρεψε τοῖς ποσὶ πάντα τὰ ὄργια τοῦ Βάκχου, ἃ οὐ θέμις ἦν ὁρᾶσθαι τοῖς ἀμυήτοις· ἐκ δὲ τούτου μανείσης αὐτῆς, συνεμάνησαν καὶ αἱ ἄλλαι πᾶσαι παραχρῆμα. Πενθεὺς δὲ ταῦτ' ἰδὼν, καὶ φόβῳ συγχεθεὶς, φυγὴν εἵλετο· αἱ δὲ ἀναζωσάμεναι τοὺς πέπλους ἔςτ' ἐπὶ τὰς ἰγνύας, ἐπεδίωκον· ὁ δὲ στραφεὶς, ἔφη ταῦτα· Τί βουλόμεναι διώκετέ με, ὦ γυναῖκες; ἡ δὲ Αὐτονόη ὑπολαβοῦσα εἶπε, Αὐτίκα καὶ πρὶν ἀκοῦσαι ὄψει· Ἡ μὲν οὖν μήτηρ καὶ πρώτη φωνὴν δεινὴν ἀφεῖσα, ἡλίκος ἐστὶν ὁ βρυγμὸς λεαίνης νεοτόκου, τὴν τοῦ παιδὸς κεφαλὴν ἀφεῖλε παραχρῆμα· ἡ δὲ Ἰνὼ ὁμοίως καὶ αὐτὴ, ἐπιβᾶσα τῆς γαστρὸς, ἀπέῤῥηξεν αὐτῷ τὸν μέγαν ὦμον σὺν αὐτῷ τῷ ὠμοπλάτῃ· τὸ δ' αὐτὸ ἔπραξε καὶ ἡ Αὐτονόη τρίτη· αἱ δὲ ἄλλαι τοῦ θιάσου παρεπόμεναι γυναῖκες διενείμαντο τῶν κρεῶν τὰ ὑπολελειμμένα· Τέλος δὴ ἀφίκοντο εἰς Θήβας πάλιν, αἵματι καὶ λύθρῳ πεφυρμέναι, οὐ Πενθέα, ἀλλὰ πένθημα φερώνυμον φέρουσαι ἐκ Κιθαιρῶνος· Ἐμοὶ δὲ οὐ μέλει, μήδ' εἴτις φροντίζοι ἀπεχθέσθαι Διονύσῳ, μήδ' εἴτις χαλεπώτερα, ἢ Πενθεὺς,

27. Οὐκ ἀλέγω] οὐκ ἂν ἐγὼ, διόρθωσέ τις· ἀλλ' εἰ μὲν τοῦτο ἦν ἄπορον μόνον, πάνυ δεκτὴ εἶεν ἂν ἡ διόρθωσις· νῦν δὲ πᾶν τὸ χωρίον εἰς τρὶς στίχους δοκεῖ διεφθάρθαι· ἐγὼ γοῦν οὐδ' ὅστις τί ἐμόγησεν, οἶδα, οὐδ' ὅτι βούλεται τὸ Ἐνναέτης καὶ τὸ Δεκαέτης. Εἰ δὲ μετασκευάσαιμεν εἰς θέσεις ἁρμοδιωτέρας, ὑποφαίνοιτ' ἂν φῶς, ὡς φαίνεται ἀναγκαίως ἀντικρὺ ἐν τῇ πα-

Εἴη δ' ἐνναέτης, ἢ καὶ δεκάτω ἐπιβαίνοι·
Αὐτὸς δ' εὐαγέοιμι, καὶ εὐαγέεσσιν ἅδοιμι.
Ἐκ Διὸς αἰγιόχω τιμὰν ἔχει αἰετὸς οὗτος·
Εὐσεβέων παίδεσσι τὰ λώϊα, δυσσεβέων δ' οὔ.
Χαίροι μὲν Διόνυσος, ὃν ἐν Δρακάνῳ νιφόεντι
Ζεὺς ὕπατος μεγάλαν ἐπιγουνίδα θήκατο λύσας·
Χαίρει δ' εὐειδὴς Σεμέλα, καὶ ἀδελφεαὶ αὐτᾶς
Καδμεῖαι, πολλαῖς μεμελημέναι ἡρωΐναις,
Αἳ τόδε ἔργον ἔρεξαν, ὀρίναντος Διονύσω,
Οὐκ ἐπιμωμητόν. μηδεὶς τὰ θεῶν ὀνόσαιτο.

---

ραφράσει. ἄμεινον δ' οὖν ἂν εἴη ἴσως εὐκτικῶς ταῦτ' ἐκλαβεῖν διὰ τοῦ Εἴθε.

34. Ἐπιγουνίδα] ἐπιγονὶς καὶ ἐπιγονατὶς τὸ ὑπεράνω τοῦ γόνατος, ἡ βάσις τοῦ μηροῦ, ὃ διατεμὼν ὁ Ζεὺς, ἐνέθηκε τὸν Διόνυσον ἑπτάμηνον ἔμβρυον ἔτι ὄντα· εἶτα ἐῤῥάψας καὶ θρέψας, καὶ ἀπαρτύσας, λύσας τὰ

ἔπαθεν, μήδ' εἴτις εἴη ἐνναέτης, μήδ' εἴτις καὶ τοῦ δεκάτου ἐπιβαίνοι ἔτους· ἐγὼ δὲ εἴην εὐσεβὴς καὶ εὐσεβέσιν ἡρμοσμένος· οἰωνὸς γὰρ ἐκ Διὸς ἀξιόχρεως ἐκεῖνος. Τοῖς μὲν τῶν εὐσεβῶν παισὶ τὰ βέλτιστα γίνεσθαι, τοῖς δὲ τῶν ἀσεβῶν τἀναντία.

Χαίροι μὲν Διόνυσος, ὅν Ζεὺς ὁ μέγας, ἀνοίξας τὸν μηρὸν, ἔθηκεν αὐτὸν ἐπὶ τοῦ Δρακάνου· Χαίροι δὲ καὶ ἡ καλὴ Σεμέλη, καὶ αἱ ἀδελφαὶ αὐτῆς αἱ τοῦ Κάδμου θυγατέρες, ὑπὸ πολλῶν τετιμημέναι Ἡρωΐνων· αἷς τοὔργον τοῦτο πέπρακται δικαίως, Διονύσου κελεύσαντος· Μηδεὶς ἄρα τὰ θεῖα περιφρονείτω.

---

ῥάμματα, ἔθηκεν αὐτὸν ἐν Δρακάνῳ τῷ ὄρει, ἢ ἀκρωτηρίῳ τῆς νήσου Ἰκαρίας.

# ΥΠΟΘΕΣΙΣ

## ΤΟΥ ΚΖ΄. ΕΙΔΥΛΛΙΟΥ

Ερωτος ὑπόθεσιν ἔχει τὸ Εἰδύλλιον τοῦτο, πέρα τοῦ δέοντος ἀπόζον βωμολοχίας· καὶ μήτ' ἀκίνδυνον τοῖς νέοις, κρίσεως ἔτι ἀμοιροῦσι φιλοσοφεῖν περὶ ἔρωτος, ὥστε συνιέναι ὅ,τι ποτὲ τοῦτ' ἔστι καὶ ὅ,τι ποτὲ δέδοται θεόθεν τῇ φύσει, ἥτις χωρὶς αὐτοῦ οὐκ ἂν διεσώζοιτο· διὸ οὐδὲ παραφράσαι ἠξίωσα τοῦτο.

## Ο
# ΑΡΙΣΤΥΣ
## *ΔΑΦΝΙΔΟΣ ΚΑΙ ΚΟΡΗΣ*

ΔΑΦΝΙΣ.

Ταν πινυτὰν Ἑλέναν Πάρις ἥρπασε βωκόλος ἄλλος·
Μᾶλλον ἔμ' ἤδ' Ἑλένα τὸν βωκόλον ἐστὶ φιλεῦσα.

ΚΟΡΗ.

Μὴ καυχῶ, σατυρίσκε· κενὸν τὸ φίλαμα λέγουσιν.

---

1. Μᾶλλον] Ἄλλον ἀξιοῖ τις γράφειν ἀντὶ τοῦ Μᾶλλον, συμφωνῶν πρὸς

ΔΑΦΝΙΣ.

Ἔστι καὶ ἐν κενεοῖσι φιλάμασιν ἁδέα τέρψις.

ΚΟΡΗ

Τὸ στόμα μευ πλύνω, καὶ ἀποπτύω τὸ φίλαμα.

ΔΑΦΝΙΣ.

Πλύνεις χείλεα σεῖο; δίδου πάλιν, ὄφρα φιλάσω.

ΚΟΡΗ.

Καλόν σοι δαμάλας φιλέειν, οὐκ ἄζυγα κώραν.

ΔΑΦΝΙΣ.

Μὴ καυχῶ· τάχα γάρ σε παρέρχεται, ὡς ὄναρ, ἥβη.

ΚΟΡΗ.

Ἁ σταφυλὶς σταφίς ἐστι, καὶ οὐ ῥόδον αὖον ὀλεῖται.

ΔΑΦΝΙΣ.

Δεῦρ' ὑπὸ τὰς κοτίνους, ἕνα σοι τινὰ μῦθον ἐνίψω.

ΚΟΡΗ.

Οὐκ ἐθέλω· καὶ πρίν με παρήπαφες ἁδέϊ μύθῳ.

ΔΑΦΝΙΣ.

Δεῦρ' ὑπὸ τὰς πτελέας, ἵν' ἐμᾶς σύριγγος ἀκούσῃς.

---

τὸ Βουκόλον· Ἑλένην δὲ τὴν παροῦσαν Κόρην ἐννοεῖ αἰπόλον οὖσαν. 4. Ἔστι καὶ ἐν κενεοῖσι φιλάμασιν] ὁ αὐτὸς τὸ αὐτὸ εἶπε καὶ Εἰδ. Γ'. στίχ. 20. — 11. Παρήπαφες] καὶ ἄλλοτε τοιούτοις λόγοις ἡδονικοῖς ἐξηπάτησάς με.

ΚΟΡΗ.

Τὰν σαυτῶ φρένα τέρψον· οἴζιον οὐδὲν ἀρέσκει.

ΔΑΦΝΙΣ.

Φεῦ φεῦ, τᾶς Παφίας χόλον ἅζεο καὶ σύγε κώρα.

ΚΟΡΗ.

Χαιρέτω ἁ Παφία· μόνον ἵλαος Ἄρτεμις εἴη.

ΔΑΦΝΙΣ.

Μὴ λέγε· μὴ βάλλῃ σε, καὶ ἐς λίνον ἄλλυτον ἔλθῃς.

ΚΟΡΗ.

Βαλλέτω, ὡς ἐθέλει· πάλιν Ἄρτεμις ἄμμιν ἀρήγοι.
Μὴ 'πιβάλῃς τὰν χεῖρα, καὶ εἰσέτι χεῖλος ἀμύξω.

ΔΑΦΝΙΣ.

Οὐ φεύγεις τὸν ἔρωτα, τὸν οὐ φύγε παρθένος ἄλλα.

ΚΟΡΗ.

Φεύγω, ναὶ τὸν Πᾶνα· σὺ δὲ ζυγὸν αἰὲν ἀείρεις.

ΔΑΦΝΙΣ.

Δειμαίνω, μή δή σε κακωτέρῳ ἀνέρι δώσει.

ΚΟΡΗ.

Πολλοί μ' ἐμνώοντο, νόον δ' ἐμὸν οὔτις ἔαδε.

---

13. Οἴζυον] πᾶν ὅ,τι φέρει οἰζὺν καὶ θλίψιν ἀποστρέφομαι. 14. Παφίας] τῆς Ἀφροδίτης τῆς ἐν τῇ Πάφῳ ἐν Κύπρῳ ναὸν ἐχούσης περίφημον. 16. Λίνον] δίκτυον· ὅ ἐστιν, ἵνα μὴ εἰς ἔρωτας δυσλύτους ἐμπέσῃς ἐξ ὀργῆς τῆς καταφρονουμένης θεᾶς. 18. Χεῖλος ἀμύξω.] πότερον, τὸ ἑαυτῆς, ἢ τὸ τοῦ φιλοῦντος χεῖλος ἀμύξειν φησί; ἐπίσης γὰρ ἐφ' ἑκάτερα ῥέπει ὁ νοῦς. 20. Ζυγὸν ἀείρεις] ὁ νοῦς βούλεται λέγειν, Σύ με ἀναγκάζεις μάτην πρὸς τοῦτο· εἴη δ' ἂν οὖν ζυγὸς, ἡ κατέχουσα αὐτὴν αἰδὼς ἐν παρθενίᾳ, ἢ τὸ σκέπος τῆς κεφαλῆς. 22. Οὔτις ἔαδε] οὐδεὶς ἐκείνων ἤρεσέ με.

ΔΑΦΝΙΣ.

Εἷς καὶ ἐγὼ πολλῶν μνηστὴρ τεὸς ἐνθάδ' ἱκάνω.

ΚΟΡΗ.

Καὶ τί, φίλος, ῥέξαιμι; γάμοι πλήθουσιν ἀνίας.

ΔΑΦΝΙΣ.

Οὐκ ὀδύναν, οὐκ ἄλγος ἔχει γάμος, ἀλλὰ χορείαν.

ΚΟΡΗ.

Ναὶ μὰν φασὶ γυναῖκας ἑοὺς τρομέειν παρακοίτας.

ΔΑΦΝΙΣ.

Μᾶλλον ἀεὶ κρατέουσι· τίνα τρομέουσι γυναῖκες;

ΚΟΡΗ.

Ὠδίνειν τρομέω· χαλεπὸν βέλος Εἰλειθυίας.

ΔΑΦΝΙΣ.

Ἀλλὰ τεὰ βασίλεια μογοστόκος Ἄρτεμίς ἐστιν.

ΚΟΡΗ.

Ἀλλὰ τεκεῖν τρομέω, μὴ καὶ χρόα καλὸν ὀλέσσω.

ΔΑΦΝΙΣ.

Ἢν δὲ τέκῃς φίλα τέκνα, νέον φάος ὄψεαι υἷας.

ΚΟΡΗ.

Καὶ τί μοι ἕδνον ἄγεις γάμου ἄξιον, ἢν ἐπινεύσω;

ΔΑΦΝΙΣ.

Πᾶσαν τὰν ἀγέλαν, πάντ' ἄλσεα καὶ νομὸν ἑξεῖς.

ΚΟΡΗ.

Ὄμνυε, μὴ μετὰ λέκτρα, λιπὼν ἀέκουσαν, ἀπενθῆν.

ΔΑΦΝΙΣ.

Οὐ μάν, οὐ τὸν Πᾶνα, καὶ ἥν κ' ἐθέλῃς με διῶξαι.

ΚΟΡΗ.

Τεύχεις μοι θαλάμως, τεύχεις καὶ δῶμα καὶ αὐλάς;

ΔΑΦΝΙΣ.

Τεύχω σοι θαλάμως, τὰ δὲ πώεα καλὰ νομεύω.

ΚΟΡΗ.

Πατρὶ δὲ γηραλέῳ τίνα κεν τίνα μῦθον ἐνίψω;

ΔΑΦΝΙΣ.

Αἰνήσει σέο λέκτρον, ἐπὴν ἐμὸν οὔνομ' ἀκούσῃ.

ΚΟΡΗ.

Οὔνομα σὸν λέγε τῆνο· καὶ οὔνομα πολάκι τέρπει.

ΔΑΦΝΙΣ.

Δάφνις ἐγὼ, Λυκίδας δὲ πατὴρ, μάτηρ δὲ Νομαία.

ΚΟΡΗ.

Ἐξ εὐηγενέων· ἀλλ' οὐ σέθεν εἰμὶ χερείων.

ΔΑΦΝΙΣ.

Οὐδ' ἄκρα τιμήεσσα· πατὴρ δέ σοί ἐστι Μενάλκας.

---

37 Πώεα νομεύω] οὐ μόνον θάλαμόν σοι ποιήσω, ἀλλὰ καὶ τὸ ποίμνιον τοῦτό σοι νομεύσω, βοσκήσω. 43. Οὐδ' ἄκρα τιμήεσσα] ὡς εἰ ἔλεγεν, εὐγενὴς μὲν καὶ σὺ, οὐ μὴν ἄκρως, εἴγε ὁ σὸς πατήρ ἐστιν ὁ Μενάλκας· ἀλλ' ἡ ἔννοια αὕτη ἐστὶν ἐναντία τῷ σκοπῷ αὐτοῦ· ὅστις βούλεται προσαγαγέσθαι αὐτὴν ταῖς τῶν λόγων ἴϋγξιν· ὅθεν τις διορθοῖ τὸ κείμενον οὐκ ἄνευ λόγου εἰς τὸ, Οὐδ' ἄρ' ἀτι-

ΚΟΡΗ.

Δεῖξον ἐμοὶ σέθεν ἄλσος, ὅπῃ σέθεν ἵσταται αὖλις.

ΔΑΦΝΑΙΣ.

Δεῦρ' ἴδε, πῶς ἀνθεῦσιν ἐμαὶ ῥαδιναὶ κυπάρισσοι.

ΚΟΡΗ.

Αἶγες ἐμαὶ, βόσκεσθε· τὰ βωκόλω ἔργα νοήσω.

ΔΑΦΝΙΣ.

Ταῦροι, καλὰ νέμεσθ', ἵνα παρθένῳ ἄλσεα δείξω.

ΚΟΡΗ.

Τί ῥέζεις, σατυρίσκε; τί δ' ἔνδοθεν ἅψαο μαζῶν;

ΔΑΦΝΙΤ.

Μᾶλα τεὰ πράτιστα τάδε χνοάοντα διδάξω.

ΚΟΡΗ.

Ναρκῶ, ναὶ τὸν Πᾶνα· τεὰν πάλιν ἔξελε χεῖρα.

ΔΑΦΝΙΣ.

Θάρσει, κῶρα φίλα· τί μοι ἔτρεμες; ὡς μάλα δειλά.

ΚΟΡΗ.

Βάλλεις εἰς ἀμάραν με, καὶ εἵματα καλὰ μιαίνεις.

---

μήεσσα· καὶ ἕτερος αὖ, Οἶδ' ἄκρα, τιμήεσσα. 49. Χνοάοντα διδάξω] χνοάον καὶ χνοάζον τὸ πρῶτον τρίχωμα τῶν γενείων· ἐντεῦθεν δὲ καὶ ἐπὶ ὀπώρας μήπω εἰς χεῖρας ἐλθούσης, μηδὲ τετριμμένης τὸ ἐπανθοῦν αὐτῇ κάλλος· τὸ δὲ Διδάξω, ἕτεροι ἀξιοῦσι γράφειν, Μαλάξω· ἢ γοῦν τοῦθ' ὁ λόγος αἰνίττεται. 52. Ἀμάραν] ὑδροχύτην, τόπον βορβορώδη. Νάκος δὲ,

ΔΑΦΝΙΣ.

Ἀλλ' ὑπὸ σοὺς πέπλους ἁπαλὸν νάκος ἠνίδε βάλλω.

ΚΟΡΗ.

Φεῦ φεῦ, καὶ τὰν μίτραν ἀπέστιχες· ἐς τί δ' ἔλυσας;

ΔΑΦΝΙΣ.

Τᾷ Παφίᾳ πράτιστον ἐγὼ τόδε δῶρον ὀπάζω.

ΚΟΡΗ.

Μίμνε, τάλαν· τάχα τίς τοι ἐπέρχεται· ἦχον ἀκούω.

ΔΑΦΝΙΣ.

Ἀλλάλαις λαλέοντι τεὸν γάμον αἱ κυπάρισσοι.

ΚΟΡΗ.

Τὠμπέχονον ποίησας ἐμοὶ ῥάκος· εἰμὶ δὲ γυμνά.

ΔΑΦΝΙΣ.

Ἄλλαν ἀμπεχόναν τᾶς σᾶς τοι μείζονα δωσῶ.

ΚΟΡΗ.

Φῂς μοι πάντα δόμεν· τάχα δ' ὕστερον οὐδ' ἅλα δοίης.

ΔΑΦΝΙΣ.

Αἴθ' αὐτὰν δυνάμαν καὶ τὰν ψυχὰν ἐπιβάλλειν.

ΚΟΡΗ.

Ἄρτεμι, μὴ νεμέσα· σῇ ἐρημιὰς οὐκέτι πιστή.

---

κώδιον, δέρμα ἔμμαλλον. 54. Τὴν μίτραν ἀπέστιχες] ἀφεῖλές μου τὴν ζώνην, λύσας. 60. Οὐδ' ἅλα] ἅλας· παροιμιῶδες τοῦτο ἐπὶ φιλαργύρων· ὡς καὶ παρ' Ὁμήρῳ. Ὀδ. Ρ'. στίχ. 455.

Οὐ σύγ' ἂν ἐξ οἴκου σῷ ἐπιστάτῃ οὐδ' ἅλα δοίης.

61. Ἐπιβαλλεῖν] οἷον ἐπενθήκην ἐπιπροσθεῖναι. 62. Ἐρημιὰς] ἡ σὴ ἐν

ΔΑΦΝΙΣ.

Ῥεξῶ πόρτιν Ἔρωτι, καὶ αὐτᾷ βῶν Ἀφροδίτᾳ.

ΚΟΡΗ.

Παρθένος ἔνθα βέβακα· γυνὰ δ' εἰς οἶκον ἀφερψῶ.

ΔΑΦΝΙΣ.

Ἀλλὰ γυνὰ μάτηρ, τεκέων τροφὸς, οὐκέτι κώρα.

Ὣς οἱ μὲν, χλοεροῖσιν ἰαινόμενοι μελέεσσιν,
Ἀλλάλοις ψιθύριζον· ἀνίστατο φώριος εὐνά.
Χ' ἁ μὲν ἀνεγρομένα γε διέστιχε μᾶλα νομεύειν,
Ὄμμασιν αἰδομένα, κραδία δὲ οἱ ἔνδον ἰάνθη,
Ὃς δ' ἐπὶ ταυρείας ἀγέλας, κεχαρημένος εὐνᾶς.

---

ἐρημίαις ἀκόλουθος παρθένος, οἷον ἔπραξε καὶ ἡ σὴ Ἀταλάντη. 66. Ἰαινόμενοι] ἡδυνόμενοι. 67. Φώριος] κλεψίγαμος, ἀπατηλή.

## ΥΠΟΘΕΣΙΣ

Θεοκριτος μέλλων ἐπὶ Μίλητον ἐκπλεύσειν πρὸς Νικίαν τὸν ἰατρὸν, εἵλετο προσενεγκεῖν τῇ γυναικὶ αὐτοῦ Θευ-

# ΗΛΑΚΑΤΗ.

## ΕΙΔΥΛΛΙΟΝ ΚΗ'.

Γλαυκας, ὦ φιλέριθ' ἀλακάτα, δῶρον Ἀθανάας,
Γυναιξὶν πόνος οἰκωφελέεσσιν σὸς ἐπήβολος·
Θαρσεῦσ' ἄμμιν ὁμάρτει πόλιν ἐς Νείλεω ἀγλαάν,
Ὅππα Κύπριδος ἱρὸν καλάμω χλωρὸν ὑφ' ἀπαλῶ.
Τᾷδε γὰρ πλόον εὐάνεμον αἰτεύμεθα πὰρ Διὸς,
Ὅππως ξεῖνον ἐμὸν τέρψομ' ἰδὼν, κἀντιφιλήσομαι
Νικίαν, Χαρίτων ἱμεροφώνων ἱερὸν φυτὸν,
Καὶ σὲ, τὰν ἐλέφαντος πολυμόχθω γεγενημέναν,
Δῶρον Νικιέας εἰς ἀλόχω χέρρας ὀπάσσομεν.

---

1. Δῶρον Ἀθηνᾶς] ὡς ἐπιστάτις οὖσα τῶν τεχνῶν καὶ πάντων τῶν ἔργων ἔχει τοῦτο, ὡς θεὰ τῆς φρονήσεως. 2. Πόνος] ἐν δὲ τῇ ἀρχαίᾳ κεῖται Νόος· ἔστι δ', ὡς ἔοικε, καὶ ἄλλως τὸ χωρίον διεφθαρμένον· διό τις γράφειν κελεύει οὕτως, ἀντὶ τοῦ Σὸς ἐπήβολος, Σεῦ ἐπηβόλοις· ὅπερ ἐδεξάμην ἐν τῇ παραφράσει. 3. Νείλεω] ὁ Νείλεως καὶ Νειλεὺς Αἰολικῶς, καὶ Νηλεὺς ἄλλως διὰ τοῦ Η. ἦν δ' οὗτος υἱὸς τοῦ Κόδρου· καὶ διωχθεὶς

γενίδι δῶρον ἠλακάτην· πρὸς ἣν καὶ οὐκ ἄνευ διαλέγεται χάριτος.

# ΗΛΑΚΑΤΗ.

## *ΕΙΔΥΛΛΙΟΝ ΚΗ΄.*

Ω φιλόπονε φιλτάτη Ἠλακάτη, δῶρον ἀγλαὸν τῆς γλαυκώπιδος Ἀθηνᾶς, ἔργον γυναιξὶ, δι᾽ ἐφέσεως ἐχούσαις εὐθηνίαν τοῖς ἑαυτῶν οἴκοις, ἐπειδάν σου γένωνται ἐγκρατεῖς, περιποιῆσαι· ἕπου μετ᾽ ἐμοῦ θαῤῥοῦσα πρὸς τὴν ἐρατεινὴν πόλιν τοῦ Νηλέως, ἔνθα Κύπριδος ἱερὸν τέμενός ἐστιν ἐν ἁπαλοῖς καλάμοις· Ἐκεῖσε Ζεὺς πέμψειεν ἡμᾶς, ἀφεὶς πνεῦμα οὔριον τῇ ὀθώνῃ, ὅπως Νικίαν τὸν ἐμὸν φίλον, τὸ τῶν ἡδυφώνων Χαρίτων ἱερὸν φυτὸν ἐπανιδὼν, καταφιλήσω, καὶ σε τὴν ἐξ ἐλέφαντος σὺν πόνῳ τετευγμένην τῇ τοῦ Νικία γυναικὶ δῶρον φίλον προσενέγκω· μεθ᾽ ἧς αὐτὴ πολλὰ μὲν

ὑπὸ τοῦ ἀδελφοῦ Μέδοντος ἐκ τῆς Ἀττικῆς, ἦλθεν εἰς Ἰωνίαν, καὶ ἔκτισε τὴν Μίλητον. 4. Χλωρὸν] ὡς τέμενος ὂν, θάλλον ἦν ἀεί. 9. Νικιέας] ἐκ τοῦ Νικίας παρωνύμησε τοὔνομα, ὅπερ νῦν παρὰ τοῖς Ἕλλησίν ἐστι κοινόν· τὴν γὰρ τοῦ Δήμου γυναῖκα Δήμιναν λέγουσι καὶ τὴν τοῦ Πέτρου,

Σὺν τᾷ πολλὰ μὲν ἔργ' ἐκτελέσεις ἀνδρείοις πέπλοις,
Πολλὰ δ' οἷα γυναῖκες φορέοισ' ὑδάτινα βράκη.
Δὶς γὰρ ματέρες ἀρνῶν μαλακῶς ἐν βοτάνα πόκως
Πέξαιντ' αὐτοετεὶ, Θευγενίδος γ' εἵνεκ' ἐϋσφύρω·
Οὕτως ἀνυσιεργός· φιλέει δ' ὅσσα σαόφρονες.
Οὐ γὰρ εἰς ἀκιρῶς οὐδ' εἰς ἀεργῶς κεν ἐβολλόμαν
Ὀππάσαι σὲ δόμως, ἁμετέρας εὖσαν ἀπὸ χθονός.
Καὶ γάρ σοι πατρὶς, ἂν ὡξ' Ἐφύρας κτίσσε ποτ' Ἀρχίας,
Νάσω Τρινακρίας μυελὸν, ἀνδρῶν δοκίμων πόλιν.
Νῦν μὰν οἶκον ἔχοισ' ἀνέρος, ὃς πόλλ' ἐδάη σοφὰ
Ἀνθρώποισι νόσους φάρμακα λυγρὰς ἀπαλαλκέμεν,
Οἰκήσεις κατὰ Μίλατον ἐραννὰν μετ' Ἰαόνων,
Ὡς εὐαλάκατος Θευγενὶς ἐν δαμότισιν πέλῃ,
Καί οἱ μνᾶστιν ἀεὶ τῷ φιλαοιδῶ παρέχῃς ξένω.
Κεῖνο γάρ τις ἐρεῖ τῳ, ποτιδὼν σ', ἦ μεγάλα χάρις
Δώρῳ ξὺν ὀλίγῳ· πάντα δὲ τιμᾶντα τὰ πὰρ φίλων.

---

Πέτριναν· ἄλλως δ' αὕτη καλεῖται Θευγενὶς, ἢ Θεογενίς. 11. Ὑδάτινα βράκη] ἤγουν, ῥάκη διαφανῆ ὡς τὸ ὕδωρ· πολύτιμα τῶν Μιλησίων γυναικῶν ὑφάσματα. 15. Ἐβολλόμαν] ἴσον τῷ, Ἐβουλόμην. 16. Ἐξ Ἐφύρας] Ἔφυρα ἐλέγετο τὸ πάλαι ἡ Κόρινθος, ἐξ ἧς Ἀργίας ἀπόγονος τοῦ Ἡρακλέους, ἐλθὼν εἰς Σικελίαν, ἔκτισε τὰς Συρακούσας; Τρινακρία δὲ ἐκαλεῖτο ἡ Σικελία διὰ τὸ εἰς τρεῖς ἐσχηματίσθαι Ἄκρας, γωνίας. 18. Μυελὸν] διὰ τὸ ἐξαίρετον· ὡς γὰρ ἐκ τοῦ μυελοῦ τὴν ἀρχὴν ἔχοντα τὰ νεῦρα, πᾶν τὸ

εἰς ἀνδρεῖον ἐργάσῃ κόσμον, πολλὰ δὲ καὶ τῶν διαφανεστέρων, καὶ εὐκαμπεστέρων οἷα γυναιξὶ φίλον μάλιστα φέρειν· αἱ γὰρ τῶν ἀμνῶν μητέρες δὶς τοῦ ἔτους ἐν λιπαρᾷ τῇ ποίᾳ μαλακοὺς πόκους τῇ καλλισφύρῳ κείρονται Θεογενίδι· Οὕτως ἐκείνη τυγχάνει γ' οὖσα ἐπιῤῥεπὴς μὲν εἰς τὰ ἔργα, φιλοῦσα δὲ, ὅσα ἐστὶ φίλα τῶν γυναικῶν ταῖς σωφρονεστέραις· οὐ δὲ γὰρ ἄλλως βουλοίμην ἂν εἰς ἀπειρόκαλον καὶ ἀργὸν οἶκόν σε συστῆσαι, ὡς τῆς ἡμετέρας πατρίδος τεχνούργημα γεγεννημένην· καὶ γὰρ πατρίς σοι ἡ αὐτὴ, ἣν Ἀρχίας ποτὲ ἐξ Ἐφύρης ἔκτισεν ἐλθὼν μυελὸν ἁπάσης Σικελίας, ἀνδρῶν δοκίμων πόλιν· νῦν δὲ μεταστᾶσα εἰς οἶκον ἀνδρὸς ἰατροῦ σοφοῦ, ὃς πολλὰ οἶδε φάρμακα, ὥστ' ἀποσοβεῖν ἀνθρώποις νόσους, οἰκήσεις ἐν Μιλήτῳ τῶν πόλεων τῇ τερπνοτάτῃ μετ' Ἰώνων· ἔνθα ἡ Θεογενὶς διαπρέπουσα ἐν ἠλακάτῃ πρὸς τὰς ἄλλας, μεμνήσεταί μου τοῦ ὑμνογράφου ξένου· ἐκεῖνο γὰρ ἐρεῖτις, ἅμα ἰδών σε, μικρὸν μὲν τὸ δῶρον, ἔχει δὲ μεγάλην χάριν· πάντα γὰρ τὰ παρὰ τῶν φίλων ἐρικυδέα δῶρα, τιμῆς ἀξιοῦται προσηκούσης.

---

σῶμα συνέχουσιν· οὕτω τὰ ἐν Σικελίᾳ ἐκ τῶν Συρακουσῶν στερεοῦνται. 19. Ἀνέρος] τοῦ Νικία· ὃς ἦν ἰατρὸς ἐν Μιλήτῳ. 23. Καὶ οἱ μνᾶστιν] ἐν ἀγκάλαις ἀεὶ οὖσα τῆς Θεογενίδος, παρέξεις αὐτῇ αἰτίαν μεμνῆσθαι ἐμοῦ τοῦ φίλου αὐτῆς καὶ τῶν Μουσῶν. 25. Τιμᾶντα] τιμὴς, καὶ τιμήεις Τιμήεντος, τιμήεντα καὶ τιμῆντα, καὶ ἐντεῦθεν Δωρικῶς Τιμᾶντα· ὅ ἐστι, τίμια τοῦ παρὰ φίλου δῶρα· δῶρα γὰρ παρὰ θεῶν ἐρικυδέα καὶ παρὰ φίλων, καὶ οὐκ ἀπόβλητα.

## ΥΠΟΘΕΣΙΣ

Εν τούτῳ μέμφεται νέον τινὰ, ὃν ἐφίλει, ὡς μὴ ἀντιφιλοῦντα· ἀλλ᾽ ὡς ἄστατον καὶ ῥεμβόμενον ἄλλοτε πρὸς ἄλ-

# ΠΑΙΔΙΚΑ.

## ΕΙΔΥΛΛΙΟΝ ΚΘ΄.

Οινος, ὦ φίλε παῖ, λέγεται, καὶ ἀλάθεα·
Κἄμμες χρὴ μεθύοντας ἀλαθέας ἔμμεναι.
Κἠγὼν μὲν τὰ φρενῶν ἐρέω κέατ᾽ ἐν μυχῷ.
Οὐχ ὅλας φιλέειν μ᾽ ἐθέλησθ᾽ ἀπὸ καρδίας,
Γινώσκω· τὸ γὰρ ἅμισυ τᾶς ζοΐας ἔχω,
Ζῆ τὰν σὰν ἰδέαν, τὸ δὲ λοιπὸν ἀπώλετο·
Χὤταν μὲν τὺ θέλῃς, μακάρεσσιν ἴσαν ἄγω
Ἀμέραν· ὄκα δ᾽ οὐκ ἐθέλῃς τὺ, μάλ᾽ ἐν σκότῳ.
Πῶς ταῦτ᾽ ἄρμενα, τὸν φιλέοντ᾽ ἀνίαις διδῶν;

1. Ἀλάθεα] ἀλήθειά ἐστι· τὸ δὲ Λέγεται ἐκληπτέον ὡς ἀπρόσωπον· ὡς παροιμιῶδες δ᾽ ἐστι τοῦτο καὶ Πλούταρχος εἰσήγαγεν ἐν βίῳ Ἀρταξέρξου· εἴγε ἐν τῷ πίνειν εὐθυμοῦντες οἱ ἄνθρωποι, ἐκφέρουσι καὶ τὰ ἀπόρρητα.
5. Τὸ ἅμισυ] σκοτεινὸν τὸ χωρίον· εἴη δ᾽ ἂν οὕτω πως διαλευκανθὲν, παρασχεῖν τὶ φῶς· τί ἐστι φιλία; μία ψυχὴ ἐν δυσὶ σώμασι· οὐκοῦν μεριζομένης τῆς ψυχῆς εἰς δύο, ὃ μὲν μέρος τοῦ ἐρῶντος φιλεῖ τὸν ἐρώμενον

λον ἐν φιλίᾳ, δεῖ δ' ἐκ νεότητος ἐς γῆρας τὸ τῆς φιλίας κειμήλιον διασώζεσθαι.

# ΠΑΙΔΙΚΑ.

## ΕΙΔΥΛΛΙΟΝ ΚΘ΄.

ΤΗΝ ἀλήθειαν φασιν ἐν οἴνῳ κεῖσθαι· χρὴ οὖν καὶ ἡμᾶς ἅλις ἤδη ἐπισπάσαντας τούτου, εἰπεῖν, ὅπερ φρονοῦμεν· ἐγὼ γὰρ ὅ,τι καὶ ὅπως τοῦτ' ἐν τῷ μυχῷ καλύπτω, οὕτως ἐξερῶ σοι πάντα· καὶ γὰρ σύνοιδά σοι μὴ θέλοντι ἐξ ὅλης φιλεῖν με τῆς καρδίας· καὶ νῦν τὸ μὲν ἥμισυ τῆς ζωῆς ἔχω, τοῦθ' ᾧ βούλομαί σε βλέπειν· τὸ δ' ἕτερον, ᾧ ἔφυγες αὐτός με βλέπειν, τοῦτ' ᾤχετ' ἀπιόν· Ὁπότε δ' οὖν σὺ θέλοις, ταῦτα εὐδαιμονῶ τοῖς ἀθανάτοις· σοῦ δὲ ἀπαρνουμένου, κακοδαιμονέστατος γίνομαι πάντων· Πῶς οὖν ἂν εἴη καλὸν ἀνιᾶν

---

τοῦτο ζῇ ἐν ἐκείνῳ, ὡς περὶ τὴν ἰδέαν αὐτοῦ διατρίβον· καθ' ὃ δὲ δεῖ τὸν ἐρῶντα καὶ ἀντωφελεῖσθαι ὑπ' ἐκείνου, τοῦτο ἀπώλετο μὴ γινόμενον. Οὐκοῦν τὸ ἥμισυ τῆς ζωῆς ἔχει· φησὶ γὰρ τὸ ἥμισυ ἔχω τῆς ζωῆς· τοῦτο δὲ ζῇ περὶ τὸ σὸν εἶδος· τὸ δὲ ἕτερον μέρος, ὃ ὀφείλεις αὐτὸς φιλεῖν, τοῦτό σου μὴ ποιοῦντος, ἀπώλετο. Εἰ δε ὁ ἀληθὴς νοῦς ἐστιν ἕτερος, λεγέτω ἄλλος. 8. Ἀμέραν] φῶς. 9. Ἄρμενα] πῶς ἂν εἴη ἁρμόζον, καλόν; Τὸ δὲ

Ἀλλ᾽ εἴ μοί τι πίθοιο, νέος προγενεστέρῳ,
Τῷ κεν λώϊον αὐτὸς ἔχων ἔμ᾽ ἐπαινέσαις·
Ποίησαι καλιὰν μίαν εἰν ἐνὶ δενδρέῳ;
Ὅππα μηδὲν ἀπίξεται ἄγριον ὄρπετον·
Νῦν δὲ τῶδε μὲν ἄματος ἄλλον ἔχεις κλάδον,
Ἄλλον δ᾽ αὔριον, ἐξ ἑτέρω δ᾽ ἕτερον ματῇς.
Καὶ κεν σεῦ τὸ καλόν τις ἰδὼν ῥέθος αἰνέσῃ,
Τῷδ᾽ εὐθὺς πλέον ἢ τριέτης ἐγένευ φίλος·
Τὸν πρᾶτον δὲ φιλεῦντα τριταῖον ἐθήκαο.
Ἀνδρῶν τῶν ὑπερηνορέων δοκέεις πνέειν.
Φίλει δ᾽, ἄς κε ζόῃς, τὸν ὅμοιον ἔχειν ἀεί.
Αἰ γὰρ ὧδε ποιῇς, ἀγαθὸς μὲν ἀκούσεαι
Ἐξ ἀστῶν· ὁ δέ τοί κ᾽ ἔρος οὐ χαλεπῶς ἔχοι,
Ὃς ἀνδρῶν φρένας εὐμαρέως ὑποδάμναται,
Κἠμὲ μαλθακὸν ἐξεπόνασε σιδαρέω.
Ἀλλ᾽ ἀπρὶξ ἁπαλῶ στόματός σε πεδέρχομαι.

. . . . . . . . . . . . . . . .

[Ἀλλὰ πέριξ] μ᾽ ὀμνάσθην, ὅτι πέρυσιν ἦσθα νεώτερος,
Χὤτι γηραλέοι πέλομες, πρὶν ἀποπτύσαι,
Καὶ ῥυσσοὶ, νεότατα δ᾽ ἔχειν παλινάγρετον
Οὐκ ἔστι· πτέρυγας γὰρ ἐπωμαδίας φορεῖ·
Κἄμμες βαρδύτεροι τὰ ποτήμενα συλλαβεῖν.

---

Αἰθῶν, διδοῦν ἐστιν Ἀπαρέμφατον. 24. Σιδαρέω] ἐν τῇ ἀρχαίᾳ δὲ κεῖται, Σιδαρέου· κἀν τῷ ἑπομένῳ στίχῳ Πέριξ ἀντὶ τοῦ Ἀπρὶξ· φανερὸν δ᾽ ἐκ τῶν ἑπομένων, ὅτι διέφθαρται τὸ κείμενον· κἀν ταῖς ἀρχαιοτέραις τῶν ἐκδόσεων ἐκλείπουσι παντάπασι τὰ ἑπόμενα. 26. [Ἀλλὰ πέριξ] δῆλον ὅτι

τὸν φιλοῦντα; Ἀλλ' ἔγωγε καὶ νουθετῆσαι βούλομαί σε, εἴτι μοὶ πείθοιο ὡς νεώτερος πρεσβυτέρῳ ὄντι· καί μοι σύντεινον τὸ οὖς πρὸς τοῦτο· ἐφ' ᾧ καὶ μᾶλλον, εὖ θέμενος τὰ κατὰ σεαυτὸν, ἐπαινέσεις ἐμέ· δεῖ γάρ σε, ὦ φίλος, ποιήσασθαι τὴν σαυτοῦ καλιὰν ἐν δένδρῳ, ἔνθ' οὐδὲν τῶν ἀγρίων ἑρπετῶν προσίοι· νῦν δὲ τοὐναντίον αὐτὸς ποιεῖς, τήμερον γὰρ κατέχεις τὸν κλάδον τοῦτον· αὔριον δ' ἐπ' ἄλλον μεταβαίνεις, κἀξ ἐκείνου αὖθις ἐφ' ἕτερον μάτην μεταναστεύεις· καὶ εἴτις ἰδὼν τὸ καλὸν τοῦ προσώπου ἐρύθημα, ἐπαινέσειέ σοὶ τοῦτο, εὐθὺς ἐπιῤῥέπεις πρὸς τὴν αὐτοῦ φιλίαν πλέον, ἢ εἴπερ πρὸ τριετίας αὐτῷ ἐγένου φίλος· τὸν δὲ φιλήσαντά σε πρῶτον, τοῦτον τρίτον τίθεσαι τῇ τάξει· Οὕτως ἐπιῤῥεπής τις εἶ πρὸς τοὺς ὑπερφρονοῦντας, δέον, ἕως ἂν τὸν ὑπὲρ γῆς πνέῃς ἀέρα, τὸν κατὰ σεαυτὸν ἀεί ποτε φίλον ἔχειν· τοῦτο δὲ ποιῶν, εὖ ἀκούσεις παρὰ πάντων· καὶ ὁ Ἔρως οὐκ ἂν χαλεπός σοι εἴη· καὶ γὰρ ῥᾳδίως τὰς τῶν ἀνθρώπων καταδαμάζει φρένας, κἀμὲ ἐκ σιδηροῦ μαλακὸν ἀπειργάσατο· Τέως δ' οὖν δέξαι φίλημα τοῦτο ἐκ μαλακοῦ στόματος............ Ἀλλὰ μεταξὺ λόγων ἐμνήσθην, ὅτι πέρυσιν ἦσθα νεώτερος, καὶ ὅτι νῦν ἐσμὲν γηραλέοι καὶ ῥυσοὶ πρὶν ἀποπτύσαι· τὴν δὲ νεότητα οὐκ ἔξεστιν ἀνακτήσασθαι· εἰσὶ γὰρ εἰσὶν αὐτῇ ἐπὶ τῶν ὤμων πτέρυγες ἐμπεφυκυῖαι· ὥστ' ἀναπτῆναι κούφως· ἡμεῖς δὲ βραδύτεροι, ἢ ὥστε πτε-

---

διέφθαρται, παρεισαχθὲν ἐκ τοῦ ἀνωτέρου, Ἀλλ' ἀπρίξ· ὥσπερ ἐν τῇ ἀρχαίᾳ κεῖται. 27. Πρὶν ἀποπτύσαι] τίποτε βούλεται τοῦτο δηλοῦν οὐκ οἶδα. εἰ μήτις εἴποι ἀποπτύσαι τὴν ψυχὴν ἀντὶ τοῦ ἀποθανεῖν. 29. Ποτήμενα] πτερωτὰ παρὰ τὸ Ποτάομαι, ἵπταμαι.

Ταῦτα χρὴ νοέοντα πέλειν ποτιμώτερον,
Καί μοι τὠραμένῳ συνερᾷν ἀδόλως σέθεν,
Ὅπως, ἁνίκα τὰν γένυν ἀνδρεΐαν ἔχῃς,
Ἀλλάλοισι πελώμεθ' Ἀχιλλέϊοι φίλοι.
Αἰ δὲ ταῦτά γε φέρειν ἀνέμοισιν ἐπιτρέπεις,
Ἐν θυμῷ τε λέγεις, τί με, δαιμόνι', ἐνοχλεῖς·
Νῦν μὲν κἠπὶ τὰ χρύσεα μᾶλ' ἕνεκεν σέθεν
Βαίην, καὶ φύλακον νεκύων πέδα Κέρβερον·
Τόκα δ', οὐδὲ καλεῦντος ἐπ' αὐλείαις θύραις
Προμόλοιμί κε, παυσάμενος χαλεπῶ πόθω.

---

31. Ποτιμώτερον] οἷον εὐπεπτότερον, εὐστοχώτερον, συνετώτερον· πᾶν γὰρ τὸ πότιμον καλὸν, καὶ συντελεστικὸν πρὸς ὑγιείαν. 32. Τὠραμένῳ] τῷ ἐραμένῳ σέθεν, ὅ ἐστι τῷ ἐρῶντι σοῦ συνερᾷν χρή. 37. Χρύσεα μῆλα] ἅπερ ἐφυλάττοντο ὑπὸ δράκοντος ἀγρίου ἐν τῷ τῶν Ἑσπερίδων κήπῳ ἐν Λιβύῃ· ἅπερ ἀποκινδυνεύσας ὁ Ἡρακλῆς ἥρπασεν, καὶ τὸν Κέρβε-

ρωτὰ δύνασθαι συλλαμβάνειν. ταῦτά σε δεῖ ἐν νῷ βαλεῖν εὐσοχώτερον· καὶ συνερᾷν ἐμοὶ ἐρῶντί σου ἀδόλως· ἵν' ἐντεῦθεν ἐξῇ ἡμῖν τὸ μετὰ ταῦτα, ἐπειδὰν καὶ γένειον ἐκφύσῃς, συνάγειν πρὸς ἀλλήλους θερμότερον τὸν πόθον, οἷος ἦν ὁ τοῦ Ἀχιλλέως καὶ Πατρόκλου, ὃν μάλιστα πάντων ᾖσεν ἡ τοῦ Ὁμήρου Μοῦσα. Εἰ δὲ ταῦτα μὲν ἐν Καρὸς μοίρᾳ τιθέμενος, ἐπιτρέπεις τοῖς ἀνέμοις ἀναρπάσαι· καθ' ἑαυτὸν δὲ λέγεις, τί με, ὦ σχέτλιε, σύγε, ἐνοχλεῖς τοσοῦτον, ἐκεῖνό φημι. Νῦν μὲν ἕνεκά γε σοῦ, οὐ μόνον ἐπὶ τὰ χρυσᾶ μῆλα πλεύσαιμ' ἄν, ἀλλὰ κἀπὶ τὸν Κέρβερον αὐτὸν ἐς Ἅδου, τὸν φύλακα τῶν τεθνεώτων κατέλθοιμι· τότε δὲ, ὁπόθ' ὁ Ἔρως καταλιπών με, οἰχήσεται οὐδὲ δεομένου σου περὶ τὰς θύρας ἐπιστραφήσομαι.

---

ρον ἀνήγαγεν ἐξ ᾅδου. 40. Προμόλοιμι] προέξειμι. Τοῦτο δὲ τὸ τοῦ Θεμιστοκλέους. Ὀψὲ μὲν ἀμφότεροι, ἀλλὰ νοῦν ἐσχήκαμεν.

## ΥΠΟΘΕΣΙΣ.

ΘΡΗΝΟΝ τοῦτ᾽ Ἀφροδίτης περιέχει ἐπ᾽ Ἀδώνιδι τρω-

# ΕΙΣ ΝΕΚΡΟΝ ΑΔΩΝΙΝ.

## ΕΙΔΥΛΛΙΟΝ Λ΄.

ΑΔΩΝΙΝ ἡ Κυθήρη
Ὡς εἶδε νεκρὸν ἤδη,
Στυγνὰν ἔχοντα χαίταν,
Ὠχρὰν τε τὰν παρειὰν,
Ἄγειν τὸν ὗν πρὸς αὐτὰν
Ἔταξε τὼς Ἔρωτας.
Οἱ δ᾽ εὐθέως ποτανοὶ
Πᾶσαν δραμόντες ὕλαν,
Στυγνὸν τὸν ὗν ἀνεῦρον,
Δῆσάν τε κἀπέδησαν.
Χὼ μὲν, βρόχῳ καθάψας,
Ἔσυρεν αἰχμάλωτον·
Ὁ δ᾽, ἐξόπισθ᾽ ἐλαύνων,
Ἔτυπτε τοῖσι τόξοις.
Ὁ θὴρ δ᾽ ἔβαινε δειλῶς.
φοβεῖτο γὰρ Κυθήρην.
Τῷ δ᾽ εἶπεν Ἀφροδίτα·
Πάντων κάκιστε θηρῶν,

TOY Α'. ΕΙΔΥΛΛΙΟΥ.

θέντι ὑπὸ συὸς ἀγρίου καὶ ἀποθανόντι.

# ΕΙΣ ΝΕΚΡΟΝ ΑΔΩΝΙΝ.

## *ΕΙΔΥΛΛΙΟΝ Λ'.*

Αφροδιτη, ὡς εἶδεν Ἄδωνιν νεκρὸν, προτεθειμένον αὐχμηρὰν μὲν ἔχοντα κόμην, ὠχρὸν δὲ τὸ πρόσωπον, ἐκέλευσε τοὺς ἔρωτας ἐπαγαγεῖν τὸν σῦν πρὸς ἑαυτήν.

Οἱ δὲ ἀναπτάντες παραχρῆμα, διέδραμον πᾶσαν τὴν ὕλην· καὶ ἀνευρόντες τὸν θῆρα σφόδρα σκυθρωπὸν, ἔδησαν αὐτὸν δεσμῷ ἀλύτῳ· καὶ ὁ μὲν αὐτὸν βρόχον ἐμβαλὼν εἰς τὸν τράχηλον, προηγεῖτο, ἐπισύρων τὸν αἰχμάλωτον· ὁ δὲ ὄπισθεν ἐλαύνων, ἔπαιεν αὐτὸν τῷ τόξῳ· ὁ δὲ θὴρ προὔβαινε, κατεσχημένος φόβῳ, μήτι πάθῃ ἀνήκεστον ὑπὸ τῆς Ἀφροδίτης.

Ἐπαχθέντι δὲ αὐτῷ εἶπεν ἡ θεὸς, ὦ κάκιστε θηρῶν ἀπάν-

1. Ἄδωνιν] οὗτός ἐστιν ὁ πάγκαλος ἐρώμενος τῆς Ἀφροδίτης. ἴδε τὸ πάθος αὐτοῦ Εἰδ. Α'. στίχ. 100.—9. Στυγνὸν] λυπηρὸν ἐπὶ τῷ γεγενημένῳ. μεταμεμέληται γὰρ, οἷς ἔδρασεν. 10. Δῆσάν τε κἀπέδησαν] ἔδησαν καὶ

Σὺ τόνδε μηρὸν ἴψω;
Σύ μευ τὸν ἄνδρ' ἔτυψας;
Ὁ θὴρ δ' ἔλεξεν ὧδε·
Ὄμνυμί σοι, Κυθήρη,
Αὐτάν σε, καὶ τὸν ἄνδρα,
Καὶ ταῦτά μευ τὰ δεσμὰ,
Καὶ τώσδε τὼς κυναγὼς,
Τὸν ἄνδρα τὸν καλόν σευ
Οὐκ ἤθελον πατάξαι·
Ἀλλ' ὡς ἄγαλμ' ἐπεῖδον,
Καὶ, μὴ φέρων τὸ καῦμα,
Γυμνὸν τὸν εἶχε μηρὸν,
Ἐμαινόμαν φιλᾶσαι·
Καί μευ κατεσίναζε·
Τούτους λαβοῦσα, Κύπρι,
Τούτους κόλαζε, τέμνε,
(Τί γὰρ φέρω περισσῶς;)
Ἐρωτικὼς ὀδόντας·
Αἰ δ' οὐχί σοι τάδ' ἀρκεῖ,
Καὶ ταῦτ' ἐμεῦ τὰ χείλη.
Τί γὰρ φιλεῖν ἐτόλμων;
Τὸν δ' ἠλέησε Κύπρις,
Εἶπέν τε τοῖς Ἔρωσι
Τὰ δεσμὰ οἱ 'πιλῦσαι.
Ἐκ τῶδ' ἐπικολούθει,
Κὰς ὕλαν οὐκ ἔβαινε·
Καὶ τῷ πυρὶ προσελθὼν,
Ἔκαιε τὼς Ἔρωτας.

των, σὺ τὸν μηρὸν κατεσπάραξας τοῦ νέου τούτου; σὺ τὸν ἐμὸν ἐφόνευσας νυμφίον;

Ὁ δὲ σῦς ἀποκρινόμενος πρὸς ταῦτα, εἶπεν. Ὄμνυμί σοι ὦ Κύπρι, αὐτήν σε καὶ τὸν ἄνδρα, τά τε δεσμά μου ταῦτα καὶ τοὺς κυνηγοὺς τουτουσὶ, ἦ μὴν μὴ ἐθέλειν τὸν καλόν σου νυμφίον βλάψαι· ἀλλ' ὡς ἄγαλμα ἰδὼν λευκότητι ἐκςίλβον. καὶ μὴ φέρων ἔνδοθεν τὴν τῶν ἐρώτων φλόγα, ὥρμησα καταφιλῆσαι, ὃν εἶχε μηρὸν παραγεγυμνωμένον. Τούτους οὖν, ὦ Κύπρι, τοὺς ἐρωτικοὺς ὀδόντας, τούτους ἔκβαλε λαβοῦσα, τούτους θραῦσον· τί γὰρ βούλονται οὕτω περιττῶς περικείμενοί μοι; εἰ δὲ ταῦτα οὐκ ἀρκεῖ πρὸς τιμωρίαν, ἰδού μοι καὶ τὰ χείλη ταῦτα, ἵνα μάθωσι μηκέτι γλίχεσθαι φιλεῖν.

Ταῦτα δ' ἀκούσασα ἡ Κύπρις, ἐλεήσασα, ἐκέλευσε τοὺς ἔρωτας ἐπιλῦσαι αὐτῷ τὰ δεσμά· κἀκ τούτου ἠκολούθει, μηκέτι εἰσδὺς τὴν ὕλην· ἀλλὰ προσελθὼν τῷ πυρὶ, κατέφλεγε τοὺς ἔρωτας.

---

ἐπέδησαν, ὅ ἐστι διπλοῖς δεσμοῖς. 28. Ἄγαλμα] μηρὸν μόνον ἰδὼν γεγυμνωμένον μαρμαίροντα τῷ κάλλει, καὶ καταφλεγόμενος ἔνδοθεν ἔρωτι, ἐμαινόμην, ὅ ἐστιν ἑκὼν ἀέκων ἐφερόμην φιλῆσαι.—Καὶ μεῦ κατεσίναζε.] ὕποπτον τοῦτο φασὶν εἶναι· δηλοίη δ' ἄν, ὅτι κυνηγὸς ὢν ὁ Ἄδωνις, ἐσίνετο αὐτόν· ἀλλὰ τοῦτο οὐκ ἂν εἴποι ὁ σῦς εἰς ἀπολογίαν· εἰδ' ἀποθοῖμεν εἰς τὸ Καῦμα, φαίνεται πιθανώτερον.

ΕΚ ΤΗΣ

# ΒΕΡΕΝΙΚΗΣ

## ΑΠΟΣΠΑΣΜΑΤΙΟΝ.

Κ' αἴ τις ἀνὴρ αἰτεῖτ' εὐαγρεσίαν τε καὶ ὄλβον,
Ἐξ ἁλὸς ᾧ ζωὴ, τὰ δὲ δίκτυα κείνῳ ἄροτρα,
Σφάζων ἀκρόνυχος ταύτῃ θεῷ ἱερὸν ἰχθὺν,
Ὃν λεῦκον καλέουσιν· ὁ γὰρ φιαρώτατος ἄλλων,
Καί κε λίνα στήσαιτο, καὶ ἐξαιρύσαιτο θαλάσσας
Ἔμπλεα.

# ΘΕΟΚΡΙΤΟΥ

## *ΤΟΥ ΣΥΡΑΚΟΥΣΙΟΥ.*

## ΕΠΙΓΡΑΜΜΑΤΑ.

ά.

Τὰ ῥόδα τὰ δροσόεντα, καὶ ἡ κατάπυκνος ἐκείνα
Ἕρπυλλος κεῖται ταῖς Ἑλικωνιάσι.
Ταὶ δὲ μελάμφυλλοι δάφναι τὶν, Πύθιε Παιάν·
Δελφὶς ἐπεὶ πέτρα τοῦτό τοι ἀγλάϊσε.

Βωμὸν δ' αἱμάξει κεραὸς τράγος οὗτος ὁ μαλὸς,
Τερμίνθου τρώγων ἔσχατον ἀκρέμονα.

ΑΛΛΟ. β'.

Δάφνις ὁ λευκόχρως, ὁ καλᾷ σύριγγι μελίσδων
Βωκολικὼς ὕμνως, ἄνθετο Πανὶ τάδε·
Τὼς τρητὼς δόνακας, τὸ λαγωβόλον, ὀξὺν ἄκοντα,
Νεβρίδα, τὰν πήραν, ᾇ ποκ' ἐμαλοφόρει.

ΑΛΛΟ. γ.

Εὕδεις φυλλοστρῶτι πέδῳ, Δάφνι, σῶμα κεκμακὸς
Ἀμπαύων· στάλικες δ' ἀρτιπαγεῖς ἀν' ὄρη.
Ἀγρεύει δέ τυ Πὰν, καὶ ὁ τὸν κροκόεντα Πρίηπος
Κισσὸν ἐφ' ἱμερτῷ κρατὶ καθαπτόμενος,
Ἄντρον ἔσω στείχοντες ὁμόῤῥοθοι. ἀλλὰ τὺ φεῦγε,
Φεῦγε μεθεὶς ὕπνου κῶμα καταγρόμενον.

ΑΛΛΟ. γ'.

Τήναν τὴν λαύραν, τῶς αἱ δρύες, αἰπόλε, κάμψας
Σύκινον εὑρήσεις ἀρτιγλυφὲς ξόανον,
Τρισκελὲς, αὐτόφλοιον, ἀνούατον· ἀλλὰ φάλητι
Παιδογόνῳ δυνατὸν Κύπριδος ἔργα τελεῖν·
Σακὸς δ' εὖ ἱερὸς περιδέδρομεν· ἀέναον δὲ
Ῥεῖθρον ἀπὸ σπιλάδων πάντοσε τηλεθάει
Δάφναις, καὶ μύρτοισι. καὶ εὐώδει κυπαρίσσῳ,
Ἔνθα πέριξ κέχυται βοτρυόπαις ἕλικι
Ἄμπελος· εἰαρινοὶ δὲ λιγυφθόγγοισιν ἀοιδαῖς
Κόσσυφοι ἀχεῦσιν ποικιλότραυλα μέλη·
Ξουθαὶ ἀηδονίδες μινυρίσμασιν ἀνταχεῦσι,

Μέλπουσαι στόμασιν τὰν μελίγηρυν ὄπα.
Ἕζεο δὴ τηνεῖ, καὶ τῷ χαρίεντι Πριήπῳ
Εὔχε' ἀποστέρξαι τοὺς Δάφνιδός με πόθους·
Κεὐθὺς ἐπιῤῥέξειν χίμαρον καλόν· ἢν δ' ἀνανεύσῃ,
Τοῦδε τυχὼν, ἐθέλω τρισσὰ θύη τελέσαι.
Ῥέξω γὰρ δαμάλαν, λάσιον τράγον, ἄρνα, τὸν ἴσχω
Σακίταν· ἀΐοι δ' εὐμενέως ὁ θεός.

## ΑΛΛΟ. έ.

Λῇς, ποτὶ τᾶν Νυμφᾶν, διδύμοις αὐλοῖσιν ἀεῖσαι
Ἀδύ τι μοι; κἠγὼν πακτίδ' ἀειράμενος
Ἀρξεῦμαί τι κρέκειν· ὁ δὲ βωκόλος ἄμμιγα θέλξει
Δάφνις, καροδέτῳ πνεύματι μελπόμενος.
Ἐγγὺς δὲ στάντες λασίας δρυὸς ἄντρου ὄπισθεν,
Πᾶνα τὸν αἰγυβάταν ὀρφανίσωμες ὕπνου.

## ΑΛΛΟ. ϛ'.

Ἁ δείλαιε τὺ Θύρσι, τί τοι πλέον, εἰ καταταξεῖς
Δάκρυσι διγλήνους ὦπας ὀδυρόμενος;
Οἴχεται ἁ χίμαρος, τὸ καλὸν τέκος, οἴχετ' ἐς ᾅδαν·
Τραχὺς γὰρ χαλαῖς ἀμφεπίαξε λύκος·
Αἱ δὲ κύνες κλαγγεῦντι, (τί τοι πλέον;) ἁνίκα τήνας
Ὀστέον οὐδὲ τέφρα λείπεται οἰχομένας.

## ΕΙΣ ΑΓΑΛΜΑ ΑΣΚΛΗΠΙΟΥ. ζ'.

Ἦλθε καὶ ἐς Μίλατον ὁ τῶ Παιήονος υἱός,
Ἰητῆρι νόσων ἀνδρὶ συνοισόμενος
Νικίᾳ· ὅς μιν ἐπ' ἆμαρ ἀεὶ θυέεσσιν ἱκνεῖται,
Καὶ τόδ' ἐπ' εὐώδους γλύψατ' ἄγαλμα κέδρου,

Ηετίωνι χάριν γλαφυρᾶς χερὸς ἄκρον ὑποστὰς
Μισθόν· ὁ δ' εἰς ἔργον πᾶσαν ἀφῆκε τέχναν.

ΕΠΙΤΑΦΙΟΝ ΟΡΘΩΝΟΣ. η΄.

Ξεῖνε, Συρηκόσιός τοί ἀνὴρ τόδ' ἐφίεται Ὄρθων,
Χειμερίης μεθύων μηδαμὰ νυκτὸς ἴῃς.
Καὶ γὰρ ἐγὼ τοιοῦτον ἔχω πότμον· ἀντὶ δὲ πολλᾶς
Πατρίδος ὀθνείην κεῖμαι ἐφεσσάμενος·

ΑΛΛΟ θ΄.

Ἄνθρωπε, ζωῆς περιφείδεο, μηδὲ παρ' ὥρην
Ναυτίλος ἴσθ'· ὡς ἔστ' οὐ πολὺς ἀνδρὶ βίος.
Δείλαιε Κλεόνικε, σύ δ' εἰς λιπαρὴν Θάσον ἐλθεῖν
Ἠπείγευ, κοίλης ἔμπορος ἐκ Συρίης,
Ἔμπορος, ὦ Κλεόνικε· δύσιν δ' ὑπὸ Πλειάδος αὐτὴν
Ποντοπορῶν αὐτῇ Πλειάδι συγκατέδυς.

ΕΙΣ ΑΓΑΛΜΑ ΜΟΥΣΩΝ. ι΄.

Ὑμῖν τοῦτο, θεαὶ, κεχαρισμένον ἐννέα πάσαις
Τὤγαλμα Ξενοκλῆς θῆκε τὸ μαρμάρινον
Μουσικός. οὐχ' ἑτέρως τὶς ἐρεῖ· σοφίῃ δ' ἐπὶ τῇδε
Αἶνον ἔχων, Μουσέων οὐκ ἐπιλανθάνεται.

ΕΠΙΤΑΦΙΟΝ ΕΥΣΘΕΝΟΥΣ ΤΟΥ ΦΥΣΙΟΓΝΩΜΟΝΟΣ. ια΄.

Εὐσθένεος τὸ μνᾶμα· φυσιγνώμων ὁ σοφιστὴς,
Δεινὸς ἀπ' ὀφθαλμοῦ καὶ τὸ νόημα μαθεῖν·
Εὖ μιν ἔθαψαν ἑταῖροι ἐπὶ ξείνης ξένον ὄντα·
Χ' ὑμνοθέτης αὐτοῖς δαιμονίως φίλος ἦς.

Πάντων ὧν ἐπέοικεν ἔχει τεθνεὼς ὁ σοφιστής·
  Καίπερ ἄκακις ἐὼν, εἶχ' ἄρα κηδεμόνας.

### ΕΙΣ ΤΡΙΠΟΔΑ ΤΩΙ ΔΙΟΝΥΣΩΙ ΑΠΟ ΔΗΜΟΤΕΛΟΥΣ ιβ'.

Δαμοτέλης ὁ χορηγὸς, ὁ τὸν τρίποδ', ὦ Διόνυσε,
  Καὶ σὲ τὸν ἥδιστον θεῶν μακάρων ἀναθεὶς,
Μέτριος ἦν ἐν παισί· χορῷ δ' ἐκτήσατο νίκην
  Ἀνδρῶν καὶ τὸ καλὸν καὶ τὸ προσῆκον ὁρῶν.

### ΕΙΣ ΑΓΑΛΜΑ ΤΗΣ ΟΥΡΑΝΙΑΣ ΑΦΡΟΔΙΤΗΣ. ιγ'.

Ἡ Κύπρις οὐ πάνδημος· ἱλάσκεο τὴν θεὸν εἰπὼν
  Οὐρανίαν, ἁγνᾶς ἄνθεμα Χρυσογόνας
Οἴκῳ ἐν Ἀμφικλέους, ᾧ καὶ τέκνα καὶ βίον εἶχε
  Ξυνόν· ᾀεὶ δέ σφιν λώϊον εἰς ἔτος ἦν,
Ἐκ σέθεν ἀρχομένοις, ὦ πότνια· κηδόμενοι γὰρ
  Ἀθανάτων αὐτοὶ πλεῖον ἔχουσι βροτοί.

### ΕΠΙΤΑΦΙΟΝ ΕΥΡΥΜΕΔΟΝΤΟΣ. ιδ'.

Νήπιον υἱὸν ἔλειπες, ἐν ἁλικίᾳ δὲ καὶ αὐτὸς,
  Εὐρύμεδον, τύμβου τοῦδε θανὼν ἔτυχες.
Σοὶ μὲν ἕδρα θείοισι μετ' ἀνδράσι· τὸν δὲ πολῖται
  Τιμασεῦντι, πατρὸς μνώμενοι ὡς ἀγαθοῦ.

### ΕΙΣ ΤΟ ΑΥΤΟ. ιέ.

Γνώσομαι, εἴτι νέμεις ἀγαθοῖς πλέον, ἢ καὶ ὁ δειλὸς
  Ἐκ σέθεν ὡσαύτως ἶσον, ὁδοιπόρ', ἔχει.
Χαιρέτω οὗτος ὁ τύμβος, ἐρεῖς· ἐπεὶ Εὐρυμέδοντος
  Κεῖται τῆς ἱερῆς κοῦφος ὑπὲρ κεφαλῆς·

## ΕΙΣ ΑΝΑΚΡΕΟΝΤΟΣ ΑΝΔΡΙΑΝΤΑ ιϛ΄.

Θᾶσαι τὸν ἀνδριάντα τοῦτον ὦ ξένε,
Σπουδᾷ· καὶ λέγ', ἐπὰν ἐς οἶκον ἔνθῃς,
Ἀνακρέοντος εἰκόν' εἶδον ἐν Τέῳ,
Τῶν πρόσθ' εἴτι περισσὸν ᾠδοποιῶν·
Προσθεὶς δὲ χὤτι τοῖς νέοισιν ἅδετο,
Ἐρεῖς ἀτρεκέως ὅλον τὸν ἄνδρα.

## ΕΙΣ ΕΠΙΧΑΡΜΟΝ. ιζ΄.

Ἅ τε φωνὰ δώριος, χὠ 'νὴρ, ὁ τὰν κωμῳδίαν
Εὑρὼν, Ἐπίχαρμος.
Ὦ Βάκχε, χάλκεόν νιν ἀντ' ἀλαθινοῦ
Τὶν ὧδ' ἀνέθηκαν,
Τοὶ Συρακόσσαις ἐνίδρυνται Πελωρεῖς τᾷ πόλει,
Οἷ' ἀνδρὶ πολίτᾳ,
(Σωρὸν γὰρ εἶχε χρημάτων) μεμναμένοι
Τελεῖν ἐπίχειρα.
Πολλὰ γὰρ ποτ τὰν ζόαν τοῖς παισὶν εἶπε χρήσιμα·
Μεγάλα χάρις αὐτῷ.

## ΕΠΙΤΑΦΙΟΝ ΚΛΕΙΤΑΣ, ΤΡΟΦΟΥ ΜΗΔΕΙΟΥ. ιή.

Ὁ μικκὸς τόδ' ἔτευξε τᾷ Θρεΐσσᾳ
Μήδειος τὸ μνᾶμ' ἐπὶ τᾷ ὁδῷ, κἠπέγραψε Κλείτας.
Ἑξεῖ τὰν χάριν ἁ γυνὰ ἀντὶ τήνων,
Ὧν τὸν κῶρον ἔθρεψε. τί μάν; ἔτι χρησίμα καλεῖται.

## ΕΙΣ ΑΡΧΙΛΟΧΟΝ. ιθ΄.

Ἀρχίλοχον καὶ στᾶθι καὶ εἴσιδε τὸν πάλαι ποιητὰν

Τὸν τῶν ἰάμβων, οὗ τὸ μυρίον κλέος
Διῆλθε κἠπὶ νύκτα καὶ ποτ' ἀῶ.
Ἦ ῥάμιν αἱ Μοῦσαι καὶ ὁ Δάλιος ἠγάπευν Ἀπόλλων·
Ὡς ἐμμελής τ' ἔγεντο κἠπιδέξιος
Ἔπεά τε ποιεῖν, πρὸς λύραν τ' ἀείδειν.

## ΕΙΣ ΑΝΔΡΙΑΝΤΑ ΠΕΙΣΑΝΔΡΟΥ ΤΟΥ ΤΗΝ ΗΡΑΚΛΕΙΑΝ ΠΟΙΗΣΑΝΤΟΣ. κ΄.

Τὸν τῶ Ζανὸς ὅδ' ὔμμιν υἱὸν ὡνήρ,
Τὸν λειοντομάχαν, τὸν ὀξύχειρα,
Πρῶτος τῶν ἐπάνωθε μουσοποιῶν
Πείσανδρος ξυνέγραψεν ὡ 'κ Καμείρου,
Χὤσους ἐξεπόνασεν εἶπ' ἀέθλους.
Τοῦτον δ' αὐτὸν ὁ δᾶμος (ὡς σάφ' εἰδῇς)
Ἔστασ' ἐνθάδε, χάλκεον ποιήσας
Πολλοῖς μασὶν ὄπισθε κἠνιαυτοῖς.

## ΕΙΣ ΙΠΠΩΝΑΚΤΑ. κά.

Ὁ μουσοποιὸς ἐνθάδ' Ἱππῶναξ κεῖται.
Εἰ μὲν πονηρός, μὴ ποτέρχευ τῷ τύμβῳ.
Εἰ δ' ἐσσὶ κρήγυός τε καὶ παρὰ χρηστῶν,
Θαρσέων καθίζευ, κἂν θέλῃς, ἀπόβριξον.

## ΤΟΥ ΑΥΤΟΥ ΕΙΣ ΤΗΝ ΕΑΥΤΟΥ ΒΙΒΛΟΝ κϐ΄.

Ἄλλος ὁ Χῖος· ἐγὼ δὲ Θεόκριτος, ὃς τάδ' ἔγραψα,
Εἷς ἀπὸ τῶν πολλῶν εἰμὶ Συρηκόσιος,
Υἱὸς Πραξαγόραο περικλειτῆς τε Φιλίννης·
Μοῦσαν δ' ὀθνείην οὔποτ' ἐφελκυσάμην.

# ΒΙΩΝΟΣ

ΤΟΥ ΣΜΥΡΝΑΙΟΥ

# ΒΟΥΚΟΛΙΚΑ.

# ΕΠΙΤΑΦΙΟΣ ΑΔΩΝΙΔΟΣ.

## *ΕΙΔΥΛΛΙΟΝ Α.*

Αἰάζω τὸν Ἄδωνιν· ἀπώλετο καλὸς Ἄδωνις.
Ὤλετο καλὸς Ἄδωνις, ἐπαιάζουσιν Ἔρωτες.
Μηκέτι πορφυρέοις ἐνὶ φάρεσι, Κύπρι, κάθευδε·
Ἔγρεο δειλαία κυανοστόλε, καὶ πλατάγησον
Στάθεα, καὶ λέγε πᾶσιν, ἀπώλετο καλὸς Ἄδωνις.
Αἰάζω τὸν Ἄδωνιν· ἐπαιάζουσιν Ἔρωτες.
Κεῖται καλὸς Ἄδωνις ἐπ' ὤρεσι, μηρὸν ὀδόντι
Λευκῷ λευκὸν ὀδόντι τυπεὶς, καὶ Κύπριν ἀνιᾷ,
Λεπτὸν ἀποψύχων· τὸ δὲ οἱ μέλαν εἴβεται αἷμα
Χιονέας κατὰ σαρκός· ὑπ' ὀφρύσι δ' ὄμματα ναρκεῖ,
Καὶ τὸ ῥόδον φεύγει τῶ χείλεος· ἀμφὶ δὲ τήνῳ
Θνάσκει καὶ τὸ φίλαμα, τὸ μήποτε Κύπρις ἀφήσει.
Κύπριδι μὲν τὸ φίλαμα καὶ οὐ ζώοντος ἀρέσκει,
Ἀλλ' οὐκ οἶδεν Ἄδωνις, ὅ μιν θνάσκοντ' ἐφίλασεν.
Αἰάζω τὸν Ἄδωνιν· ἐπαιάζουσιν Ἔρωτες·
Ἄγριον, ἄγριον ἕλκος ἔχει κατὰ μηρὸν Ἄδωνις·

---

1. Αἰάζω.] θρηνῶ· γίνεται δὲ παρὰ τὸ σχετλιαστικὸν Αἳ Αἳ· ὃ πολὺ ἐν τῇ ποιήσει παρὰ τοῖς τραγῳδοῖς. 8. Ὀδόντι.] δὶς τούτου ληφθέντος θάτερον ἐπισήμως παρέλκει. 9. Λεπτὸν ἀποψύχων] κατ' ὀλίγον ἐκπνέων, ἠρέμα ψυχοῤῥαγῶν. 10. Ὄμματα ναρκεῖ] μαραίνεται κατὰ μικρόν. 14. ὅμιν] ὅτι μιν· 17. Κυ-

# ΕΠΙΤΑΦΙΟΣ ΑΔΩΝΙΔΟΣ.

## *ΕΙΔΥΛΛΙΟΝ Α'.*

Ολοφύρομαι τὸν Ἄδωνιν, ὅτι καλὸς ὢν, ἀπώλετο· ὀλοφύρονται δ᾽ αὐτὸν καὶ οἱ Ἔρωτες, ὅτι νέος κατέστρεψε· Σὺ δὲ, ὦ Ἀφροδίτη, μηκέτι ἐν πορφυροῖς κάθευδε στρωμναῖς· ἐγείρου, ὦ τάλαινα μελανείμων, καὶ παῖσον τὸ στῆθος, δρυπτομένη καὶ λέγουσα, ἀπώλετό μοι Ἄδωνις ὁ καλός.

Θρηνῶ τὸν Ἄδωνιν, θρηνοῦσιν αὐτὸν καὶ οἱ Ἔρωτες· κεῖται ὁ καλὸς Ἄδωνις ἐν τῷ ὄρει, λευκῷ ὀδόντι τὸν λευκὸν μηρὸν σπαραχθεὶς, καὶ ἠρέμ᾽ ἀποπνέων, σφόδρα λυπεῖ τὴν Κύπριν· τὸ δὲ ἀπὸ τοῦ τραύματος λειβόμενον μέλαν αἷμα, τὸν μαρμαίροντα αὐτῷ ἐπιχρίει χρῶτα· τὰ δὲ ὄμματα ὑποδύεται ταῖς ὀφρύσι, καὶ τοὐρύθημα ἐπιλιπὸν τὰ χείλει, συναφεῖλεν αὐτῶν καὶ τὸ φίλημα, ὡς μηκέτ᾽ αὐτῷ παρεξούσης τοῦτο τῆς Ἀφροδίτης· καί τοι ἐκείνῃ, καὶ ἀποθανόντος αὐτοῦ, ἔχει χάριν τὸ φίλημα, ἀλλὰ τῷ τεθνεῶτι τὸ δῶρον γίγνεται ἀνεπαίσθητον.

Κλαίω τὸν Ἄδωνιν· κλαίουσιν αὐτὸν καὶ οἱ Ἔρωτες· ἄγριον, σκυθρωπὸν, ἀποτρόπαιον τραῦμα ἐν τῷ μηρῷ ἐδέ-

---

θέρεια ] ἡ Ἀφροδίτη, ἐπὶ ἐν Κυθήροις κατά τινας ἐτιμᾶτο. 19. Ὀρειάδες] αἱ ἐν ταῖς ὄρεσι Νύμφαι αἱ καὶ Ναΐδες. καὶ Δρυάδες καὶ ἄλλαι ἀπὸ τῶν ὀ-

Μεῖζον δ' ἁ Κυθέρεια φέρει ποτικάρδιον ἕλκος.
Κεῖνον μὲν περὶ παῖδα φίλοι κύνες ὠρύσαντο,
Καὶ Νύμφαι κλαίουσιν Ὀρειάδες· ἁ δ' Ἀφροδίτα,
Λυσαμένα πλοκαμῖδας, ἀνὰ δρυμὼς ἀλάληται
Πενθαλέα, νήπλεκτος, ἀσάνδαλος· αἱ δὲ βάτοι νιν
Ἐρχομέναν κείροντι, καὶ ἱερὸν αἷμα δρέπονται·
Ὀξὺ δὲ κωκύουσα δι' ἄγκεα μακρὰ φορεῖται,
Ἀσσύριον βοόωσα πόσιν, καὶ παῖδα καλεῦσα.
Ἀμφὶ δέ μιν μέλαν αἷμα παρ' ὀμφαλὸν ᾐωρεῖτο,
Στάθεα δ' ἐκ μηρῶν φοινίσσετο, οἱ δ' ὑπομαζοὶ
Χιόνεοι τὸ πάροιθεν Ἀδώνιδι πορφύροντο.

Αἲ αἲ τὰν Κυθέρειαν, ἐπαιάζουσιν Ἔρωτες.
Ὤλεσε τὸν καλὸν ἄνδρα, συνώλεσεν ἱερὸν εἶδος.
Κύπριδι μὲν καλὸν εἶδος, ὅτε ζώεσκεν Ἄδωνις,
Κάτθανε δ' ἁ μορφὰ σὺν Ἀδώνιδι Κύπριδος, αἲ αἴ.
Ὤρεα πάντα λέγοντι, καὶ αἱ δρύες, αἲ τὸν Ἄδωνιν.
Καὶ ποταμοὶ κλαίοντι τὰ πένθεα τᾶς Ἀφροδίτας,
Καὶ παγαὶ τὸν Ἄδωνιν ἐν ὤρεσι δακρύοντι,
Ἄνθεα δ' ἐξ ὀδύνας ἐρυθαίνεται· ἁ δὲ Κυθήρα
Πάντας ἀνὰ κναμὼς, ἀνὰ πᾶν νάπος οἰκτρὸν ἀείδει.

Αἲ αἲ τὰν Κυθέρειαν, ἀπώλετο καλὸς Ἄδωνις.

---

παγγελμάτων ὀνόματα ἔχουσαι. 22. Κείρουσι] δρύπτουσι, καὶ τὸ αἷμα αὐτῆς λαβοῦσαι, βάπτουσι τὸ ἄνθος. 24. Ἀσσύριον] τὸν ἐκ τῆς Ἀσσυρίας καταγόμενον· ἦν γὰρ υἱὸς Κινήρου καὶ Μύῤῥας. 36. Κναμὼς] κνημοὺς λέγει τὰ μέσα τῶν ὀρέων· καθάπερ γὰρ ἐπὶ τοῦ ἀνθρωπίνου σκέλους τὸ μὲν ἔσχατον καλεῖται ποῦς, τὸ δὲ μέσον κνήμη, καὶ τὸ ἀνώτερον μηρὸς, καὶ

ξατο Ἄδωνις· Πολλῷ δὲ τοῦτο μεῖζον ἐν τῇ καρδίᾳ ἡ τάλαινα φέρει Κύπρις· Τίς δ' οὐκ οἶδεν, ὅτι καὶ οἱ κύνες περὶ τοῦ νεανίου ὠρύσαντο τούτου, καὶ αἱ Ὀρειάδες Νύμφαι δακρύουσιν; ἡ δ' Ἀφροδίτη, τοὺς τῆς κεφαλῆς λυσαμένη πλοκάμους, περιπολεῖ κατὰ τοὺς δρυμῶνας, ἄπλεκτος, ἀνυπόδυτος, ἀπαραμύθητος· καὶ αἱ βάτοι δρύπτουσαι αὐτὴν, διὰ μέσων ἰοῦσαν, τὸ ἱερὸν αὐτῆς ἀποδρέπονται αἷμα. ἥτις πλανωμένη ἐν τοῖς δρυμῶσιν, κωκυτὸν ἀνακρούεται μέγαν, τὸν Ἀσσύριον φωνοῦσα ἄνδρα, καὶ παῖδα αὐτὸν καλοῦσα· οὗ τὸ αἷμ' ἀνήει ἀπὸ τοῦ τραύματος ἔστ' ἐπὶ τὸν ὀμφαλὸν, καὶ τὰ στήθη πέριξ ὑπὸ τοὺς μαζοὺς, τοὺς πρότερον λευκότητι ἐξαστράπτοντας, περικλυζόμενα ἐρυθραίνοντο.

Φεῦ φεῦ τῆς Κύπριδος, ταλανίζουσιν αὐτὴν οἱ Ἔρωτες, ὅτι ἀπολέσασα τὸν καλὸν νυμφίον, συναπώλεσε καὶ τὸ θεῖον ἑαυτῆς εἶδος. Ἦν δὲ τῇ θεῷ κάλλος ἀμύθητον, ζῶντος Ἀδώνιδος, κάλλος θεῖον· ἀλλ' ἀπολωλότος ἐκείνου, συναπώλετο αὐτῇ καὶ τὸ εἶδος. Φεῦ φεῦ, πάντα τὰ ὄρη, καὶ πᾶσαι ἀντιχοῦσιν αἱ δρύες, φεῦ τοῦ Ἀδώνιδος· καὶ οἱ ποταμοὶ δ' αὐτοὶ συμπενθοῦσι τὸ μέγα πάθος· αἱ δ' αὖ πηγαὶ ἀνὰ πάντα τὰ ὄρη, τὰ ἑαυτῶν ῥεῖθρα μεταβαλοῦσαι εἰς δάκρυα, κλαίουσι Ἄδωνιν· τά τ' ἄνθη τῆς γῆς ἐρυθραίνονται ἐκ τοῦ τραύματος, καὶ ἡ Κύπρις ἀνὰ τὰς κοιλάδας καὶ τὰ νάπη τῶν ὀρέων οἰκτρὸν ὀλοφύρεται.

Φεῦ φεῦ τῆς Ἀφροδίτης, ὁ καλὸς αὐτῇ ἀπώλετο Ἄδωνις·

---

ἰσχύν· οὕτω καὶ ἐπὶ τοῦ ὄρους ἔστι τὸ μὲν ἐσχατιὰ, καὶ ὑπώρεια καλουμένη, τὸ δὲ μέσον κνημὸς (ἀναλόγως πρὸς τὴν κνήμην.) τὸ ἀνώτατον δὲ ὑπερβο-

Ἀχὼ δ' ἀντεβόασεν, ἀπώλετο καλὸς Ἄδωνις.
Κύπριδος αἰνὸν ἔρωτα τίς οὐκ ἔκλαυσεν ἄν; αἴ αἴ.
Ὡς ἴδεν, ὡς ἐνόησεν Ἀδώνιδος ἄσχετον ἕλκος,
Ὡς ἴδε φοίνιον αἷμα μαραινομένῳ περὶ μηρῷ,
Παχέας ἀμπετάσασα, κινύρετο, Μεῖνον Ἄδωνι,
Δύσποτμε μεῖνον Ἄδωνι, πανύστατον ὥς σε κιχείω,
Ὥς σε περιπτύξω, καὶ χείλεα χείλεσι μίξω.
Ἔγρεο τυτθὸν Ἄδωνι, τὸ δ' αὖ πύματόν με φίλασον.
Τοσοῦτόν με φίλασον, ὅσον ζώει τὸ φίλαμα·
Ἄχρις ἀπὸ ψυχῆς ἐς ἐμὸν στόμα κεἰς ἐμὸν ἧπαρ
Πνεῦμα τεὸν ῥεύσῃ, τὸ δὲ σεῦ γλυκὺ φίλτρον ἀμέλξω,
Ἐκ δὲ πίω τὸν ἔρωτα· φίλαμα δὲ τοῦτο φυλαξῶ,
Ὡς αὐτὸν τὸν Ἄδωνιν· ἐπεὶ σύ με δύσμορε, φεύγεις.
Φεύγεις μακρὸν, Ἄδωνι, καὶ ἔρχεαι εἰς Ἀχέροντα.
Καὶ στυγνὸν βασιλῆα καὶ ἄγριον· ἁ δὲ τάλαινα
Ζώω, καὶ θεὸς ἐμμὶ, καὶ οὐ δύναμαί σε διώκειν.
Λάμβανε, Περσεφόνα, τὸν ἐμὸν πόσιν· ἐσσὶ γὰρ αὐτὰ
Πολλὸν ἐμεῦ κρέσσων· τὸ δὲ πᾶν καλὸν ἐς σὲ καταῤῥεῖ.
Εἰμὶ δ' ἐγὼ πανάποτμος, ἔχω δ' ἀκόρεστον ἀνίαν,
Καὶ κλαίω τὸν Ἄδωνιν, ὅ μοι θάνε, καὶ σε φοβεῦμαι.
Θνάσκεις, ὦ τριπόθατε· πόθος δέ μοι ὡς ὄναρ ἔπτη.
Χήρη δ' ἁ Κυθέρεια, κενοὶ δ' ἀνὰ δώματ' Ἔρωτες.
Σοὶ δ' ἅμα κεστὸς ὄλωλε. τί γὰρ τολμηρὲ κυνάγεις;
Καλὸς ἐὼν, τοσοῦτον ἔμηνας θηρσὶ παλαίειν;

---

ὀχὴ καὶ κορυφή. 57. ὅ μοι θάνε] τὸ Ὁ Ἄρθρον ἐστὶ προτακτικὸν ἀντὶ τῆς Ὅς Ἀντωνυμίας· τὸ δὲ Μοι ἐστι ἐγκλιτικόν. Πῶς δὲ φοβεῖται τὴν Περσεφόνην, αὐτὰ ἂν εἰδείη. 60. Κεστὸς] ἡ κεντημένη ζώνη τῆς Ἀφροδίτης ἡ μεγάλη

ἡ Ἠχὼ ἀντεφώνησεν, ὁ καλὸς ἀπώλετο Ἄδωνις. Τίς οὖν οὐκ ἐδάκρυσε τὸν θερμὸν τῆς Κύπριδος ἔρωτα; Φεῦ φεῦ, ἐπειδὴ τάχιστα ἐκείνη ἐνόησεν, ὁπότ' εἶδεν τὸ ἀκατάσχετον ἕλκος, ὁπότε τὸ αἷμα ἐπὶ τοῦ φθίνοντος κατέῤῥει μηροῦ, ἀναπετάσασα τὰς ὠλένας, ὠδύρετο λέγουσα. Μεῖνον, Ἄδωνι, Ἄδωνι τάλαν, μεῖνον μετ' ἐμοῦ, ὅπως πανύστατον ἀπολαύωσε, πανύστατον χείλη συνάπτουσα χείλεσι, περιπτύξωμαι· ἀνάστα Ἄδωνι πρὸς μικρὸν, καὶ φίλησόν με τὸ ὕστατον· τοσοῦτον μόνον, ὅσον αὐτὸ τὸ φίλημα διαρκεῖ· ἕως οὗ, πνεύματος τῆς σῆς ψυχῆς εἰς τοὐμὸν ἧπαρ διὰ τοῦ στόματος εἰσιόντος, τὸ γλυκὺ ἀποδρέψωμαι φίλτρον, κἀντεῦθεν καταπίω τὸν ἔρωτα· τὸ δὲ φίλημα τοῦτο διατηρήσω, ὡς αὐτόν σε τὸν Ἄδωνιν· νῦν δὲ σὺ, ὦ σχέτλιε, οἴχῃ καταλιμπάνων ἡμᾶς, οἴχῃ μακρὰν εἰς Ἀχέρονα τὸν σκυθρωπὸν καὶ ἄγριον τῶν νεκρῶν βασιλέα· ἡ δὲ τάλαινα ἐγὼ ζῶ· καὶ τὸ χείριστον, θεὸς οὖσα, οὐ δύναμαι ἀποθανοῦσαν, ἕπεσθαι τῷ φιλτάτῳ· Ἀλλὰ δέξαι σύγε, ὦ Περσεφόνη, δέξαι τὸν ἐμὸν καλὸν ἄνδρα· τὸ γὰρ ἐμὸν καλὸν κάτεισι νῦν πρὸς σὲ, ὡς πολλῷ ἐμοῦ κρείττω οὖσαν· ἐγὼ δὲ νῦν δυστυχὴς καὶ ἀθλία, κατατήκομαι λύπῃ· τόν τε γὰρ Ἄδωνιν κλαίω ἀποθανόντα, καί σε φοβοῦμαι· Θνήσκεις, ὦ τριπόθητε· ὁ δ' ἐν ἐμοὶ ἔρως, ὡς ὄνειρον, ᾤχετο ἀπιών· ἡ δὲ Κύπρις ἐγὼ ἤδη χηρεύω σου, καὶ οἱ Ἔρωτες μάτην καταργοῦσι τὰ δώματα, καί σε ὁ κεστὸς θυμὸς ἀπολέλοιπεν ὅλως· Τί γὰρ, ὦ πάντων τολμηρότατε, ἐμαίνου κυνηγετεῖν; τί δ' οὐκ ἔμεινας κατὰ χώραν, ἀλλ' οὕτω καλὸς ὤν, θηρσὶν ἀγρίοις προείλου ἀντιπληκτίζεσθαι;

Ὣδ' ὀλοφύρατο Κύπρις· ἐπαιάζουσιν Ἔρωτες,
Αἴ αἴ τὰν Κυθέρειαν, ἀπώλετο καλὸς Ἄδωνις.
Δάκρυον ἁ Παφία τόσσον χέει, ὅσσον Ἄδωνις
Αἷμα χέει· τὰ δὲ πάντα ποτὶ χθονὶ γίγνεται ἄνθη.
Αἷμα ῥόδον τίκτει, τὰ δὲ δάκρυα τὰν ἀνεμώναν.
Αἰάζω τὸν Ἄδωνιν· ἀπώλετο καλὸς Ἄδωνις.
Μηκέτ' ἐνὶ δρυμοῖσι τὸν ἀνέρα μύρεο Κύπρι.
Ἔστ' ἀγαθὰ στιβάς, ἔστιν Ἀδώνιδι φυλλὰς ἑτοίμα.
Λέκτρον ἔχει, Κυθέρεια, τὸ σὸν τόδε νεκρὸς Ἄδωνις.
Καὶ νέκυς ὤν, καλός ἐστι, καλὸς νέκυς, οἷα καθεύδων.
Κάτθεό νιν μαλακοῖς ἐνὶ φάρεσιν, οἷς ἐνίαυεν,
Τοῖς μετὰ σεῦ ἀνὰ νύκτα τὸν ἱερὸν ὕπνον ἐμόχθει
Παγχρύσῳ κλιντῆρι· πόθει καὶ στυγνὸν Ἄδωνιν.
Βάλλε δ' ἐνὶ στεφάνοισι καὶ ἄνθεσι· πάντα σὺν αὐτῷ,
Ὡς τῆνος τέθνακε, καὶ ἄνθεα πάντ' ἐμαράνθη.
Ῥαῖνε δέ μιν μύρτοισιν, ἀλείφασι, ῥαῖνε μύροισι.
Ὀλλύσθω μύρα πάντα, τὸ σὸν μύρον ὤλετ' Ἄδωνις.
Κέκλιται ἁβρὸς Ἄδωνις ἐν εἵμασι πορφυρέοισιν·
Ἀμφὶ δέ μιν κλαίοντες ἀναστενάχουσιν Ἔρωτες,
Κειράμενοι χαίτας, ἐπ' Ἀδώνιδι· χὣ μὲν οἰστώς,
Ὃς δ' ἐπὶ τόξον ἔβαιν', ὃς δ' εὔπτερον ἆγε φαρέτραν·
Χὣ μὲν ἔλυσε πέδιλον Ἀδώνιδος· ὃς δὲ λέβησι
Χρυσείοις φορέησιν ὕδωρ· ὁ δὲ μηρία λούει·
Ὃς δ' ὄπιθεν πτερύγεσσιν ἀναψύχει τὸν Ἄδωνιν.

---

δύναμις τῶν ἐρώτων. 61. Ἔμηνας] ἀντὶ τοῦ, Ἔμανες. 64. Παφία] ἡ ἐν Πάφῳ τῆς Κύπρου τιμωμένη. 77. Μύρτοισι] μύρτος μὲν ἡ μυρτίνη καὶ

Οὕτω μὲν οὖν ἡ τάλαινα Κύπρις ὠδύρετο, συνεπωδύροντο δὲ αὐτῇ καὶ οἱ Ἔρωτες, φεῦ φεῦ τῆς Κύπριδος, ἀπώλετο Ἄδωνις ὁ καλός· καὶ ἡ Κύπρις τοσαῦτα δάκρυα ἐκχεῖ, ὅσον ἐξ Ἀδώνιδος αἷμα ῥεῖ· ἐξ ὧν τὰ ἐκ γῆς πάντα φύονται ἄνθη· ἐκ μὲν γὰρ τοῦ αἵματος προκύπτει τὸ ῥόδον, ἐκ δὲ τῶν δακρύων ἀνεφύη ἡ ἀνεμώνη·

Κλαίω τὸν Ἄδωνιν, ἀπώλετο Ἄδωνις ὁ καλός· Ἀλλ' ὦ Κύπρι μηκέτι ἀνὰ τὰ ὄρη τὸν ἄνδρα θρήνει· ἔχει στιβάδα καλὴν, ἔχει Ἄδωνις εὐνὴν ἐνταῦθα, εὖ ὑπεστρωμένην φύλλοις, τὸ σὸν, φημὶ, λέκτρον, ἐφ' οὗ ἐστι προτεθειμένος· ὅς καὶ νεκρὸς ὢν, καλός ἐστιν· νεκρὸς, ὡσεὶ καθεύδων· κατάθες αὐτὸν νῦν ἐν τάπησι μαλακοῖς, ἐν οἷς ἀνεπαύετο μετὰ σοῦ, τὸν ἱερὸν ὕπνον σπῶν ἐν παγχρύσῳ κλιντῆρι· πόθει τὸν Ἄδωνιν καὶ νεκρόν· βάλλε αὐτὸν ἀνθηπλόκοις ϛεφάνοις· πάντα γὰρ ἤδη μαρανθέντι συνεμαράνθη· ῥαῖνε αὐτὸν μύρτοις, ῥαῖνε χρίσμασί τε καὶ μύροις· Ἀλλ' ἐῤῥέτω τὰ μῦρα, Ἀδώνιδος τοῦ σοῦ μύρου ἀπολεσθέντος, Ἀδώνιδος τοῦ ἁβροῦ ἐν πορφυροῖς τάπησι νεκροῦ προτεθειμένου· περὶ ὃν οἱ ἔρωτες, τὴν κόμην κειράμενοι, κόπτονται στένοντες· ὧν ὁ μὲν φέρει τοὺς οἰστοὺς, ὁ δὲ βαίνει ἐπὶ τὸ τόξον, ἄλλος δὲ τὴν εὔπτερον φαρέτραν ἔχει, καὶ ὁ μὲν ἔλυσε τὰ καλὰ τοῦ Ἀδώνιδος πέδιλα, ὁ δὲ ὕδωρ ἐν λέβησι κομίζει χρυσοῖς, ἕτερος δὲ λούει τοὺς μηροὺς ἀπὸ τοῦ λύθρου, καὶ ἄλλος ῥιπίσιν πτερωτοῖς ὄπισθεν ἀναψύχει τὸν Ἄδωνιν.

---

μυρσίνη καὶ μυῤῥίνη τὸ φυτόν· τὸ μύρτον δὲ οὐδετέρως φησὶ τὸν καρπὸν, ὡς ἐνταῦθα.

Αὐτὰν τὰν Κυθέρειαν ἐπαιάζουσιν Ἔρωτες.
Ἔσβεσε λαμπάδα πᾶσαν ἐπὶ φλιαῖς Ὑμέναιος,
Καὶ στέφος ἐξεπέτασσε γαμήλιον· οὐκέτι δ' Ὑμὰν,
Ὑμὰν οὐκέτ' ἀειδόμενον μέλος, ᾄδεται αἴ αἴ.
Αἴ αἴ καὶ τὸν Ἄδωνιν ἔτι πλέον, ἢ Ὑμέναιος,
Αἱ Χάριτες κλαίοντι τὸν υἱέα τῶ Κινύραο,
Ὤλετο καλὸς Ἄδωνις, ἐν ἀλλήλῃσι λέγοισαι.
Αὐταὶ δ' ὀξὺ λέγοντι πολὺ πλέον, ἢ τὺ Διώνα.
Καὶ Μοῖσαι τὸν Ἄδωνιν ἀνακλαίουσιν Ἄδωνιν,
Καί μιν ἐπαείδουσιν, ὁ δὲ σφίσιν οὐκ ἐπακούει.
Οὐ μὰν οὐκ ἐθέλει, Κώρα δέ μιν οὐκ ἀπολύει.

Λῆγε γόων, Κυθέρεια, τὸ σήμερον ἴσχεο κομμῶν·
Δεῖ σε πάλιν κλαῦσαι, πάλιν εἰς ἔτος ἄλλο δακρῦσαι.

---

87. Λαμπάδα] λαμπὰς καὶ στέφανος γαμήλιος ἦν ἐν τῷ γάμῳ ἐπὶ τῆς τραπέζης· ἐνταῦθα δὲ ἀπὸ τῆς φλιᾶς τοῦ ἀνωτέρου παραστάτου τῆς θύρας τίθησιν αὐτὴν ὁ ποιητής. Ὑμέναιον δὲ ἐνταῦθα αὐτὸν λέγει τὸν θεόν. Ὑμένα δὲ, τὸν ὕμνον τοῦ γάμου· ὥσπερ καὶ τὸν Ὑμέναιον ἐν τῷ ἑπομένῳ

Αὐτὴν δὲ τὴν Κύπριν οἱ Ἔρωτες ἐποδύρονται· Ὁ δὲ Ὑμέναιος αὖθις ἔσβεσε τὴν λαμπάδα πᾶσαν τὴν ἐπὶ τῶν φλιῶν, καὶ τὸν τοῦ γάμου διέλυσε στέφανον· μέλος δέ τι ὑμεναίου οὐκέτ' ἀκούομεν ᾄδεσθαι· ἀλλ' ἀντίφθογγος μέλπεται οἶτος, Αἴ αἴ, φεῦ φεῦ τοῦ Ἀδώνιδος, τοῦτο μᾶλλον ἀκούεται, ἢ ὑμέναιος· Αἱ χάριτες κλαίουσι τὸν παῖδα Κινύρου, ἀπώλετο ὁ καλὸς Ἄδωνις, λέγουσαι πρὸς ἀλλήλας· καὶ ταῦτ' ὀξύτερον, ἢ σὺ ἡ Διώνη, κωκύουσαι· ὡσαύτως δὲ καὶ αἱ Μοῦσαι θρηνοῦσι τὸν Ἄδωνιν, καὶ ᾄδουσιν αὐτὸν ᾠδαῖς, ἀλλ' ἐκεῖνος αὐτῶν οὐκ ἐπακούει, οὐχ ὅτι οὐκ ἐθέλει, ἀλλ' ἡ Περσεφόνη αὐτῷ οὐκ ἐπιτρέπει τοῦτο.

Λῆγε τῶν γόων Κύπρι, παῦσαι τῶν θρήνων ἤδη· δεῖ γάρ σε καὶ αὖ πάλιν κλαῦσαι, καὶ κατὰ πᾶν ἔτος μεμνῆσθαι θρήνων.

---

στίχῳ. 93. Διώνα] μητρώνυμον τοῦτο τῆς Ἀφροδίτης. 97. Κομμῶν] κομμός, θρῆνος, οἶτος, ἰάλεμος. 98. Ἐς ἔτος ἄλλο δακρῦσαι] κατ' ἔτος γὰρ ἦν ἑορτὴ τὰ Ἀδώνια, μάλιστα ἐν Ἀλεξανδρείᾳ· μέτιθι τὸ ΙΕ'. Εἰδύλλιον τοῦ Θεοκρίτου.

## ΕΙΔΥΛΛΙΟΝ Β'.

Ἰξευτὰς ἔτι κῶρος, ἐν ἄλσεϊ δενδράεντι
Ὄρνεα θηρεύων, τὸν ἀπότροπον εἶδεν Ἔρωτα
Ἐσδόμενον πύξοιο ποτὶ κλάδον· ὡς δ' ἐνόασε,
Χαίρων, ὥνεκα δὴ μέγα φαίνετο ὄρνεον αὐτῷ,
Τὼς καλάμως ἅμα πάντας ἐπ' ἀλλάλοισι συνάπτων,
Τᾷ καὶ τᾷ τὸν Ἔρωτα μετάλμενον ἀμφεδόκευεν.
Χὼ παῖς ἀσχαλόων, ἕνεχ' οἱ τέλος οὐδὲν ἀπάντη,
Τὼς καλάμως ῥίψας, ποτ' ἀροτρέα πρέσβυν ἵκανεν,
Ὅς νιν τάνδε τέχναν ἐδιδάξατο· καὶ λέγεν αὐτῷ,
Καί οἱ δεῖξεν Ἔρωτα καθήμενον. αὐτὰρ ὁ πρέσβυς
Μειδιόων, κίνησε κάρη, καὶ ἀμείβετο παῖδα·
Φείδεο τᾶς θήρας, μηδ' ἐς τόδε τὤρνεον ἔρχευ.
Φεῦγε μακράν· κακόν ἐντὶ τὸ θηρίον· ὄλβιος ἐσσῇ,
Εἰσόκα μή μιν ἕλῃς· ἢν δ' ἀνέρος ἐς μέτρον ἔλθῃς,
Οὗτος ὁ νῦν φεύγων καὶ ἀπάλμενος, αὐτὸς ἀφ' αὐτῶ
Ἐλθὼν ἐξαπίνας, κεφαλὰν ἐπὶ σεῖο καθιξεῖ.

---

Ἀποτρόπαιον] ὃν ἄξιον ἐστὶν ἀποτρέπεσθαι ἄγριον ὄντα καὶ ἀπηνῆ· ἴδε κατέρω ἐν τῷ Μόσχῳ Ἔρως δραπέτης Εἰδ. Ά. 3. Ἐσδόμενον] ἐζόμενον, κα-

## ΕΙΔΥΛΛΙΟΝ Β΄.

Παις ἰξευτὴς, ὄρνιθας θηρεύων, ὡς εἶδεν ἔντινι δρυμῶνι τὸν ἀποτρόπαιον Ἔρωτα ἐπὶ πύξου καθήμενον, ἔχαιρεν, ὅτι μέγα ὄρνεον αὐτῷ παρέστη· καὶ δὴ συνάψας τοὺς καλάμους πρὸς ἀλλήλους, μετεδίωκεν αὐτὸν, ἄλλον ἐξ ἄλλου παραμειβόμενον κλάδον· ἀνιαθεὶς δὲ, ἐφ' οἷς οὐκ ἐδύνατο συλλαβεῖν ἐκεῖνον, ῥίψας τοὺς καλάμους, ἦλθεν εἰς τὸν γεωργὸν, παρ' οὗ ἐτύγχανε μεμαθηκὼς τὴν τέχνην· καὶ μεμψιμοιρῶν, ἔδειξεν αὐτῷ τὸν ὄρνιν καθήμενον ἐπὶ τοῦ δένδρου· ὁ δὲ γέρων, ὑποκινήσας τὴν κεφαλὴν, εἶπεν αὐτῷ· Ἀπέχου, ὦ παῖ, τῆς θήρας ταύτης, φεῦγε τὴν πεῖραν πόῤῥω· μηδὲ πλησίον γένῃ· χαλεπὸν γὰρ τὸ θηρίον τοῦτο· καὶ μέχρις ἂν αὐτοῦ ἀποτυγχάνῃς, εὐτυχέστατος ἂν εἴης· ἐπειδὰν δὲ τάχιστα εἰς ἄνδρας ἔλθῃς, αὐτὸς οὗτος, ὃς νῦν φεύγει σε μεταναστεύων, αὐτόκλητος ἐλθὼν ἐξαίφνης, ἐπὶ τῆς σῆς καθεδεῖται κεφαλῆς.

---

θεζόμενον. 7. Ἀπάντη] ἀπήντα. 16. Καθιξεῖ] καθίζω, καθίξω, καὶ Δωρικῶς καθιξῶ.

# ΕΙΔΥΛΛΙΟΝ Γ΄.

Ἀ μεγάλα μοι Κύπρις ἔθ' ὑπνώοντι παρέστα,
Νηπίαχον τὸν Ἔρωνα καλᾶς ἐκ χειρὸς ἄγοισα,
Ἐς χθόνα νευστάζοντα· τόσον δέ μοι ἔφρασε μῦθον·
Μέλπειν μοι, φίλε βοῦτα, λαβὼν τὸν Ἔρωτα δίδασκε.
Ὣς λέγε· χ' ἁ μὲν ἀπῆνθεν, ἐγὼ δ', ὅσα βωκολίασδον,
Νήπιος, ὡς ἐθέλοντα μαθεῖν τὸν Ἔρωτα δίδασκον·
Ὡς εὗρεν πλαγίαυλον ὁ Πὰν, ὡς αὐλὸν Ἀθάνα,
Ὡς χέλυν Ἑρμάων, κίθαριν δ' ὡς ἁδὺς Ἀπόλλων.
Ταῦτά μιν ἐξεδίδασκον· ὁ δ' οὐκ ἐμπάζετο μύθων,
Ἀλλά μοι αὐτὸς ἄειδεν ἐρωτύλα, καί μ' ἐδίδασκε
Θνατῶν τ' ἀθανάτων τε πόθους, καὶ ματέρος ἔργα.
Κἠγὼν ἐκλαθόμαν μὲν ὅσων τὸν ἔρωτα δίδασκον,
Ὅσσα δ' ἔρως μ' ἐδίδαξεν ἐρωτύλα πάντ' ἐδιδάχθην.

---

3. Νευστάζοντα] ὡς εἴτις ὑπὸ οἴνου, ἢ ἀδυναμίᾳ ὡς οἱ γέροντες, μὴ δυνάμενοι ὀρθὴν φέρειν τὴν κεφαλὴν, ἐπικλίνουσι κάτω, ὡς καὶ οἱ ὑπονυστάζοντες. 5. Βωκολίασδον] ᾖδον, ἔμελπον βουκολικῶς. 7. Πλαγίαυλον] αὐλὸς μὲν ὁ ἄνωθεν ἀπὸ τῆς κορυφῆς ἐμφυσώμενος· πλαγίαυλος δὲ, ὁ ἐκ τοῦ πλαγίου καὶ λοξῶς. 8. Χέλυν] χελώνην εὑρὼν ὁ Ἑρμῆς, ἥρμοσεν ὄργανον μουσικὸν

## ΕΙΔΥΛΛΙΟΝ Γʹ.

Κυπρις παρέστη μοι ἐν ὕπνῳ ἔτι ὄντι, ἁβρᾷ χειρὶ τὸν ἔρωτα ἄγουσα νήπιον, καὶ τὴν κεφαλὴν πρὸς τὴν γῆν ἔχοντα κεκλιμένην· ἐλθοῦσα δὲ εἶπέ μοι μόνον τοῦτο· φίλε βουκόλε, λαβών μοι τὸν παῖδα τοῦτον, δίδαξον αὐτὸν μέλπειν· Ἡ μὲν ταῦτ' εἰποῦσα, ἀπῆλθεν· ἐγὼ δ' ὁ νήπιος, ἐδίδασκον τὸν Ἔρωτα, ὡς δῆθεν βουλόμενον μαθεῖν, πάνθ', ὅσα βουκόλῳ ἐξῆν εἰδέναι· ὡς ὁ μὲν Πὰν ἐξεῦρε πλαγίαυλον, αὐλὸν δ' ἡ Ἀθηνᾶ, Ἑρμῆς δὲ χελώνην, κιθάραν δὲ ὁ λιγύφωνος Ἀπόλλων· Ταῦτ' ἐδίδασκον ἐκεῖνον· ὁ δὲ κωφῷ ἀνδρὶ ἔοικε πρὸς ταῦτα· ἕτερα δ' ἄττα ἀνεβάλλετο μέλη ἐρωτικὰ, κἀμὲ πρόθυμος ἦν διδάσκειν· οἷον θνητῶν τε καὶ Ἀθανάτων ἔρωτας, καὶ τὰ μητρῷα ἔργα· Ἐκ δὴ τούτων οὐκ οἶδ' ὅπως αἴφνης, ἃ μὲν αὐτὸς ἐδίδασκον τὸν παῖδα, πάντων ἐπελαθόμην· ἅδε παρ' ἐκείνου ἤκουσα, ταῦτ' ἐκμαθὼν, φυλάττω.

---

ἐκ τοῦ ὀστράκου, ἐπώνυμον τοῦ ζώου, πῆχυν αὐτῷ συναρμόσας, καὶ μαγάδα ἐπιθεὶς, καὶ κόλλοπας στρεπτοὺς, κἀπὶ τούτοις ἐντείνας χορδάς· ἀναλογεῖ δὲ τῷ νῦν ἐφ' ἡμῶν ἐν χρήσει ὄντι, καὶ καλουμένῳ Τουρκιστὶ Ταμβούριον. 10. Ἐρωτύλα] ἐρωτικὰ ᾄσματα.

# ΕΙΔΥΛΛΙΟΝ Δ'.

ΤΑΙ Μοῖσαι τὸν Ἔρωτα τὸν ἄγριον οὐ φοβέονται,
Ἐκ θυμῶ δὲ φιλεῦντι, καὶ ἐκ ποδὸς αὐτῷ ἕπονται.
Κῆν μὲν ἄρα ψυχάν τις ἔχων ἀνέραστον ὀπηδῆ,
Τῆνον ὑπεκφεύγοντι, καὶ οὐκ ἐθέλοντι διδάσκειν·
Ἢν δὲ νόον τις Ἔρωτι δονεύμενος, ἁδὺ μελίσδῃ,
Ἐς τῆνον μάλα πᾶσαι ἐπειγόμεναι προρέοντι.
Μάρτυς ἐγὼν, ὅτι μῦθος ὅδ' ἔπλετο πᾶσιν ἀληθής·
Ἢν μὲν γὰρ βροτὸν, ἄλλον ἢ ἀθανάτων τινὰ μέλπω,
Βαμβαίνει μευ γλῶσσα, καὶ ὡς πάρος οὐκέτ' ἀείδει·
Ἢν δ' αὖτ' ἐς τὸν Ἔρωτα καὶ ἐς Λυκίδαν τι μελίσδω,
Καὶ τόκα μοι χαίροισα διὰ στόματος ῥέει ᾠδά.

---

5. Δονεύμενος Ἔρωτι.] ὡς εἰ ἔλεγεν, εἴτις ᾄδει μὲν τῇ γλώττῃ, τὸν δὲ νοῦν προσέχει τῷ Ἔρωτι, τούτῳ αἱ Μοῦσαι, ὡς φίλαι τοῦ Ἔρωτος, προχέουσιν ἄφθονον ὕλην ᾠδῆς· ἄλλως δὲ βομβαίνει καὶ ἀποναρκεῖ ἡ γλῶσσα, μὴ ἔχουσα ὅ,τι καὶ μέλψει. Το δὲ προρέοντι γράφεται καὶ προῤῥέοντι μᾶλ-

# ΕΙΔΥΛΛΙΟΝ Δ΄.

ΕΡΩΤΑ αἱ Μοῦσαι τὸν ἄγριον οὐ φοβοῦνται· φιλοῦσαι δὲ μάλιστα αὐτὸν ἐκ καρδίας, ἕπονται αὐτῷ παρὰ πόδας· καὶ ὃν μὲν ἂν αἴσθωνται ἀνέραστον ἔχοντα ψυχὴν, ἀποστρέφονται· καὶ ᾠδῆς τῆς ἑαυτῶν οὐδ᾽ ὁπωσοῦν πεποίηνται μέτοχον· ὃν δὲ τοὐναντίον ἂν ἴδωσιν ἐν τῷ ᾄδειν ῥεμβόμενον πρὸς τὸν Ἔρωτα, ἐς τοῦτον ἐσπευσμένως προχέονται· πιστοῦται δ᾽ ὁ λόγος, ἐξ ὧν ἐγὼ αὐτὸς πείρᾳ μεμάθηκα· ἢν μὲν γὰρ τῶν θνητῶν τινα, ἢ τῶν ἀθανάτων τιν᾽ ἄλλον τύχω μελῳδῶν, εὐθὺς δεσμοῦταί μοι ἡ γλῶσα ἀποναρκοῦσα, καὶ σολοίκως παρολισθαίνουσα, καὶ οὐκέθ᾽ ὁμοίως εὐτράπελος ἐς τὸ ὑπηρετεῖν ἀπαραπταίστως τῷ ῥυθμῷ καὶ τῷ μέλει· ἢν δ᾽ ἐς τὸν Ἔρωτα, ἢ ἐς τὸν Λυκίδαν προοιμιάσωμαι, τότε δὴ ἀθρόα ἡ ᾠδὴ περιχεῖται τοῖς χείλεσιν.

---

λον, ἤτοι Προῤῥέουσιν· ὁ δὲ Λυκίδας δῆλον, ὅτι βουκολικὸς καὶ αὐτὸς ἦν ποιητής.

## ΕΙΔΥΛΛΙΟΝ Ε'.

ΟΥΚ οἶδ', οὐδ' ἐπέοικεν, ἃ μὴ 'μάθομεν πονέεσθαι.
Εἴ μοι καλὰ πέλει τὰ μελύδρια, καὶ τάδε μοῦνα
Κῦδος ἐμοὶ θήσοντι, τά μοι πάρος ὤπασε Μοῖσα.
Εἰ δ' οὐχ ἁδέα ταῦτα, τί μοι πολὺ πλήονα μοχθεῖν;
Εἰ μὲν γὰρ βιότω διπλόον χρόνον ἄμμιν ἔδωκεν
Ἠ Κρονίδας, ἢ Μοῖρα πολύτροπος, ὥστ' ἀνύεσθαι
Τὸν μὲν ἐς εὐφροσύναν καὶ χάρματα, τὸν δ' ἐνὶ μόχθῳ,
Ἦν τάχα μοχθήσαντί ποθ' ὕστερον ἐσθλὰ δέχεσθαι.
Εἰ δὲ θεοὶ κατένευσαν ἕνα χρόνον ἐς βίον ἐλθεῖν
Ἀνθρώποις, καὶ τόνδε βραχὺν καὶ μήονα πάντων,
Ἐς πόσον, ἆ δειλοὶ, καμάτως κ' εἰς ἔργα πονεῦμες;
Ψυχὰν δ' ἄχρι τίνος ποτὶ κέρδεα καὶ ποτὶ τέχνας
Βάλλομες, ἱμείροντες ἀεὶ πολὺ πλήονος ὄλβω;
Λαθόμεθ' ἦ ἄρα πάντες, ὅτι θνατοὶ γενόμεσθα,
Χ' ὡς βραχὺν ἐκ Μοίρας λάχομεν χρόνον;— —

---

6. Ἀνύεσθαι] τοῦτ' ἔσχεν ἂν ἄμεινον, εἰ ἐγράφετο Ἀνίεσθαι· ἴσως δὲ ἡμάρτηται.

13. Πλήονος ὄλβω] κατὰ τῆς πλεονεξίας τὸ Εἰδύλλιον συντέτακται τοῦτο, ἠθικῶς ἐξελέγχον τοὺς μὴ τοῖς παροῦσιν ἐξαρκουμένους· οὐ μικρὸν δὲ τὸ μάθημα τοῦτο τοῖς εἰδόσι προσέχειν ἑαυτοῖς εἰς ἀρετῆς κτῆσιν, τὴν αὐτὴν

## ΕΙΔΥΛΛΙΟΝ Ε'.

Ουκ καλὸν, οὐδ᾽ εἰκὸς ἀμφὶ τοιαῦτ᾽ ἔχειν, ὧν ἂν μὴ πλουτῶμεν τὴν μάθησιν· εἰ γὰρ τὰ μελύδρια ταῦθ᾽, ἅμοι πάλαι παρὰ τῆς Μούσης δεδώρηται, καλά μοι εἴη, ταῦθ᾽ ἱκανόν μοι κλέος περιποιήσουσιν· εἰ δὲ ἀηδῆ καὶ παράμουσα, τί με δεῖ ματαιάζειν περὶ τὰ μείζω· εἰ μὲν γὰρ εἴτε Ζεὺς αὐτὸς, εἴθ᾽ ἡ πολύτροπος Μοῖρα, διπλοῦν ἡμῖν παρέσχε τὸν βίον, ὥστε τὸν μὲν ἐπίπονον καὶ στενὸν διανύσαι, τὸν δὲ ἀνειμένον καὶ ἁβροδίαιτον ἐν εὐφροσύναις καὶ θυμηδίαις, ἦν ἂν ἐν τῷ πρώτῳ πολλὰ παθόντας, ἐν τῷ δευτέρῳ ἀνέτως εὐδαιμονεῖν· νῦν δὲ ἡνίχ᾽ οἱ θεοὶ ἑνὶ χρόνῳ καὶ τούτῳ πάνυ βραχεῖ τὸν βίον ὡρίσαντο τοῖς ἀνθρώποις, μέχρι τίνος, ὦ νήπιοι, καμάτοις προσίσχομεν; μέχρι τίνος πρὸς τὸ κέρδος ἀεὶ σκοποῦντες, πόνοις κατακοπτόμεθα, ἀεὶ τοῦ πλείονος ὀρεγόμενοι; μῶν οὐκ ἴσμεν, ὅτι θνητοὶ γεγενήμεθα, καὶ βραχὺν χρόνον παρὰ τῆς Μοίρας λαχόντες τυγχάνομεν;

---

τοῖς εὐαγγελικοῖς παρέχον ἡμῖν νουθεσίαν· ζητεῖτε γὰρ φησὶ τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ ταῦτα πάντα προστεθήσεται ὑμῖν.

# ΕΙΔΥΛΛΙΟΝ ϛ΄.

## ΚΛΕΟΔΑΜΟΣ ΚΑΙ ΜΥΡΣΩΝ.

### ΚΛΕΟΔΑΜΟΣ.

Εἴαρος, ὦ Μύρσων, ἢ χείματος, ἢ φθινοπώρου,
Ἢ θέρεος, τί τοι ἁδύ; τί δὲ πλέον εὔχεαι ἐλθεῖν;
Ἢ θέρος, ἁνίκα πάντα τελείεται, ὅσσα μογεῦμες;
Ἢ γλυκερὸν φθινόπωρον, ὅτ᾽ ἀνδράσι λιμὸς ἐλαφρά;
Ἢ καὶ χεῖμα δύσεργον; ἐπεὶ καὶ χείματι πολλοὶ
Θαλπόμενοι θέλγονται ἀεργείῃ τε καὶ ὄκνῳ;
Ἤ τοι καλὸν ἔαρ πλέον εὔαδεν; εἰπὲ, τί τοι φρὴν
Αἱρεῖται; λαλέειν γὰρ ἐπέτραπεν ἁ σχολὰ ἄμμιν.

### ΜΥΡΣΩΝ.

Κρίνειν οὐκ ἐπέοικε θεήϊα ἔργα βροτοῖσι·
Πάντα γὰρ ἱερὰ ταῦτα καὶ ἁδέα· σεῦ δὲ ἕκατι
Ἐξερέω, Κλεόδαμε, τό μοι πέλεν ἅδιον ἄλλων.
Οὐκ ἐθέλω θέρος ἦμεν, ἐπεὶ τόκα μ᾽ ἅλιος ὀπτῇ.
Οὐκ ἐθέλω φθινόπωρον, ἐπεὶ νόσον ὥρια τίκτει.

---

1. Εἴαρος παραβεβιασμένον δοκεῖ εἶναι, εἰς Γενικὴν ἐνεχθὲν, δέον κατ᾽ Εὐθεῖαν. οὐδ᾽ εἰ ἐκλάβοιμεν τὸ ἡδὺ ἀντὶ τοῦ ἥδιον, οὐδ᾽ οὕτως ἔρρωται εἰς ἑτέραν ἔννοιαν μεταναστάν. 4. Λιμὸς ἐλαφρά] εἰς θυλικὸν ἐσχημάτισται· ἀλλὰ πῶς μετριώτερος ὁ λιμὸς ἐν φθινοπώρῳ; ἢ ὅτι κατ᾽ ἐκεῖνον τὸν χρόνον, συλλέγοντες οἱ ἄνθρωποι τοὺς καρποὺς, εὐποροῦσι τροφῆς. 13. Ὥρια]

## ΕΙΔΥΛΛΙΟΝ ϛ'.

### ΚΛΕΟΔΔΜΟΣ ΚΑΙ ΜΥΡΣΩΝ.

### ΚΛΕΟΔΑΜΟΣ.

ΔΕΡ' εἰπέ μοι, ὦ Μύρσων, τί ποτ' εὔχῃ μᾶλλον ἰδεῖν, ἔαρ, ἢ θέρος, ἢ φθινόπωρον, ἢ χειμῶνα; τίνι τούτων μᾶλλον ἐνασμενίζεις; μήτι τῷ θέρει χαίρεις, ἐν ᾧ πιαίνεται πάνθ', ὅσα γεωργῶν ἐστιν ἔργα; ἢ ἀγαπᾷς φθινοπώρῳ, ἡνίκα ἄνθρωποι ἧττον πιέζονται λιμῷ; ἢ ὁ ἄαργος χειμὼν τέρπεισε μᾶλλον, ᾗ καὶ ἐν χειμῶνι ἔστιν οἳ, θαλπόμενοι περὶ τὴν ἑστίαν, ἀναπαύανται ἐν ἀεργίᾳ καὶ ὄκνῳ; ἀλλὰ μὴ τὸ ἔαρ πλέον πάντων ἀρέσκεισε; λέγε, τί ποτε τούτων εὐφραίνεισε πλέον; ἡ γὰρ σχολὴ, πολλή γε οὖσα, ἐν πολλῇ ἀδείᾳ ἐπιτρέπει ἡμῖν διαλέγεσθαι.

### ΜΥΡΣΩΝ.

Οὐθέμις μὲν, ὦ Κλεόδημε, θνητοῖς οὖσι περὶ τῶν θείων ἔργων ἀποφαίνεσθαι γνώμην· πάντα γὰρ ταῦθ' ἱερά ἐστι καὶ ἡδέα· σοῦ δ' ὅμως ἕνεκα (τί γὰρ ἂν καὶ πάθοι τις, ὁπότε φίλος τις ὢν βιάζοιτο;) ἐρῶ, ὅ μοι ἥδιον τῶν ἄλλων δοκεῖ· Οὐκ ἂν βουλοίμην θέρος ἐλθεῖν, εἴγε τόθ' ἡ ἀκτὶς τοῦ ἡλίου φλογωδεςέρα ἑαυτῆς οὖσα, ἰσχυρότερον προσβάλλει τοῖς σώμασιν· οὔτε φθινόπωρον εἶναι· τότε γὰρ τὰ

---

τὰ ὡραῖα τρωκτά, οἱ καρποί· παρὰ τὸ ὥρα, καθ' ἣν ὡραῖα καὶ ὥριμα

Οὖλον χεῖμα φέρειν. νιφετὸν κρυμούς τε φοβεῦμαι.
Εἶαρ ἐμοὶ τριπόθατον, ὅλῳ λυκάβαντι παρείη,
Ἀνίκα μήτε κρύος, μήθ' ἅλιος ἄμμε βαρύνει.
Εἴαρι πάντα κύει, πάντ εἴαρος ἁδέα βλαστεῖ,
Χ' ἁ νὺξ ἀνθρώποισιν ἴσα, καὶ ὁμοίϊος ἀώς.

---

## ΕΙΣ ΥΑΚΙΝΘΟΝ.

### Ζ΄.

ΑΜΦΑΣΙΑ τὸν Φοῖβον ἕλεν τόσον ἄλγος ἔχοντα·
Δίζετο φάρμακα πάντα, σοφὰν δ' ἐπεμαίετο τέχναν.
Χρῖεν δ' ἀμβροσίῃ καὶ νέκταρι, χρῖεν ἅπασαν
Ὠτειλάν· Μοίραισι δ' ἀναλθέα φάρμακα πάντα.

---

### Η.

ΟΛΒΙΟΙ οἱ φιλέοντες, ἐπὴν ἴσον ἀντεράωνται.
Ὄλβιος ἦν Θασεύς, τῶ Πειριθόω παρεόντος,

---

ταῦτα λέγονται. 14. Οὖλον] σχέτλιον, χαλεπὸν, φθοροποιόν. 15. Λυκάβαντι] διὰ παντὸς τοῦ ἐνιαυτοῦ εἶεν ἂν ἔαρ ἁπλοῦν, κἀντεῦθεν πᾶς ὁ αἰών.

1. Ἄλγος] ἐπὶ τῷ Ὑακίνθῳ ἀποθανόντι· ἦν δὲ ὁ Ὑάκινθος υἱὸς τοῦ Ἀμύκλα καὶ τῆς Διομήδης, κάλλει ὑπερβάλλων πάντας ἀνθρώπους, ἀγαπώμενος ὑπ' Ἀπόλλωνος καὶ Ζεφύρου, ἢ κατ' ἄλλους ὑπὸ τοῦ Βορέως· ὑφ' οὗ κατά τινα περίστασιν ἐφονεύθη· ὅπερ πένθος μέγα ἐνεποίησε τῷ Ἀπόλλωνι.

2. Πειριθόω] Πειρίθοος Πειρίθους, υἱὸς Ἰξίονος καὶ τῆς Δίας ἐκ Λαρίσσης τῆς Θετταλίας βασιλεὺς τῶν Λαπίθων, Ἥρως καὶ αὐτὸς τῆς τῶν Ἑλλήνων

ὡραῖα τρωκτὰ πολλὰ ἐντίκτει νοσήματα· νηφετοὺς δ' αὖθις καὶ κρυμοὺς ἐν ὥρᾳ χειμῶνος φέρειν ἀποτροπιάζομαι ὅλως· εἴη μοι δ' οὖν πᾶς ὁ αἰὼν ἔαρ ἓν ἀντὶ πάντων γλυκερὸν καὶ τριπόθητον, ἡνίκα μήτε κρύος πιέζει, μήθ' ἥλιος τοῖς καύμασιν ἡμῖν ἐνοχλεῖ· ἐν τούτῳ γὰρ πάντ' ἐγκυμονεῖ, πάντα ἐν ἦρι βλαστάνει· ὁπότε καὶ ἡ νὺξ καὶ ἡμέρα ἀπὸ τοῦ ἴσου τὸν τοῦ ἡλίου μερίζονται δρόμον.

---

## *ΕΙΣ ΥΑΚΙΝΘΟΝ.*

### Ζ΄.

ΑΜΦΑΣΙΑ δεινὴ κατέσχεν Ἀπόλλωνα, μέγα ἄλγος ἐφ' Υακίνθῳ τῷ φίλῳ φέροντα· φάρμακα δὲ ζητεῖ πανταχοῦ, καὶ τέχνην σοφήν· ἔχρισε δὲ πάντα τὰ τραύματα ἀμβροσίᾳ καὶ νέκταρι, ἀλλὰ μάτην· πυρὰ γὰρ ταῖς Μοίραις πᾶν φάρμακον ἀξυντελές ἐστι καὶ ἀνόνητον.

---

### Η΄.

ΕΥΔΑΙΜΟΝΕΣ εἰσιν οἱ φιλοῦντες, ἐπειδὴ ἀντιφιλοῦνται παρὰ τῶν ποθουμένων· εὐδαίμων ἦν Θησεὺς, φίλον τὸν Πει-

---

ἀρχαιότητος· ἐν δὲ τῷ γάμῳ αὐτοῦ συνέβη ἡ μάχη τῶν Λαπίθων κατὰ τῶν ἐξυβρισάντων Κενταύρων· φίλος δ' ὢν πιστὸς τῷ Θησεῖ συνέπραξεν αὐτῷ εἰς τὴν ἁρπαγὴν τῆς Ἑλένης, παρθένου ἔτι οὔσης· ὁ δὲ Θησεὺς ἀμειβόμενος αὐτὸν τῷ αὐτῷ, συγκατέβη εἰς τὸν Ἅδην συναρπάσων Πειριθόῳ τὴν Περσεφόνην· ἀλλὰ συλληφθεὶς ἐδεσμεύθη· εἶτα καταβὰς ὁ Ἡρακλῆς ἐξήγα-

Εἰ καὶ ἀμειλίκτοιο κατήλυθεν εἰς Ἀΐδαο.
Ὄλβιος ἦν χαλεποῖσιν ἐν Ἀξείνοισιν Ὀρέστας,
Οὕνεκά οἱ ξυνὰς Πυλάδας ἤρητο κελεύθους.
Ἦν μάκαρ Αἰακίδας, ἑτάρω ζώοντος, Ἀχιλλεὺς,
Ὄλβιος ἦν θνάσκων, ὅτι οἱ μόρον αἰνὸν ἄμυνεν.

---

## Θ΄.

Ου καλὸν, ὦ φίλε, πάντα λόγον ποτὶ τέκτονα φοιτῆν,
Μηδ' ἐπὶ πάντ' ἄλλω χρέος ἰσχέμεν· ἀλλὰ καὶ αὐτὸς
Τεχνᾶσθαι σύριγγα· πέλει δέ τοι εὐμαρὲς ἔργον.

---

## Ι΄.

ΜΟΙΣΑΣ Ἔρως καλέοι, Μοῖσαι τὸν Ἔρωτα φέροιεν.
Μολπὰν ταὶ Μοῖσαί μοι ἀεὶ ποθέοντι διδοῖεν,
Τὰν γλυκερὰν μολπὰν, τᾶς φάρμακον ἅδιον οὐδέν.

---

γεν· ὡς Εὐριπίδης ἐν τῷ Ἡρακλῆς Μαινόμενος. 4. Ἀξείνοισι] Ἄξεινοι οἱ Ταῦροι, ὅπου Ὀρέστης καὶ Πυλάδης ἐλθόντες, ἥρπασαν τὸ ἄγαλμα τῆς Ἀρτέμιδος καὶ τὴν ἱέρειαν Ἰφιγένειαν. Εὐρ. Ἰφ. Ταύροις. 6. Ἑτάρω] τοῦ Πατρόκλου· οὗ τὸν αἰνὸν μόρον ἄμυνεν· οὗ τῷ θανάτῳ τιμωρὸς ἐγένετο· ὁ γὰρ Ἀχιλλεὺς εἰς οὐδὲν τὸν ἑαυτοῦ ἐλογίζετο θάνατον πρὸς τὸ δίκην λαβεῖν παρὰ τοῦ Ἕκτορος ὑπὲρ τοῦ Πατρόκλου.

1. Τέκτονα] πρὸς φίλον ὁ λόγος προσφοιτήσαντα εἰς τεχνίτην συριγγοπήκτην ἐπισκευάσοντα τὴν ἑαυτοῦ σύριγγα· ἐξελέγχει δ' αὐτὸν, ὅτι οὐκ αὐτὸς ἐπιτεχνᾶται τοῦτο.

ρίθρον κεκτημένος· ὃς καὶ ἐς Ἅδην αὐτὸν τὸν ἀμείλικτον ὑπὲρ ἐκείνου κατῆλθεν· εὐδαίμων δὲ ἦν ἐν Σκύθαις τοῖς ξενηλάταις Ὀρέστης, ἐπαγόμενος πανταχοῦ Πυλάδην ἑκόντα, ἦν δὲ εὐδαίμων καὶ Ἀχιλλεὺς, περιόντος ἔτι Πατρόκλου· εὐδαίμων δὲ καὶ ἀποθνήσκων, ὅτι τιμωρὸς αὐτῷ τοῦ θανάτου ἐγένετο.

---

## Θ΄.

ΟΥ δεῖσε, ὦ φίλος, ἐπὶ πάσῃ αἰτίᾳ καταφεύγειν ἐς τὸν τεχνίτην· μήτε ἐπὶ παντὶ ἔργῳ ἑτέρου δεῖσθαι· ἀλλὰ καὶ αὐτὸς ὀφείλεις κατασκευάζεσθαι σύριγγα· οὐ γὰρ χαλεπὸν ἔργον τοῦτο.

---

## Ι.

Ο μὲν Ἔρως καλοίη τὰς Μούσας· αἱ δὲ Μοῦσαι οὐκ ἀλλοτρίως ἔχοιεν πρὸς τὸν Ἔρωτα· ἐμοὶ δὲ γλιχομένῳ ᾠδὴν διδοῖεν αἱ Μοῦσαι, τὴν γλυκερὰν ᾠδήν· ἧς ἥδιον φάρμακον οὐδέν ἐστιν ἀνθρώποις

---

1. Μούσας] τὴν αὐτὴν ἔννοιαν ἔχει τοῦτο τῷ ἀνωτέρῳ Εἰδυλλίῳ τετάρτῳ· ὅτι αἱ Μοῦσαι φιλοῦσι τὸν Ἔρωτα, καὶ διὰ τοῦτο τοῖς ἐρῶσι παρέχουσι μολπήν. 3. Τῆς φάρμακον ἥδιον οὐδέν] φάρμακον λύπης οὐδὲν ἥδιον τῆς μολπῆς.

---

## ΙΑ΄.

Εκ θαμινῆς ῥαθάμιγγος, ὅκως λόγος, αἰὲν ἰοίσας
χ᾽ ἁ λίθος ἐς ῥωγμὸν κοιλαίνεται. . . . .

---

## ΙΒ΄.

Αὐταρ ἐγὼν βασεῦμαι ἐμὰν ὁδὸν, ἐς τὸ κάταντες
Τῆνο, ποτὶ ψάμαθόν τε καὶ ἠϊόνα ψιθυρίσδων,
Αἰσσόμενος Γαλάτειαν ἀπηνέα· τὰς δὲ γλυκείας
Ἐλπίδας ὑστατίω μέχρι γήραος οὐκ ἀπολείψω.

---

## ΙΓ΄.

Μηδε λίπῃς μ᾽ ἀγέραστον, ἐπεὶ χὠ Φοῖβος ἀείδειν
Μισθὸν ἔδωκε· τιμὰ δὲ τὰ πράγματα κρέσσονα ποιεῖ.

---

## ΙΔ΄.

Μορφα θηλυτέρῃσι πέλει καλὸν, ἀνέρι δ᾽ ἀλκά.

---

1. ὅκως λόγος] ὡς λέγεται· παροιμιῶδες γὰρ τοῦτο· ὅτι δὲ τοῦτο κεκολόβωται ἐκ τοῦ χρόνου δῆλον.

4. Γαλάτεια] θυγάτηρ Νηρέως καὶ Δωρίδος, ἐρασθεῖσα Ἄκιδος τοῦ ποιμένος, οὐκ ἐνέδωκε τῷ σφοδρῷ τοῦ Κύκλωπος ἔρωτι, ἀλλ᾽ ἀποθανόντα τὸν Ἄκιδα κλαίουσα, ἐποίησεν ποταμὸν ὁμώνυμον ἐν Σικελίᾳ τὸν Ἄκιδα τοῖς ἑαυτῆς δακρύοις· ὡς ἀπὸ τοῦ Κύκλωπος ἄρα ὁ λόγος οὗτος.

## ΙΆ.

Εκ συνεχοῦς, φασὶ, σταγῶνος, ἐνδελεχῶς καταπιπτούσης, κοιλαίνεται καὶ ἡ λίθος.

---

## ΙΒ́.

Εγω μὲν κάτειμι ψιθυρίζων, τὴν ἐμαυτοῦ ὁδὸν πορευόμενος πρὸς τὸ χωρίον ἐκεῖνο παρὰ τὴν ψάμμον καὶ τὴν ἠϊόνα, τῆς ἀμειλίκτου καὶ ἀπηνοῦς δεησόμενος Γαλατείας· οὐ γὰρ ἀπολείψω τὰς χρηστάς γε ἐλπίδας, κἂν ἐς ἔσχατον γήρως ἐλάσω.

---

## ΙΓ́.

Αγεραστον μηδέποτέ με τῆς οἰκίας ἀπόπεμπε· καὶ γὰρ ὁ Ἀπόλλων δέδωκε μισθὸν τῆς ᾠδῆς· τὰ δὲ πράγματα οὕτω τιμώμενα, βελτιοῦται.

---

## ΙΔ́.

Γυναιξι μὲν μορφὴ διαπρέπει· ἀνδράσι δὲ κόσμος ἐστιν ἀνδρία.

---

1. Ἀγέραστον] ᾠδὴν, ὡς ἔοικεν, μέλψας τῳ. γέρας οὐκ ἔλαβεν· οὐκοῦν αἰτεῖ, ἐπειδὴ καὶ ὁ Φοῖβος ἔδωκέ τῳ ποτὲ μισθὸν ἀοιδῆς.

---

ΙΕ΄.

# ΕΠΙΘΑΛΑΜΙΟΣ

## *ΑΧΙΛΛΕΩΣ ΚΑΙ ΔΗΙΔΑΜΙΑΣ.*

---

ΜΥΡΣΩΝ, ΛΥΚΙΔΑΣ.

ΜΥΡΣΩΝ.

Λῇς νύ τί μοι, Λυκίδα, Σικελὸν μέλος ἁδὺ λιγαίνειν,
Ἱμερόεν, γλυκύθυμον, ἐρωτικὸν, οἷον ὁ Κύκλωψ
Ἄεισεν Πολύφαμος ἐπ' ἠϊόνι Γαλατείᾳ,

ΛΥΚΙΔΑΣ.

Κῆν μοι συρίσδεν, Μύρσων, φίλον, ἀλλὰ τί μέλψω;

ΜΥΡΣΩΝ.

Σκύριον, ὦ Λυκίδα, ζαλῶ μέλος ἁδὺν Ἔρωτα,
Λάθρια Πηλείδαο φιλάματα, λάθριον εὐνάν.
Πῶς παῖς ἕσσατο φᾶρος, ὅπως δ' ἐψεύσατο μορφάν,
Χ' ὅπως ἐν κώραις Λυκομηδίσιν ἀπαλέγοισα
Ανδήνη τ' ἄπαστον Ἀχιλλέα Δηϊδάμεια.

---

3. Γαλατείᾳ] ἴδε ἀνωτέρω Εἰδ. ιϐ΄. 4. Κῆν μοι] καὶ ἤν φίλον συρίσαι, ἀλλὰ τίποτε βούλει μέλψαι σοι, τοῦτο λέγε. 5. Σκύριον] ἐκ τῆς Σκύρου, Ἀχιλλεὺς, ἵνα μὴ συνεκστρατεύσῃ τοῖς Ἕλλησιν ἐπὶ Τροίαν, ὅπου κατά τινα χρησμὸν τῆς Μητρὸς, ὡς ἔλεγεν αὐτὴ, ὅτι ὠκύμορον ἔτεκεν, ἐθαλαμεύετο ἐν Σκύρῳ μετὰ τῶν θυγατέρων τοῦ Λυκομήδους, ὡς παρθένος καὶ αὐτὸς θηλυνόμενος· εἶθ' οὕτω συνελθὼν τῇ Δηϊδαμείᾳ, ἐγέννησε Νεοπτόλεμον οἱ.

## ΙΕ΄.

# ΕΠΙΘΑΛΑΜΙΟΣ

## *ΑΧΙΛΛΕΩΣ ΚΑΙ ΔΗΙΔΑΜΙΑΣ.*

ΜΥΡΣΩΝ ΛΥΚΙΔΑΣ

ΜΥΡΡΩΝ.

Βούλει, ὦ Λυκίδα, ἀνακρούσασθαί μοι μέλος τι Σικελικὸν, χαρίεν, ἡδὺ, ἐρωτικὸν, γλυκύθυμον, οἷον Κύκλωψ ὁ Πολύφημος ᾖσέ ποτε ἐπὶ τῆς Ἠϊόνος τῇ Γαλατείᾳ;

ΛΥΚΙΔΑΣ.

Τοῦτο κᾀμοὶ φίλον ἦν, ὦ Μύρσων, συρίσαι, ἀλλὰ τί ποθ' ἡδομένῳ σοί ἐστιν ᾄδοντος ἐμοῦ ἀκοῦσαι;

ΜΥΡΣΩΝ.

Τὸν ἐκ τῆς Σκύρου ἔρωτα, ὦ Λυκίδα, τὰ τοῦ Ἀχιλλέως, φημὶ, λαθραῖα φιλήματα, καὶ τὸ σκότιον λέκτρον· ὅπως τε παῖς ὢν, πέπλον περιέκειτο γυναικεῖον, τὸ εἶδος ψευσάμενος, καὶ ὅπως ἡ Δηϊδάμεια ἐν ταῖς ἄλλαις ἀδελφαῖς φυλαττομένη, συνῆλθεν ἐκείνῳ.

---

6. ὁμάζεται ἀλλ' οὖν ὁ μῦθος τῇ χρονολογίᾳ· ἐν γὰρ δέκα ἔτεσιν ὁ αὐτὸς καὶ παῖς, καὶ ἀνὴρ, καὶ ἥρως, καὶ ὁ υἱὸς αὐτοῦ ὁμοίως συνεξελὼν Τροίαν τῷ Φιλοκτήτῃ. 9. Ἀηδήνη τ' ἀπαστὸν] τὰ ὀνόματα ταῦτ' οὐκ ἠδυνάμην εὑρεῖν, οὐδὲ κατανοῆσαι, οὐδὲ δευτέρας εὐπορῶν Ἐκδόσεως· ὁμοίως δὲ καὶ κατωτέρω (στίχ. 14) τὸ, Δισσὶν ἀνὰν Ἄρνα, ζητείτωσαν οὖν οἱ πλουτοῦντες βι-

## ΛΥΚΙΔΑΣ

Ἅρπασε τὰν Ἑλέναν πόθ' ὁ βωκόλος, ἄγε δ' ἐς Ἴδαν,
Οἰνώνῃ κακὸν ἄλγος· ἐχώσατο δ' ἁ Λακεδαίμων,
Πάντα δὲ λαὸν ἄγειρεν Ἀχαϊκόν· οὐδέ τις Ἕλλην,
Οὔτε Μυκηναίων, οὔτ' Ἤλιδος, οὔτε Λακώνων
Μεῖνεν ἑὸν κατὰ δῶμα, φέρων δισσὶν ἀνὰν ἄρνα.
Λάνθανε δ' ἐν κώραις Λυκομηδίσι μοῦνος Ἀχιλλεὺς,
Εἴρια δ' ἀνθ' ὅπλων ἐδιδάσκετο, καὶ χερὶ λευκᾷ
Παρθενικὸν κόπον εἶχεν· ἐφαίνετο δ' ἤυτε κώρα·
Καὶ γὰρ ἴσον τήναις θηλύνετο, καὶ τόσον ἄνθος
Χιονέαις πόρφυρε παρειῆς· καὶ τὸ βάδισμα
Παρθενικῆς ἐβάδιζε, κόμας δ' ἐπύκαζε καλύπτρῃ·
Θυμὸν δ' Ἄρεος εἶχε, καὶ ἀνέρος εἶχεν ἔρωτα,
Ἐξ ἀοῦς δ' ἐπὶ νύκτα παρίζετο Δηϊδαμείᾳ·
Καὶ ποτὲ μὲν κείνας ἐφίλει χέρα, πολλάκι δ' αὐτᾶς
Στόμ' ἀνὰ καλὸν ἄειρε, τὰ δ' ἀδέα δάκρυ' ἐπῄνει.
Ἤσθιε δ' οὐκ ἄλλᾳ σὺν ὁμάλικι· πάντα δ' ἐποίει
Σπεύδων κοινὸν ἐς ὕπνον· ἔλεξέ νυ καὶ λόγον αὐτᾷ·
Ἄλλαι μὲν κνώσσουσι σὺν ἀλλήλαισιν ἀδελφαὶ,
Αὐτὰρ ἐγὼ μούνα μίμνω, σὺ δὲ νύμφα καθεύδεις,
Αἱ δύο παρθενικαὶ, συνομάλικες, αἱ δύο καλαί.
Ἀλλὰ μόναι κατὰ λέκτρα καθεύδομες· ἁ δὲ πονηρὰ
Νύσσα γὰρ δολία με κακῶς ἀπὸ σεῖο μερίσδει.
Οὐ γὰρ ἐγὼ σέο.......

---

Βίων. 11. Οἰνώνῃ] ἡ πρὸ τῆς Ἑλένης γυνὴ τοῦ Πάριδος. 24. Στόμα ἀνὰ καλὸν ἄειρε] ἀνάειρεν, ἐπῄνει. 31. Νύσσα] ξύλον ἐγκαρσίως τεθειμένον ἐν τῷ σταδίῳ ἀπεῖργον τοὺς σταδιοδρομήσοντας, μέχρις οὗ ὀρθωθὲν, ἐπιτρέψῃ.

ΛΥΚΙΔΑΣ.

Καιμὴν οἶσθ', ὅπως ὁ Πάρις, ἀναρπάτας τὴν Ἑλένην, ἤγαγεν αὐτὴν εἰς Τροίαν, μέγ' ἄλγος φέρουσαν τῇ Οἰνώνῃ· Ἐπὶ τούτοις οὖν ὀργισθεῖσα ἡ Λακεδαίμων, διήγειρε πᾶσαν τὴν Ἀχαΐαν· ὥστ' οὐδεὶς τῶν Ἑλλήνων, οὐ Μυκηναῖος, οὐκ Ἠλεῖος, οὐ Λάκων, φέρειν ὅπλα δυνάμενος, ἔμεινε κατὰ χώραν· μόνος δ' Ἀχιλλεύς, συνδιητᾶτο λαθὼν ἐν Σκύρῳ ταῖς τοῦ Λυκομήδου θυγατράσιν, ἔνθα ἀντὶ τῶν ὅπλων ἐδιδάσκετο ἐργάζεσθαι ἔρια, καὶ χειρὶ λευκῇ πόνον παρθενικὸν, παρθενικὴν μορφὴν ἔχων, ἐπειρᾶτο ἐπιτηδεύειν. ὁμοίως γὰρ ἐκείναις ἐτύγχανε διαπρέπων λευκότητι, καὶ τὴν αὐτὴν διεπλάττετο δίαιταν, βάδισμά τε παρθενικὸν ἀνθαιρούμενος, καὶ τὴν κόμην καλύπτρᾳ περιστεγάζων· τὴν δὲ ψυχὴν ἄλλως ἐμαίνετο ἐπὶ μάχας, καὶ ἀῤῥενικῷ ἐτήκετο ἔρωτι· Ἐντεῦθεν δ' ἀπὸ διαγελώσης ἅμα ἡμέρας ἐς ἑσπέραν τῇ Δηϊδαμείᾳ παρεκαθέζετο, πολλάκις μὲν τὴν ἐκείνης χεῖρα καταφιλῶν, καὶ τὸ καλὸν αὐτῆς στόμα θαυμάζων, καὶ τῶν δακρύων ἐπαινῶν τὰ ἡδέα· τῶν δ' ἄλλων οὐδεμιᾷ ἤθελε συνεσθίειν· καὶ πάντα ἔπραττεν, ὅπως σύνευνον αὐτὴν προσλαβὼν, καθευδήσει, ὑπειπών ποτ' ἐκεῖνα· ἐγὼ καὶ σὺ μόναι καθεύδομεν· καί τοι ἄμφω μὲν καλαὶ, ἄμφω δὲ παρθένοι καὶ συνομήλικες, ἀλλὰ ταῖς εὐναῖς διεξεύχθημεν· ἡ γὰρ κακὴ κακῶς ἀπολουμένη νύσσα ἀπείργει με ἀπὸ σοῦ, ἐγὼ δ' οὐκ ἄνσου.....

---

αὐτοῖς τὸν δρόμον, τοιοῦτό τι ἔοικεν ἔχειν καὶ ἡ εὐνὴ ἐπιτείχισμα πρὸς τὴν πλησίον, ἵν' ᾖ αὐταῖς τὸ πρᾶγμα ὡς ἐν μεταιχμίῳ. Ἔοικε δὲ καὶ τοῦτο τὸ Εἰδύλλιον ἀτελὲς εἶναι.

## ΙϚ'.

ΕΣΠΕΡΕ, τᾶς ἐρατᾶς χρύσεον φάος Ἀφρογενείας,
Ἕσπερε, κυανέας ἱερὸν, φίλε, νυκτὸς ἄγαλμα,
Τόσσον ἀφαυρότερος μήνας, ὅσον ἔξοχος ἄστρων,
Χαῖρε, φίλος· καί μοι ποτὶ ποιμένα κῶμον ἄγοντι
Ἀντὶ σελαναίας τὺ δίδου φάος, ὤνεκα τήνα,
Σάμερον ἀρχομένα, τάχιον δύεν. οὐκ ἐπὶ φωρὰν
Ἔρχομαι, οὐδ' ἵνα νυκτὸς ὁδοιπορέοντ' ἐνοχλήσω·
Ἀλλ' ἐράω· καλὸν δέ τ' ἐρασσαμένῳ συνέρασθαι.

---

## ΙΖ'.

ΑΜΕΡΕ Κυπρογένεια, Διὸς τέκος ἠδὲ θαλάσσας,
Τίπτε τόσον θνατοῖσι καὶ ἀθανάτοισι χαλέπτεις;
Τυτθὸν ἔφαν· τί νυ τόσσον ἀπέχθεο, καὶ τί νυ αὐτὰ
Ταλίκον ὡς πάντεσσι κακὸν τὸν Ἔρωτα τέκηαι,
Ἄγριον, ἄστοργον, μορφᾷ νόον οὐδὲν ὅμοιον;
Ἐς τί δέ νιν πτανὸν καὶ ἑκαβόλον ὤπασας ἄμμιν,
Ὡς μὴ πικρὸν ἐόντα δυναίμεθα τῆνον ἀλύξαι;

---

1. Ἀφρογενείας] τῆς ἐκ τοῦ ἀφροῦ τῆς θαλάσσης γεννηθείσης Ἀφροδίτης· 2. Ἄγαλμα] ἀγλάϊσμα, ἀγαλλίαμα, χάρμα μέγα καὶ σέμνωμα· ἱερὸς γὰρ τῇ θεῷ ὁ πλανήτης οὗτος· διὸ καὶ ἐπώνυμος. 4. Ἐπὶ ποιμένα] εἰς φίλον τινὰ ποιμένα, ἢ καὶ ἐρώμενον· οὐ γὰρ ἂν εἴποιμ' τὸ, Ποιμένα, ἐπὶ θηλυκοῦ ἐκλελῆφθαι ὀνόματος. 8. Ἐρασσαμένῳ συνέρασθαι] πότερον περὶ ἑαυτοῦ λέγει τοῦτο, ἢ καλεῖ καὶ τὸν Ἕσπερον; τοῦτο δοκεῖ συνεργὸν αὐτὸν διὰ τοῦ φωτός·

## ΙϚʹ.

Ω Ἕσπερε, χρυσοῦν φῶς τῆς ἐρασμίου Ἀφρογενείας· Ἕσπερε φίλτατε, τῆς μελανείμονος νυκτὸς ἱερὸν ἄγαλμα, τοσοῦτον σελήνης ἀμαυρότερος, ὅσον μᾶλλον διαπρέπεις ἐν ἄστρασι, χαῖρε, ὦ φίλος· καί μοι νῦν κωμάζοντι πρὸς ποιμένα σὺ δίδου φῶς ἀντὶ τῆς σελήνης· ἐκείνη γὰρ, τήμερον ἀρξαμένη, ἐπηκολούθησεν εὐθὺς τῇ τοῦ ἡλίου δύσει· καὶ γὰρ οὔτ' ἐπὶ κλοπὴν ἔρχομαι, οὔθ' ὁδοιπόρον τινὰ ἐν νυκτὶ διαπορευόμενον βλάψων· ἀλλ' ἔρως ἑλὼν, ἄγει πρὸς ταῦτα· καλὸν δὲ καὶ συνερᾷν ἐρῶντι.

## ΙΖʹ.

ΗΜΕΡΕ Κυπρογένεια, τέκνον φίλον Διὸς καὶ θαλάσσης, τίποτε παθοῦσα, θνητούς τε καὶ ἀθανάτους οὕτω καταπιέζεις· ἢ μᾶλλον εἰπεῖν, τὶ τοσοῦτον ἀπεχθομένη αὐτοῖς, τηλικοῦτον κακὸν πᾶσι τὸν Ἔρωτα ἔτεκες, ἄγριον, καὶ ἀμείλικτον πάμπαν, καὶ πρὸς τὴν γνώμην διάφορον ὅλως ἔχοντα τὴν μορφήν; πρὸς τί, πτέρυγας αὐτῷ περιθεῖσα, πτηνὸν καὶ ἐκηβόλον αὐτὸν ἡμῖν ἐπαφῆκες, ὥστε, τοιούτου ὄντος, μὴ δύνασθαι ἡμᾶς διαφυγεῖν αὐτοῦ τὰ βέλη;

---

κελεύων αὐτῷ γενέσθαι.

3. Τυτθὸν ἔφαν] τὸ Ἔφαν ἐστὶν ἔφησαν· εἰ δὲ ἐκλάβοιμεν ἑνικῶς Ἔφην, εἴη ἂν τοῦτο Ἐπιδιορθώσεως σχῆμα· ὡς εἰ ἔλεγε, μικρὸν τοῦτο εἶπον, ἵνα οὖν μᾶλλον εἴπω, τί κτλ. οὐ πάνυ δ' οὖν πείθομαι τούτοις.

# ΜΟΣΧΟΥ

ΤΟΥ ΣΥΡΑΚΟΥΣΙΟΥ,

# ΕΙΔΥΛΛΙΑ.

Εἰ μὲν οὖν ἐςί τις οἰκειότης πρὸς ἀλλήλους τοῖς λόγοις, προὔργου ἂν ἡμῖν αὐτῶν ἡ γνῶσις γένοιτο· εἰδὲ μὴ, ἀλλά τό γε παράλληλα θέντας, καταμαθεῖν τὸ διάφορον, οὐ μικρὸν εἰς βεβαίωσιν τοῦ βελτίονος. Βασίλειος.

# ΕΡΩΣ ΔΡΑΠΕΤΗΣ.

## *ΕΙΔΥΛΛΙΟΝ Α΄.*

Α Κύπρις τὸν Ἔρωτα τὸν υἱέα μακρὸν ἐβώστρει·
Εἴ τις ἐνὶ τριόδοισι πλανώμενον εἶδεν Ἔρωτα,
Δραπετίδας ἐμός ἐστιν· ὁ μανυτὰς γέρας ἑξεῖ.
Μισθός τοι τὸ φίλαμα τὸ Κύπριδος· ἢν δ᾽ ἀγάγῃς νιν,
Οὐ γυμνὸν τὸ φίλαμα, τὺ δ᾽, ὦ ξένε, καὶ πλέον ἑξεῖς.
Ἔστι δ᾽ ὁ παῖς περίσαμος· ἐν εἴκοσι πᾶσι μάθοις νιν.
Χρῶτα μὲν οὐ λευκός, πυρὶ δ᾽ εἴκελος· ὄμματα δ᾽ αὐτῷ
Δριμύλα καὶ φλογόεντα· κακαὶ φρένες, ἁδὺ λάλημα·
Οὐ γὰρ ἴσον νοέει καὶ φθέγγεται· ὡς μέλι φωνά·
Ἢν δὲ χολᾷ, νόος ἐστὶν ἀνάμερος· ἠπεροπευτάς,
Οὐδὲν ἀλαθεύων, δόλιον βρέφος, ἄγρια παίσδει.
Εὐπλόκαμον τὸ κάρανον, ἔχει δ᾽ ἰταμὸν τὸ πρόσωπον.
Μικκύλα μὲν τήνῳ τὰ χερύδρια, μακρὰ δὲ βάλλει,

---

1. Ἐβώστρει] μεγαλοφώνως ἐκάλει. 7. Χρῶτα οὐ λευκὸς] ἀφαιρεῖ ἀπ᾽ αὐτοῦ τὸ λευκόν, ἵνα μὴ δόξῃ μαλακός τις εἶναι, φύσει ὑπάρχων ἰταμός. 8. Κακαὶ φρένες, ἡδὺ λάλημα] ὁ μὲν ποιητὴς ἀξίως περιγράφει τὰ πάθη· ἀλλ᾽ Ὑμεῖς, ὦ μειράκια, ἆρα φιλοσοφεῖτε ἐνταῦθα, ὃ βούλεται λέγειν; προσέχειν κελεύει τὸν νοῦν μὴ ἐξαπατηθῆτε ὑπὸ τῆς γλυκείας λαλιᾶς, ἀποφεύγοντες τὴν καταγοητευμένην ἐντὸς κακίαν· φάρμακα δηλητήρια περιέχει τὸ λάλη-

# ΕΡΩΣ ΔΡΑΠΕΤΗΣ.

## ΕΙΔΥΛΛΙΟΝ Α'.

Η Κύπρις, τὸν ἑαυτῆς ζητοῦσα παῖδα, ἐκήρυξε διαπρυσίως, εἴτις εἶδε τὸν ἔρωτα πλανώμενον ἐν τριόδοις, δραπέτην γενόμενον ἀπ' ἐμοῦ, τοῦτό μοι μηνῦσαι· σὺ δὲ, ὅςτις ἂν ἦς ὁ μηνύσας, ἕξεις μήνυτρα τὸ φίλημα τῆς Ἀφροδίτης· εἰδὲ καὶ ἀγάγοις αὐτὸν δεῦρο, ἔσται σοι μετὰ τοῦ φιλήματος καί τι πλέον· ἔστι δ' ἐκείνῳ πολλὰ τὰ γνωρίσματα καὶ ἐπίσημα μάλιστα, ὥστε καὶ ἐν εἴκασιν ἄλλοις εὐμαρῶς αὐτὸν διαγνοίης· ἔστι γὰρ τὸ μὲν εἶδος οὐ πάνυ τι λευκὸς πυραυγὴς δέ· τὰ δ' ὄμματα δριμὺς, καὶ πῦρ ὅλως βλέπων· ἡδὺς μὲν λαλεῖν, κακὸς δὲ φρονεῖν· φρονεῖ μὲν γὰρ, ἃ μὴ λέγει· φθέγγεται δὲ, ἅμοι φρονεῖ· ἡ δὲ φωνὴ αὐτῷ προσηνὴς καὶ ἡδεῖα· ὅτε δὲ τύχοι ὢν ἐν ὀργῇ, ἀπινής ἐστι καὶ ἀδυσώπητος, ἀπατεών τε καὶ ψεύστης γιγνόμενος, καὶ ὅλως δόλιον βρέφος, καὶ ἄγρια πάντῃ αὐτῷ τὰ ἀθύρματα· ἡ κόμη δ' αὐτῷ καλὴ καὶ εὐπλόκαμος, τὸ δὲ πρόσωπον ἰταμόν· αἱ δὲ χεῖρες μικραὶ μὲν, ἀλλ' ὡς μακρὰν ἀφιᾶσι τὰ βέλη, οἷον

---

μα, ἀπατηλὸν καὶ δόλιον ὄν. Ὢ πόσον μακάριος ὁ προσέχων· πόσων στεφάνων ἄξιος ὁ κρατῶν! ι3. Μικκύλα τὰ χερύδρια] ἀμφότερα ὑποκοριστικά· μικραὶ αἱ χεῖρες, ἀλλ' ἀφικνεῖται καὶ εἰς τὸν οὐρανὸν καὶ εἰς τὸν

Βάλλει κεἰς Ἀχέροντα, καὶ εἰς αΐδεω βασιλῆα.
Γυμνὸς μὲν τόγε σῶμα, νόος δέ οἱ ἐμπεπύκασται.
Καὶ πτερόεις, ὡς ὄρνις, ἐφίπταται ἄλλοτ' ἐπ' ἄλλους
Ἀνέρας ἠδὲ γυναῖκας, ἐπὶ σπλάγχνοις δὲ κάθηται.
Τόξον ἔχει μάλα βαιὸν, ὑπὲρ τόξῳ δὲ βέλεμνον·
Τυτθὸν ἐοῖ τὸ βέλεμνον, ἐς αἰθέρα δ' ἄχρι φορεῖται·
Καὶ χρύσεον περὶ νῶτα φαρέτριον, ἔνδοθι δ' ἐντὶ
Τοὶ πικροὶ κάλαμοι, τοῖς πολλάκι κἠμὲ τιτρώσκει.
Πάντα μὲν ἄγρια, πάντα· πολὺ πλεῖον δ' ἔνι αὐτῷ
Βαιὰ λαμπὰς ἐοῖσα· τὸν Ἅλιον αὐτὸν ἀναίθει.
Ἢν τύ γ' ἕλῃς τῆνον, δήσας ἄγε, μηδ' ἐλεήσῃς.
Κἢν ποτ' ἴδῃς κλαίοντα, φυλάσσεο, μή σε πλανήσῃ.
Κἢν γελάῃ, τύ νιν ἕλκε· καὶ, ἢν ἐθέλῃ σε φιλᾶσαι,
Φεῦγε· κακὸν τὸ φίλαμα, τὰ χείλεα φάρμακόν ἐντι.
Ἢν δὲ λέγῃ, λάβε ταῦτα, χαρίζομαι, ὅσσα μοι ὅπλα·
Μή τι θίγῃς, πλάνα δῶρα· τὰ γὰρ πυρὶ πάντα βέβαπται.

---

Ἅδην, ὅτι καὶ τοὺς ἐκεῖ ἀθανάτους τετρώσκει. 15. ἐμπεπύκασται] σύντομός ἐστι, καὶ ἐργολάβος, ῥέκτης. 14. Ἐοῖ[ ἕς, οὗ, οἷ καὶ ἑοῖ, ἀπὸ τοῦ Ἑὸς, 22. Πάντα] ἐπανέλαβε τοὔνομα, κατ' ἔμφασιν τοιοῦτο καὶ τὸ τοῦ Θεολόγου

ἐφικνεῖσθαι καὶ εἰς αὐτὸν τὸν Ἀχέροντα καὶ τὸν Ἅδην· καὶ τὸ μὲν σῶμα γυμνὸς, πεπνυμένος δὲ τὴν ψυχήν· καὶ ἐφιπτάμενος δίκην ὄρνιθος ἄλλοτ' ἐπ' ἄλλους ἄνδρας τε καὶ γυναῖκας, τοῖς αὐτῶν ἐγκάθηται σπλάγχνοις· τὸ δὲ τόξον αὐτῷ μικρὸν μὲν, ἀλλὰ καὶ βέλος ἐπὶ τοῦ τόξου· μικρὸν μὲν καὶ τὸ βέλος, ἀλλὰ μέχρι τῶν νεφῶν ἐφικνεῖται· καὶ φαρέτριον χρυσοῦν μὲν ἐπὶ τῶν ὤμων, ἀλλ' ἐντὸς ὑποκρύπτει πικροὺς οἰστούς· οἷς κᾀμὲ τὴν τεκοῦσαν πολλάκις τιτρώσκει· πάντα γὰρ παρ' αὐτοῦ χαλεπὰ, πάντα ἄγρια· καὶ τὸ μέγιστον, ἡ λαμπὰς, καί περ οὖσα μικρὰ, ἀλλ' οἵα καὶ αὐτὸν ὅλον ἥλιον κατακαίειν· Ἢν οὖν λάβῃς αὐτὸν, ὦ ξένε, δήσας, ἄγε δεῦρο, μήδ' ἐλεήσῃς· κᾂν ἴδῃς κλαίοντα, φύλαξαι· μή σε παραπείσῃ· κᾂν γελάσῃ, ἕλκε· κᾂν θελήσῃ σε φιλῆσαι, μὴ δέχου τὸ φίλημα· δόλιον γὰρ, καὶ ὅλως δηλητήριον αὐτόχρημα ἐκπέμπει τι τῶν χειλέων· ἢν δὲ προτείνας τὰ ὅπλα, εἴπῃ σοι, λάβε ταῦτα δωρεάν. μὴ θίγῃς ὅλως· ἀπάτη γὰρ ἔσται ταῦτα καὶ πυρὶ βεβαμμένα.

---

Γρηγορίου, οὐκ ἔστιν ὅστις τῶν ἀπάντων, τῶν ἀπάντων. 23. Λαμπὰς] πρὸς τοῖς ἄλλοις ὅπλοις ἀπέδωκαν αὐτῷ οἱ μῦθοι καὶ λαμπάδα φλογιστικήν. 29. Πυρὶ βέβαπται] ὡς εἰ ἔλεγεν, εἰσὶ πεπυρακτωμένα, καὶ ἀψάμενος κατακαήσῃ.

# ΕΥΡΩΠΗ.

## ΕΙΔΥΛΛΙΟΝ Β΄.

ΕΥΡΩΠΗ ποτὲ Κύπρις ἐπὶ γλυκὺν ἧκεν ὄνειρον,
Νυκτὸς ὅτε τρίτατον λάχος ἵσταται, ἐγγύθι δ' ἠώς·
Ὕπνος ὅτε γλυκίων μέλιτος βλεφάροισιν ἐφίζων,
Λυσιμελὴς, πεδάᾳ μαλακῷ κατὰ φάεα δεσμῷ·
Εὖτε καὶ ἀτρεκέων ποιμαίνεται ἔθνος ὀνείρων.
Τῆμος ὑπωροφίοισιν ἐνικνώσσουσα δόμοισι
Φοίνικος θυγάτηρ, ἔτι παρθένος, Εὐρώπεια,
Ὠΐσατ' ἠπείρους δοιὰς περὶ εἷο μάχεσθαι
Ἀσιάδ' ἀντιπέρην τε· φυὴν δ' ἔχον, οἷα γυναῖκες.
Τῶν δ' ἡ μὲν ξείνης μορφὴν ἔχεν· ἡ δ' ἄρ' ἐῴκει
Ἐνδαπίῃ, καὶ μᾶλλον ἑῆς περιέσχετο κούρης·
Φάσκεν δ', ὥς μιν ἔτικτε, καὶ ὡς ἀτίτηλέ μιν αὐτή.
Ἡ δ' ἑτέρη κρατερῇσι βιαζομένα παλάμῃσιν
Εἴρυεν οὐκ ἀέκουσαν· ἐπεὶ φάτο μόρσιμον εἶναι

---

Τρίτατον λάχος] διαιρουμένης τῆς νυκτὸς εἰς τέσσαρα, τρεῖς ὥρας ἔχει ἕκαστον μέρος· φυλακὰς δὲ ταῦτα ἐκάλουν ἀπὸ τῶν φυλασσόντων στρατιωτῶν· ἦν δ' οὖν κατὰ ταῦτα τρίτη φυλακὴ τῆς νυκτός. 5. Ἀτρεκέων) ἀληθῶν. Ὅμηρος δὲ οἱ μὲν διὰ κεραΐνων πυλῶν, φησὶν, ἐξερχόμενοι, οὗτοι ἀληθεῖς εἰσιν ὄνειροι, οἱ δὲ δι' ἐλεφαντίνων ψευδεῖς. Ὀδ. Γ. στιχ, 563. οἷον,

# ΕΥΡΩΠΗ.

## ΕΙΔΥΛΛΙΟΝ Β'.

Η Κύπρις ἀφίκετό ποτε εἰς τὴν Εὐρώπην, ἡδέως καθεύδουσαν ἐπὶ τῆς κλίνης περὶ τρίτην ἀλεκτροφωνίαν, μήπω τῆς ἠοῦς διαγελώσης, ὁπόθ' ὁ ὕπνος γλυκύτερος, ἢ μέλι, ἐφιζάνων τοῖς βλεφάροις, λύει μὲν τὰ ἄλλα μέλη, συγκολλᾷ δὲ τὰ ὄμματα οἱονεὶ δεσμῷ τῳ μαλακῷ· ἐπειδὰν καὶ τὸ ἔθνος τῶν ἀληθῶν ἀναφύεται ὀνείρων· τότε δὴ Εὐρώπη ἡ θυγάτηρ τοῦ βασιλέως τῶν Φοινίκων, ἔτι παρθένος οὖσα, ἐν ὑποστέγοις ὑπνώττουσα δώμασιν, ἔδοξεν ἰδεῖν τὰς δύο ἠπείρους τήν τ' Ἀσίαν καὶ τὴν ἀντιπέρας ὑπὲρ ἑαυτῆς πρὸς ἀλλήλας διαμαχομένας· ἦν δ' αὐταῖς ἡ μὲν φύσις τοῦτ' αὐτὸ γυναικυῖα· τὸ δὲ εἶδος, τῆς μὲν ξένον· τῆς δὲ, ἐγχώριον· ἣ καὶ μᾶλλον πρὸς αὐτὴν οἰκείως εἶχε· καὶ γὰρ ἔτεκεν αὐτὴν καὶ ἀνέθρεψε, καὶ ἄλλα τοιαῦτα ἦν προϊσχομένη· ἡ δ' ἑτέρα ἰσχυροτέρῳ ἀνθεῖλκε βραχίονι αὐτὴν ἑκοῦσαν· ἔφη γὰρ

---

» Δοιαὶ γάρ τε πύλαι ἀμενηνῶν εἰσὶν ὀνείρων.
» Αἱ μὲν γὰρ κεράεσσι τετεύχαται, αἱ δ' ἐλέφαντι·
» Οἳ δ' ἐλεφαίρονται, ἔπε' ἀκράαντα φέροντες·
» Οἱ δὲ διὰ ξεστῶν κεράων ἔλθωσι θύραζε,
» Οἵ ῥ' ἔτυμα κραίνουσι, βροτῶν ὅτε κέν τις ἴδηται,

9. Ἀντιπέρην τε] οὐκ εἶπεν Εὐρώπην, ὅτι οὔπω ἐσχήκει τότε τὴν ἔπω νυ-

Ἐκ Διὸς αἰγιόχου γέρας ἔμμεναι Εὐρωπείην·
Ἡ δ' ἀπὸ μὲν στρωτῶν λεχέων θόρε δειμαίνουσα,
Παλλομένη κραδίην· τὸ γὰρ ὡς ὕπαρ εἶδεν ὄνειρον·
Ἑζομένη δ' ἐπὶ δηρὸν ἀκὴν ἔχεν, ἀμφοτέρας δὲ
Εἰσέτι πεπταμένοισιν ἐν ὄμμασιν εἶχε γυναῖκας.
Ὀψὲ δὲ δειμαλέην ἀνενείκατο παρθένος αὐδήν·
Τίς μοι τοιάδε φάσματ' ἐπουρανίων προΐηλε;
Ποῖοί με στρωτῶν λεχέων ὕπερ ἐν θαλάμοισιν
Ἡδὺ μάλα κνώσσουσαν ἀνεπτοίησαν ὄνειροι;
Τίς δ' ἦν ἡ ξείνη, τὴν εἴσιδον ὑπνώουσα;
Ὥς μ' ἔβαλε κραδίην κείνης πόθος· ὥς με καὶ αὐτὴ
Ἀσπασίως ὑπέδεκτο, καὶ ὡς σφετέρην ἴδε παῖδα.
Ἀλλά μοι εἰς ἀγαθὸν μάκαρες κρίνειαν ὄνειρον.
 Ὣς εἰποῦσ' ἀνόρουσε· φίλας δ' ἐπεδίζεθ' ἑταίρας
Ἥλικας, οἰέτεας, θυμήρεας, εὐπατερείας,
Τῇσιν ἀεὶ συνάθυρεν, ὅτ' ἐς χορὸν ἐντύναιτο,
Ἢ ὅτε φαιδρύνοιτο χρόα προχοαῖσιν Ἀναύρω,
Ἢ ὁπότ' ἐκ λειμῶνος εὔπνοα λείρια κέρσοι.
Ταὶ δὲ οἱ αἶψα φάανθεν· ἔχον δ' ἐν χερσὶν ἑκάστη
Ἀνθοδόκον τάλαρον· ποτὶ δὲ λειμῶνας ἔβαινον
Ἀγχιάλους, ὅθι τ' αἰὲν ὁμιλαδὸν ἠγερέθοντο,
Τερπόμεναι ῥοδέῃ τε φυῇ, καὶ κύματος ἠχῇ.
Αὐτὴ δὲ χρύσεον τάλαρον φέρεν Εὐρωπείη
Θηητὸν, μέγα θαῦμα, μέγαν πόνον Ἡφαίστοιο,

---

μίαν ταύτην, ἣν ὕστερον ἔλαβεν ἀπὸ τῆς κόρης. 15. Ἐκ Διὸς] ὡς εἰ ἔλεγε, τοῦτό ἐστι τὸ θέλημα τοῦ Διὸς τὴν Εὐρώπην αὐτῷ γενέσθαι. 23. Ἀνεπτοίησαν] ἀναπτοεῖν, καὶ ἀναπτοιεῖν ἐστι φοβίζειν. 29. Οἰέτεας] ὁμοιοετεῖς, ἰσοε-

εἱμαρμένον εἶναι παρὰ τοῦ Διὸς γέρας αὐτῷ γενέσθαι τὴν Εὐρώπην· Ἐκ δὴ τούτων εὐθὺς ἐξεγερθεῖσα σὺν φόβῳ ἡ Εὐρώπη, καὶ λίαν παλλομένη τὴν καρδίαν, διηπορεῖτο καθ' ἑαυτὴν, τί ποτ' ἂν εἴη τοῦτο; οὐ γὰρ ὄνειρον, ἀλλ' ὕπερ ἰδεῖν ἐδόκει· καθημένη δ', ἐπὶ πολὺ κατείχετο σιωπῇ· ὡς καὶ ἀνεωγμένοις τοῖς ὀφθαλμοῖς ἀμφοτέρας ἔτι ὁρᾷν ἐδόκει τὰς γυναῖκας· Ὀψὲ τοίνυν ἀπετόλμησεν ὑποφωνῆσαι· Τίς τῶν θεῶν φάσματα τοιαῦτα πέπομφέ μοι; ποῖοί εἰσιν ὄνειροι οὗτοι, οἳ ἐξετάραξάν με οὕτως ἐν τῷ θαλάμῳ κοιμωμένην; τίς δ' ἦν ἡ ξένη, ἣν ἐν ὕπνοις εἶδον; ὡς πολὺς πόθος ἕλκει με πρὸς ἐκείνην· καὶ γὰρ ἀσπασίως με ὑποδεξαμένη, ὡς ἰδίαν θυγατέρα· Ἀλλ' ὦ θεοὶ, εἴη μοι ταῦτ' αἴσια παρ' ἡμῶν.

Ταῦτα δ' εἰποῦσα, ἀνέστη, καὶ παραχρῆμα μετεπέμπετο τὰς ὁμίλικας, τὰς ἐρασμίας καὶ εὐγενεῖς· πρὸς ἃς κοινὰ ἦν αὐτῇ τὰ ἀθύρματα· ἡνίχ' ὡρμᾶτό ποτε χορὸν ἱστάναι· ἢ ὅτε ἀρυομένη τῶν πηγῶν, διελεύκαινε τὸ πρόσωπον· ἢ ὅτε εὐώδη ἄνθη ἐδρέπετο ἐκ τῶν λειμώνων· αἱ δὲ παραχρῆμα παρῆσαν αὐτῇ, ἀνθοδόχον τάλαρον ἐν χερσὶ φέρουσα ἑκάστη· Ἐντεῦθεν οὖν ἐβάδιζον πρὸς τοὺς λειμῶνας παρὰ τὴν ἠϊόνα, ἔνθα πολλάκις συνήρχοντο ἅπασαι, τῇ τε τῆς φύσεως τερπόμεναι καλλονῇ, καὶ τῷ τῶν κυμάτων ῥοθίῳ κηλούμεναι· αὐτὴ δὲ ἡ βασιλὶς διέπρεπε, θαυμαστὸν τάλαρον φέρουσα ἐν χερσὶν, ἔργον Ἡφαίστου ὅλως, ὃ ἐδεδώκει δῶρον τῇ Λιβύῃ,

τεῖς. 21. Ἀναύρῳ] ποταμοῦ, χειμάῤῥου· 29. Λιβύῃ] θυγάτηρ αὕτη Ἐπάφου καὶ Μέμφιδος· ἧς ἐρασθεὶς ὁ Ποσειδῶν, ἐγέννησεν ἐξ αὐτῆς Ἀγήνορα τὸν πατέρα τῆς Εὐρώπης, καὶ Βῆλον· ἡ δὲ Τηλεφαέσσα, ἢ μᾶλλον Τηλεφάσσα, μήτηρ ἦν αὐτῆς· ὥστε ἡ Τηλεφάσσα πενθερὰν εἶχε τὴν Λιβύην· καὶ ταῦτ'

Ὃν Λιβύῃ πόρε δῶρον, ὅτ' ἐς λέχος Ἐννοσιγαίου
Ἤϊεν· ἡ δὲ πόρεν περικαλλέϊ Τηλεφαέσσῃ,
Ἥτέ οἱ αἵματος ἔσκεν· ἀνύμφῳ δ' Εὐρωπείῃ
Μήτηρ Τηλεφάεσσα περικλυτὸν ὤπασε δῶρον.
Ἐν τῷ δαίδαλα πολλὰ τετεύχατο μαρμαίροντα·
Ἐν μὲν ἔην χρυσοῖο τετυγμένη Ἰναχὶς Ἰὼ,
Εἰσέτι πόρτις ἐοῦσα, φυὴν δ' οὐκ εἶχε γυναικός.
Φοιταλέη δὲ πόδεσσιν ἐφ' ἁλμυρὰ βαῖνε κέλευθα
Νηχομένῃ ἰκέλη· κυανῆ δ' ἐτέτυκτο θάλασσα·
Δοιοὶ δ' ἕστασαν ὑψοῦ ἐπ' ὀφρύος αἰγιαλοῖο
Φῶτες ἀολλήδην· θηεῦντο δὲ ποντοπόρον βοῦν.
Ἐν δ' ἦν Ζεὺς, ἐπαφώμενος ἠρέμα χειρὶ θεείῃ
Πόρτιος Ἰναχίης, τὴν ἑπταπόρῳ παρὰ Νείλῳ
Ἐκ βοὸς εὐκεράοιο πάλιν μετάμειβε γυναῖκα.
Ἀργύρεος μὲν ἔην Νείλου ῥόος· ἡ δ' ἄρα πόρτις
Χαλκείη· χρυσοῦ δὲ τετυγμένος αὐτὸς ἔην Ζεύς.
Ἀμφὶ δὲ δινήεντος ὑπὸ στεφάνην ταλάροιο
Ἑρμείης ἤσκητο· πέλας δὲ οἱ ἐκτετάνυστο
Ἄργος, ἀκοιμήτοισι κεκασμένος ὀφθαλμοῖσι.
Τοῖο δὲ φοινήεντος ἀφ' αἵματος ἐξανέτελλεν
Ὄρνις ἀγαλλόμενος πτερύγων πολυανθέϊ χροιῇ,
Ταρσὸν ἀναπλώσας, ὡσεί τέ τις ὠκύαλος νηῦς,
Χρυσείου ταλάροιο περίσκεπε χείλεα ταρσοῖς.
Τοῖος ἔην τάλαρος περικαλλέος Εὐρωπείης.
Αἱ δ' ἐπεὶ οὖν λειμῶνας ἐσήλυθον ἀνθεμόεντας,
Ἄλλαι ἐπ' ἀλλοίοισι τότ' ἄνθεσσι θυμὸν ἔτερπον.

---

ἐστὶ τὸ. Ἥτε οἱ αἵματος ἔσκεν. 44. Ἰὼ] ἡ Ἰνάχου θυγάτηρ, ἡ εἰς κερασφό-

ὁπότε συνῆλθε ποσειδῶνι ἐννοσιγαίῳ· ἡ δὲ αὖθις δέδωκεν αὐτὸν κατὰ τὸ ξυγγενὲς τῇ περικαλλεῖ Τηλεφαέσσῃ· ἡδ' αὖ πάλιν τῇ θυγατρὶ Εὐρώπῃ, ἔτι παρθένῳ οὔσῃ· Ἦν δ' οὖν περικλυτὸν τὸ δῶρον, περιττῶς τε ἠσκημένον καὶ ποικίλως ἐξεσμένον· ἦν γὰρ ἐπ' αὐτοῦ τετευγμένη Ἰὼ ἡ τοῦ Ἰνάχου, ὅλη δάμιλις, καὶ γυναικὸς φέρουσα οὐδὲν, οἰστρηλατουμένη, κἀπὶ τῶν κυμάτων βαδίζουσα ποσὶν, ὥσπερ νηχομένη· ἡ δὲ θάλασσα αὖ κυανῆν ἦν παρέχουσα ἐπιφάνειαν· καὶ δύο ἄνδρες ἑστῶτες ἐπ' ἄκρας ἠϊόνος, ἐθεῶντο τὴν βοῦν ποντοποροῦσαν· ἐν δὲ τούτοις αὐτὸς ὁ Ζεὺς χειρὶ ἀψάμενος ἠρέμα τῆς θυγατρὸς Ἰνάχου παρὰ τῷ ἑπταστόμῳ Νείλῳ, εὐθὺς ἐκ κερασφόρου βοὸς, εἰς φύσιν γυναικὸς ἐποίησεν αὐτὴν εὐθὺς μεταβαλέσθαι· καὶ ἦν τούτων ὁ μὲν Νεῖλος πρὸς ἄργυρον ἀπεικασμένος. ἡ δὲ δάμαλις χαλκῆ, χρυσοῦς δ' ὁ Ζεὺς αὐτὸς διέπρεπεν ἐν μέρει· ὑπὸ δὲ τὴν περιφερῆ στεφάνην κατεσκεύαστο αὐτὸς ὁ Ἑρμῆς, καὶ παρ' αὐτῷ Ἄργος, ὃς καὶ ἀποθανὼν ἀκοιμήτοις ὄμμασι προσείκασθ' ὅλως· ἐξ οὗ τοῦ αἵματος ἀνήει ἀετὸς, ἀγαλλόμενος τῷ τῶν πτερῶν ποικίλῳ· ὃς τὰς ἑαυτοῦ ἐκτείνας πτέρυγας, ὥσπερ ναῦς ταχυδρομοῦσα τὰ ἱστία, περιεστίγαζε τὰ τοῦ ταλάρου χείλη· Τοιοῦτος ἦν ὁ τάλαρος τῆς βασιλίδος.

Αἱ δὲ παρθέναι, ἄλλαι ἐπ' ἄλλαις εἰσιοῦσαι εἰς τὸν λειμῶνα, ἠσμένιζον, τῶν ἀνθέων δρεπόμεναι· ἡ μὲν, νάρκισον

---

ρον ἔλαφον διὰ τὰς τοῦ Διὸς ἔρωτας μεταβληθεῖσα, καὶ εἰς Αἴγυπτον ἀφικομένη οἰστρήλατος· ἔνθα τῇ ἐπαφῇ τοῦ Διὸς ἐπαναλαβοῦσα τὴν φύσιν, ἐγέννησεν Ἔπαφον ὁμώνυμον τῇ συλλήψει· ἐν δὲ τῇ αὐτῇ μυθολογίᾳ περιέχεται

Τῶν ἡ μὲν νάρκισσον εὔπνοον, ἡ δ' ὑάκινθον,
Ἡ δ' ἴον, ἡ δ' ἕρπυλλον ἀπαίνυτο· πολλὰ δ' ἔραζε
Λειμώνων ἐαροτρεφέων πίπτεσκε πέτηλα·
Αἱ δ' αὖτε ξανθοῖο κρόκου θυόεσσαν ἐθείρην
Δρέπτον ἐριδμαίνουσαι· ἀτὰρ μέσσῃ ἔστη ἄνασσα,
Ἀγλαΐην πυρσοῖο ῥόδου χείρεσσι λέγουσα,
Οἷά περ ἐν χαρίτεσσι διέπρεπεν Ἀφρογένεια.
Οὐ μὲν δηρὸν ἔμελλεν ἐπ' ἄνθεσσι θυμὸν ἰαίνειν,
Οὐδ' ἄρα παρθενίην μίτρην ἄχραντον ἔρυσθαι.
Ἦ γὰρ δὴ Κρονίδης, ὥς μιν φράσαθ', ὡς ἐβέβλητο
Θυμὸν, ἀνωΐστοισιν ὑποδμηθεὶς βελέεσσι
Κύπριδος, ἣ μούνη δύναται καὶ Ζῆνα δαμάσσαι.
Μὴ γὰρ, ἀλευόμενός τε χόλον ζηλήμονος Ἥρης,
Παρθενικῆς τ' ἐθέλων ἀταλὸν νόον ἐξαπατῆσαι,
Κρύψε θεὸν, καὶ τρέψε δέμας, καὶ γίγνετο ταῦρος,
Οὐχ οἷος σταθμοῖς ἐνιφέρβεται, οὐδὲ μὲν οἷος
Ὦλκα διατμήσσει, σύρων εὔκαμπες ἄροτρον,
Οὐδ' οἷος ποίμνης ἐπιβόσκεται, οὐδὲ μὲν οἷος
Ὅστις ὑποδμηθεὶς, ἐρύει πολύφορτον ἀπήνην.
Τοῦ δ' ἤτοι τὸ μὲν ἄλλο δέμας ξανθόχροον ἔσκεν,
Κύκλος δ' ἀργύφεος μέσσῳ μαρμαιρε μετώπῳ,
Ὄσσε δ' ὑπόγλαυκ' ἔσκε δι' ἵμερον ἀστράπτοντε·
Ἶσά τ' ἐπ' ἀλλήλοισι κέρα ἀνέτελλε καρήνου,
Ἄντυγος ἡμιτόμου κεραῆς ἅτε κύκλα σελήνης.
Ἤλυθε δ' ἐς λειμῶνα, καὶ οὐκ ἐφόβησε φαανθεὶς
Παρθενικὰς, πάσῃσι δ' ἔρως γένετ' ἐγγὺς ἱκέσθαι,
Ψαῦσαί θ' ἱμερτοῖο βοός· τοῦ δ' ἄμβροτος ὀδμὴ

εὐώδη· ἡ δὲ, ὑάκινθον· ἡ δὲ ἴον· ἡ δὲ, ἕρπυλλον, καὶ ἄλλη ἄλλο· πολλὰ γὰρ ἐκ τῶν ἐαριζομένων λειμώνων κατὰ γῆς ἔπιπτον εὐώδη φύλλα· ἕτεραι δ' αὖ τῷ εὐόσμῳ τοῦ κρόκου ἄνθει ἁμιλλώμεναι τὸν νοῦν προσεῖχον· ἐν αἷς ἡ βασιλὶς, ῥόδον ἁπαλῇ δρεπομένη χειρὶ, διέπρεπεν, ὅσον ἐν Χάρεσιν ἡ Κύπρις· ἀλλ' οὐκ ἐπὶ πολὺ ἤμελλεν ἐν θυμηδίαις εἶναι, μήτε τὴν παρθενικὴν ἄχραντον ἔτι διατηρήσειν ζώνην· Ζεὺς γὰρ, ὡς ἐνόησεν αὐτὴν διατρίβουσαν ἐνταῦθα, ἀφορήτοις καὶ ἀπροσδοκήτοις βέλεσιν ἐτρώθη παρὰ τῆς Ἀφροδίτης· ἣ μόνη οἵα τε ἐστὶν αὐτοῦ κρατῆσαι· βουλόμενος δὲ λαθεῖν τὴν τῆς Ἥρας δεινὴν ζηλοτυπίαν, μηδὲ τὴν ἁπαλὴν παρθένον ἄλλως ἐξαπατῆσαι, ἔκρυψε τὴν θείαν φύσιν, ταύρου σῶμα περιβεβλημένος, οὐ τοιούτου, οἷοι τρέφονται ἐν τοῖς σταθμοῖς, οὐδ' οἷοι οἱ ἐν ἀρότρῳ διατέμνοντες τὴν ἄρουραν, οὐδ' οἷοι οἱ νεμόμενοι ἐν τοῖς λειμῶσιν, οὐδ' οἷοι οἱ ὑπὸ ζυγὸν πολύφορον ἕλκοντες ἅμαξαν· τούτου γὰρ τὸ εἶδος ἦν παραλάττον ὅλως· σῶμα μὲν γὰρ τἄλλο ὑπόξανθον ἦν· ἐν δὲ τῷ μεσώπῳ κύκλος τὶς διέπρεπεν, ὡς ἐξ ἀργύρου σελαγίζων· τὰ δ' ὄμματα αὐτῷ ὑπόγλαυκα, ἐξαστράπτοντα ἱμέρῳ· ἴσα δὲ πρὸς ἄλληλα καὶ τὰ κέρατα ἐπὶ τῆς κεφαλῆς ἀνήει· οἷα φαίνεται τὰ τῆς σελήνης, ἡμιτόμου γιγνομένης· Ἐλθόντος τοίνυν αὐτοῦ εἰς τὸν λειμῶνα, οὐδένα φόβον ἐνεποίησε ταῖς κόραις, ἀλλ' ἔτι καὶ ἔφεσιν ἐγγεγένηται αὐταῖς ἐγγυτέρω προσελθούσαις ἅψασθαι βοὸς οὕτως

---

καὶ ὁ πολυόμματος Ἄργος καὶ ὁ αὐτὸν φονεύσας Ἑρμῆς. 75. Ἀνωΐστοις] ἀπροσδοκήτοις, παρὰ τὸ οἴομαι τὸ ἐλπίζω, οἰστὸς, ἐλπιστὸς, ἀνώϊστος ἀ-

Τηλόθι καὶ λειμῶνος ἐκαίνυτο λαρὸν ἀϋτμήν.
Στῆ δὲ ποδῶν προπάροιθεν ἀμύμονος Εὐρωπείης,
Καί οἱ λιχμάζεσκε δέρην, κατέθελγε δὲ κούρην.
Ἡ δέ μιν ἀμφαφάασκε, καὶ ἠρέμα χείρεσιν ἀφρὸν
Πολλὸν ἀπὸ στομάτων ἀπεμόργνυτο, καὶ κύσε ταῦρον.
Αὐτὰρ ὁ μειλίχιον μυκάσατο· φαίης κ' αὐλοῦ
Μυγδονίου λιγὺν ἦχον ἀνηπύοντος ἀκούειν.
Ὤκλασε δὲ πρὸ ποδοῖϊν· ἐδέρκετο δ' Εὐρωπείην.
Αὐχέν' ἐπιστρέψας, καί οἱ πλατὺ δείκνυε νῶτον.
Ἡ δὲ, βαθυπλοκάμοισι μετέννεπε παρθενικῇσι·
Δεῦτ' ἑτάραι φίλιαι καὶ ὁμίληκες, ὄφρ' ἐπὶ τῷδε
Ἑζόμεναι ταύρῳ τερπώμεθα· δὴ γὰρ ἁπάσας,
Νῶτον ὑποστορέσας, ἀναδέξεται, οἷά τε νηῦς.
Πρηΰς ὅδ' εἰσιδέειν καὶ μείλιχος, οὐδέ τι ταύροις
Ἄλλοισι προσέοικε· νόος δέ οἱ ἠΰτε φωτὸς
Αἴσιμος ἀμφιθέει, μούνης δ' ἐπιδεύεται αὐδῆς.
Ὣς φαμένη, νώτοισιν ἐφίζανε μειδιόωσα·
Αἱ δ' ἄλλαι μέλλεσκον· ἄφαρ δ' ἀνεπίλνατο ταῦρος,
Ἣν ἔθελ' ἁρπάξας· ὠκὺς δ' ἐπὶ πόντον ἵκανεν.
Ἡ δὲ μεταστρεφθεῖσα φίλας καλέεσκεν ἑταίρας,
Χεῖρας ὀρεγνυμένη· ταὶ δ' οὐκ ἐδύναντο κιχάνειν.
Ἀκτάων δ' ἐπιβὰς πρόσσω θέεν, ἠΰτε δελφίς.
Νηρηΐδες δ' ἀνέδυσαν ὑπ' ἐξ ἁλὸς, αἱ δ' ἄρα πᾶσαι
Κητείοις νώτοισιν ἐφήμεναι ἐστιχόωντο.

---

νέλπιστος. 94. Δέρην] πότερον, τὴν ἑαυτοῦ, ἢ τῆς κόρης; πιθανώτερον τὸ πρῶτον. 98. Ἀνηπύοντος] ὀξὺ λαλοῦντος. 114. Νηρηΐδες] θυγατέρες τοῦ Νη-

ἐρασμίου· ἀφ' οὗ τοσαύτη ὀσμὴ ἐξῄει, ὥστ' ἀπέκρυπτε καὶ τὴν ἐκ λειμῶνος εὐωδίαν· Παρελθὼν οὖν, ἔστη πρὸ τῶν ποδῶν τῆς βασιλίδος· καὶ τὴν δέρην τῇ γλώττῃ περιλείχων, κατέθελγε τὴν κόρην· ἡ δὲ ἐπιψῶσα, καὶ ἠρέμα τὸν ἀπὸ τοῦ στόματος αὐτοῦ ἀφρὸν ἀπομοργνῦσα, ἐφίλησε τὸν ταῦρον· ὁ δὲ μέμυκε ἥδιστόν τι μύκημα· ὥστ' εἴποις ἂν ἀκούσας Μυγδονίου αὐλοῦ ἀναφωνοῦντος μέλος εἶναι· Ἐντεῦθεν δὲ μετοκλάσας ἐπὶ γόνυ, ἔβλεπε πρὸς τὴν Εὐρώπην· καὶ μεταστρέψας τὸν αὐχένα, ἐδείκνυεν αὐτῇ τὰ νῶτα· ἡ δὲ εὐθὺς φησὶ πρὸς τὰς βαθυπλοκάμους κόρας· Δεῦθ' ὑμεῖς, ὦ φίλαι, ἀναβάσαι ἐπὶ τοῦ ταύρου τούτου, καὶ ἐπικαθισθεῖσαι τερπώμεθα· οὗτος γὰρ ὑποστρώσας τὰ νῶτα, ἀναδέξεται συμπάσας, ὥσπερ ναῦς, πρᾴως οὕτως ἔχων καὶ ἥμερος ἰδεῖν, ὡς μηδὲν αὐτῷ εἶναι κοινὸν πρὸς φύσιν ταύρου· νοῦς γὰρ ἔνεστιν αὐτῷ ὅμοιος ἀνθρώπου· φωνῆς δὲ δεῖται μόνης.

Ταῦτα δ' εἰποῦσα ἡ παρθένος, ἀναβάσα, ἐπεκάθισεν ἐπὶ τῶν νώτων ἐκείνου μειδιῶσα· αἱ δὲ ἔμελλον ἤδη· ὁ δὲ βοῦς, ἀράμενος, ἣν ἐβούλετο, ἀνορθώσας εὐθὺς ἑαυτὸν, κατέτεινεν ἐπὶ τὸν πόντον· ἡ δὲ μεταστραφεῖσα, καὶ τὰς χεῖρας προϊσχομένη, ἐκάλει τὰς ἑταίρας· ἀλλ' οὐδὲν ἦν αὐτῇ πλέον ἐντεῦθεν, μὴ δυναμένων αὐτὸν καταλαβεῖν ἐκεῖνον· ὃς ἅμ' ἀφικόμενος ἐπὶ τὸν αἰγιαλὸν, ἐχώρει τοῦ πρόσω, νηχόμενος ὥσπερ Δελφίν· καὶ παραχρῆμα αἱ Νηρηΐδες ἀναδῦσαι ἐκ τῶν ὑδάτων, καὶ τοῖς τοῦ κήτους προσιζάνουσαι νώτοις, συ-

---

ρέως θαλασσίου θεοῦ, πεντήκοντα κατοικοῦσαι ἐν τοῖς ἀβύσσοις τῆς μεσογείου θαλάσσης. 115. Κητείοις νώτοισιν] ἢ διὰ τὸ πλάτος, ἢ διὰ τὸ ἐν θαλάσσῃ

Καὶ δ' αὐτὸς βαρύδουπος ὑπεὶρ ἁλὸς Ἐννοσίγαιος,
Κῦμα κατιθύνων, ἁλίης ἡγεῖτο κελεύθου
Αὐτοκασιγνήτῳ· τοὶ δ' ἀμφί μιν ἠγερέθοντο
Τρίτωνες, πόντοιο βαθυῤῥόου ἐνναετῆρες,
Κόχλοισιν ταναοῖς γάμιον μέλος ἠπύοντες.
Ἡ δ' ἄρ' ἐφεζομένη Ζηνὸς βοέοις ἐπὶ νώτοις,
Τῇ μὲν ἔχεν ταύρου δολιχὸν κέρας, ἐν χερὶ δ' ἄλλῃ
Εἴρυε πορφυρέας κόλπου πτύχας, ὄφρα κεν φὴν
Δεύοι ἐφελκομένην πολιῆς ἁλὸς ἄσπετον ὕδωρ.
Κολπώθη δ' ὤμοισι πέπλος βαθὺς Εὐρωπείης,
Ἱστίον οἷά τε νηὸς, ἐλαφρίζεσκε δὲ κούρην.
Ἡ δ' ὅτε δὴ γαίης ἀπὸ πατρίδος ἦεν ἄνευθεν,
Φαίνετο δ' οὔτ' ἀκτή τις ἁλίῤῥοθος, οὔτ' ὄρος αἰπὺ,
Ἀλλ' ἀὴρ μὲν ὕπερθεν, ἔνερθε δὲ πόντος ἀπείρων,
Ἀμφὶ ἑ παπτήνασα, τοίην ἀνενείκατο φωνήν·
Ποῖμε φέρεις, θεόταυρε; τίς ἔπλεο; πῶς δὲ κέλευθον
Ἀργαλέοισι πόδεσσι διέρχεαι, οὐδὲ θάλασσαν
Δειμαίνεις; νηυσὶν γὰρ ἐπίδρομός ἐστι θάλασσα
Ὠκυάλοις, ταῦροι δ' ἁλίην τρομέουσιν ἀταρπόν.
Ποῖόν σοι ποτὸν ἡδύ; τίς ἐξ ἁλὸς ἔσσετ' ἐδωδή;
Ἦ ῥά τις ἐσσὶ θεὸς, τί θεοῖς ἀπεοικότα ῥέζεις;
Οὔθ' ἅλιοι δελφῖνες ἐπὶ χθονὸς, οὔτέ τι ταῦροι
Ἐν πόντῳ στείχουσι· σύ δὲ χθόνα καὶ κατὰ πόντον
Ἄβροχος ἀΐσσεις, χηλαὶ δέ τοι εἰσὶν ἐρετμά.
Ἦ τάχα καὶ γλαυκῆς ὑπὲρ ἠέρος ὑψόσ' ἀερθεὶς,

---

πλεῖν, ἔνθα τὰ κήτη μάλιστα, κήτεια ἔφη τὰ νῶτα τοῦ ταύρου. 119. Τρίτωνες] Τρίτων υἱὸς Ποσειδῶνος καὶ Ἀμφιτρίτης θαλασσίου θεᾶς, οὐρὰν ἰ-

νώδευον τομπῇ· ἀλλὰ καὶ αὐτὸς ὁ βαρύγδουπος ἐννοσίγαιος, προλεαίνων τὸ τῆς θαλάττης κῦμα, προηγεῖτο τῆς ὁδοῦ τῷ ἀδελφῷ· Ὁμοίως δὲ καὶ οἱ Τρίτωνες ἀναφανέντες, ἀθροισθέντες πανταχόθεν, καὶ ἐπιμήκεσι κόχλοις χρησάμενοι, γαμήλιον ἀνεβάλοντο μέλος· ἡ δὲ κόρη καθημένη ἐπὶ τῶν βοΐων νώτων, τῇ μὲν ταῖν χεροῖν εἴχετο τοῦ ταυρείου κέρως τοῦ Διός· τῇ δὲ ἀνεσύρετο τὴν πορφυρᾶν τοῦ κόλπου διπλοΐδα, ἧς τὴν ὤαν ἔβρεχεν ὄπισθεν ἐφελκομένην τὸ τῆς θαλάσσης ὕδωρ· ὁ δὲ βαθὺς τῆς ἐφεστρίδος κόλπος, ἀποκολπωθεὶς ἐν τοῖς ὤμοις, ὥσπερ ἱστίον, ἀνεκούφιζεν αὐτὴν τοῦ βάρους· Ὡς οὖν πέλαγος διαβάλλοντες, ἀπέκρυψαν ἀφ' ἑαυτῶν τὴν γῆν, ὥστε μηκέτι μήτ' ἀκτὴν, μήτε ὄρος ὑψηλὸν, ἀλλ' ἄνωθεν μὲν τὸν αἰθέρα, κάτω δ' ἄσπετον ὁρᾶσθαι ὕδωρ μόνον, τότε ὑποδειλιάσασα πρὸς ὅλον χάος πέριξ, προηνέγκατο φωνὴν ἐκείνην· Ποῖ με ἄγεις, θεόταυρε; τίς εἶ; πῶς δὲ διαπόντιον ὁδὸν πεζεύεις; φόβον μηδένα τῆς θαλάσσης ἔχων; ναυσὶ γὰρ αὕτη πέφυκεν πλώϊμος εἶναι ταχυναυτούσαις· ταύροις δὲ ἡ ὑγρὰ ὁδὸς κίνδυνον φέρει· πῶς ἂν εἴη πότιμον τὸ ὕδωρ; τίς δ' ἐντεῦθεν τροφή σοι ἔσται; μῶν θεῶν τις ὢν τυγχάνεις, καὶ πῶς ἂν εἴη θεοῦ μὴ ἄξια πράττειν; οὔτε γὰρ δελφῖνες ἐπὶ γῆς ἂν πλέοιεν, οὔτε ταῦροι βαδίζοιεν ἐπὶ θαλάσσης· σὺ δ' ὥσπερ ἐπὶ γῆς, ἐν τοῖς κύμασιν ἄβροχος διανύττεις, κώπαις ταῖς σαυτοῦ χρώμενος χηλαῖς· ὥστ' ἔοικας ἂν καὶ εἰς τὸν αἰθέρα μετέωρος ἀρθεὶς,

---

χθύος ἔχων καὶ σῶμα λεπιδωτὸν, φωνὴν δὲ ἀνθρώπου· ὃς φυσῶν εἰς κόχλον ἐπιμήκη, ἀνεκάλει τὰ ὕδατα εἰς ἡσυχίαν, Ποσιδῶνος κελεύοντος· ὁμοίως δὲ

Ἴκελος αἰψηροῖσι ποτήσεαι οἰωνοῖσιν.
Οἴμοι, ἐγὼ μέγα δή τι δυσάμμορος, ἥ ῥά τε δῶμα
Πατρὸς ἀποπρολιποῦσα, καὶ ἑσπομένη βοῒ τῷδε,
Ξείνην ναυτιλίην ἐφέπω, καὶ πλάζομαι οἴη·
Ἀλλὰ σύ μοι μεδέων πολιῆς ἁλὸς Ἐννοσίγαιε
Ἵλαος ἀντιάσειας· ἐέλπομαι εἰσοράασθαι
Τόνδε κατιθύνοντα πλόον προκέλευθον ἐμεῖο.
Οὐκ ἀθεεὶ γὰρ ταῦτα διέρχομαι ὑγρὰ κέλευθα.

Ὣς φάτο· τὴν δ' ὧδε προσεφώνειεν εὔκερως βοῦς·
Θάρσει, παρθενικὴ, μὴ δείδιθι πόντιον οἶδμα.
Αὐτός τε Ζεύς εἰμι, καὶ ἐγγύθεν εἴδομαι εἶναι
Ταῦρος· ἐπεὶ δύναμαί γε φανήμεναι ὅ,ττι ἐθέλοιμι.
Σὸς δὲ πόθος μ' ἀνέηκε τόσην ἅλα μετρήσασθαι,
Ταῦρον ἐειδόμενον. Κρήτη δέ σε δέξεται ἤδη,
Ἥ μ' ἔθρεψε καὶ αὐτόν· ὅπῃ νυμφήϊα σεῖο
Ἔσσεται· ἐξ ἐμέθεν δὲ κλυτοὺς φυτύσεαι υἷας,
Οἳ σκηπτοῦχοι ἅπαντες ἐπιχθονίοισιν ἔσονται.

Ὣς φάτο· καὶ τετέλεστο τά περ φάτο· φαίνετο μὲν δὴ
Κρήτη, Ζεὺς δὲ πάλιν ἑτέρην ἀνελάζετο μορφήν·
Λῦσε δὲ οἱ μίτρην, καὶ οἱ λέχος ἔντυον Ὧραι.
Ἡ δὲ πάρος κούρη Ζηνὸς γένετ' αὐτίκα νύμφη.
[Καὶ Κρονίδῃ τέκνα τίκτε, καὶ αὐτίκα γίνετο μήτηρ.]

---

καὶ οἱ παῖδες αὐτοῦ. — Ἐννεαετῆρες] κάτοικοι, παρὰ τὸ Ναίειν. 141. Αἰψη-

δίκην ὀρνίθων ἀναπτῆναι· ἐγὼ δὲ ἡ τάλαινα, τὸ πατρῷον καταλιποῦσα δῶμα, ἄγομαι ὑπὸ βοὸς, ξένον τοῦτον ποιοῦμαι πλοῦν, ἀποπλανωμένη μόνη· Ἀλλὰ σὺ, ὦ Πόσειδον, ὁ βασιλεύων τῆς θαλάσσης, ἵλεώς μοι γενοῦ· δοκῶ γάρ σε τοῦτον ὁρᾷν τὸν διευθύναντα τὸν πλοῦν εἰς ἐμὴν ὁδοιπορίαν· οὐ γὰρ θεῶν ἄνευ τοσοῦτον πέλαγος διαμετροῦμαι.

Ἡ μὲν ταῦτ' εἶπεν· ὁ δὲ ταῦρος πρὸς ταῦτα· Θάῤῥει, ὦ κόρη, μηδὲν φοβοῦ τὸ τῆς θαλάσσης κῦμα· ἐγὼ γάρ εἰμι ὁ Ζεὺς, ταύρου νῦν περικείμενος σχῆμα· καὶ γὰρ δύναμαι ὅ,τι ἂν βούλωμαι φανῆναι. ὁ σὸς δὲ ἔρως ἠνάγκασέ με τοσοῦτον πέλαγος περαιωθῆναι, ταύρου φύσιν μεταλαβών· καὶ ἤδη ὑποδέξεταί σε Κρήτη, ἡ κἀμὲ αὐτὸν τεκοῦσα· ἐξ ἐμοῦ δὲ τέξεις παῖδας περιφήμους· οἳ πολλῶν ἐθνῶν γενήσονται βασιλεῖς.

Ταῦτα καὶ οὗτος εἶπε· καὶ ὁ λόγος ἅμα εἰς πρᾶξιν ἦλθεν· ἅμα γὰρ φανείσης τῆς Κρήτης, ἀνέλαβεν αὖθις ὁ Ζεὺς τὴν προτέραν μορφὴν, καὶ τῶν Ὡρῶν ἐπικοσμησασῶν τὸ λέχος, ἔλυσεν αὐτῆς τὴν ζώνην· καὶ οὕτως ἡ μέχρι νῦν παρθένος οὖσα, τοῦ Διὸς ἐγένετο γαμετή.

---

ροῖς] ὠκυπτέροις. 144 Ξείνην ναυτιλίην] ἢ ὅτι εἰς ξένας θαλάσσας, ἢ ὅτι παράδοξον ὡς ἐπὶ βοὸς δὲ καὶ μᾶλλον. 151. Διαμετρήσασθαι] διαπλεῦσαι, διαπεραιωθῆναι. 156. Φιτύσεαι υἷας] τὸν Μίνω, τὸν Σαρπηδόνα, τὸν Ῥαδάμανθυν. 160. Ὧραι] θυγατέρες τοῦ Διὸς καὶ τῆς Θέμιδος. Εὐνομία, Δίκη, καὶ Εἰρήνη. Παρὰ δὲ Ὁμήρῳ εἰσὶ φύλακες τοῦ Οὐρανοῦ, καὶ ὑπηρετοῦσαι τοῖς θεοῖς ἐν Ὀλύμπῳ· ὁ δὲ τελευταῖος στίχος νόθος ἔοικεν παρεισφρῆσαι.

# ΕΠΙΤΑΦΙΟΣ ΒΙΩΝΟΣ.

## ΒΟΥΚΟΛΟΥ ΕΡΩΤΙΚΟΥ.

### *ΕΙΔΥΛΛΙΟΝ Γ΄.*

ΑΙΛΙΝΑ μοι στοναχεῖτε νάπαι, καὶ Δώριον ὕδωρ.
Καὶ ποταμοὶ κλαίοιτε τὸν ἱμερόντα Βίωνα.
Νῦν φυτά μοι μύρεσθε, καὶ ἄλσεα νῦν γοάοισθε·
Ἄνθεα νῦν στυγνοῖσιν ἀποπνείοιτε κορύμβοις.
Νῦν ῥόδα φοινίσσεσθε τὰ πένθιμα, νῦν ἀνεμώνα·
Νῦν ὑάκινθε λάλει τὰ σὰ γράμματα, καὶ πλέον αἲ αἲ
Βάμβαλε σοῖς πετάλοισι, καλὸς τέθνακε μελικτάς.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Ἀδόνες αἱ πυκινοῖσιν ὀδυρόμεναι ποτὶ φύλλοις,
Νάμασι τοῖς Σικελοῖς ἀγγείλατε τᾶς Ἀρεθοίσας,
Ὅττι Βίων τέθνακεν ὁ βωκόλος, ὅττι σὺν αὐτῷ
Καὶ τὸ μέλος τέθνακε, καὶ ὤλετο Δωρὶς ἀοιδά.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Στρυμόνιοι μύρεσθε παρ᾽ ὕδασιν αἴλινα κύκνοι,
Καὶ γοεροῖς στομάτεσσι μελίσδετε πένθιμον ᾠδάν,

---

1. Δώριον ὕδωρ] πότερον ἐπιθετικῶς ἐκληπτέον ταῦτα, ἵνα ᾖ, Δωρικὴ περὶ τὴν Σικελίαν θάλασσα, ἢ τὸ Δώριον συνεπινοεῖ τὸ Μέλος ἀναλόγως πρὸς τὸ Αἴλινα; ἄμεινον, οἶμαι, τὸ πρῶτον. 2. Βίων] ἦν δ᾽ οὗτος αὐτὸς ὁ προσηγνηθεὶς ποιητὴς ἐκ Σμύρνης, ὃς καὶ δηλητηρίῳ κατέστρεψεν, ὡς φησιν

# ΕΠΙΤΑΦΙΟΣ ΒΙΩΝΟΣ.

## ΒΟΥΚΟΛΟΥ ΕΡΩΤΙΚΟΥ.

### *ΕΙΔΥΛΛΙΟΝ Γ'.*

Ω νάπαι καὶ θάλασσα Δωρικὴ, στενάξατε τὸ τοῦ Βίωνος πάθος· κλαύσατε, ὦ ποταμοὶ, ἐράσμιον ἄνδρα ἀπολωλότα· νῦν πάντα φυτὰ θρηνεῖτε· νῦν οἱ δρυμῶνες ὀλοφύρεσθε· ὦ ἄνθη τῶν λειμώνων, ἐκ στυγνῶν παρακμάσαντα καλύκων, ἐποδύρεσθε· νῦν, ὦ ῥόδα καὶ ἀνεμώνη, νῦν μελανειμονοῦντα, πενθήσατε· νῦν καὶ σὺ, ὦ Ὑάκινθε, τὰ σαυτοῦ μέλπε γράμματα, ἐπαναλαμβάνων πολλάκις τὸ Αἴ ἐπὶ τῶν σαυτοῦ πετάλων· τέθνηκε γὰρ Βίων, ἀπώλετο ὁ ἄριστος τῶν ἀοιδῶν ἁπάντων.

Ἄρχετε Σικελικαὶ, ἄρχετε τοῦ πένθους Μοῦσαι.

Ὑμεῖς δὲ αἱ ἐν πυκνοῖς φύλλοις τῶν φυτῶν θρηνοῦσαι ἀηδόνες μηνύσατε τῇ ἐν Σικελίᾳ Ἀρεθούσῃ, ὅτι τέθνηκε ὁ Βίων ὁ βουκόλος, συντέθνηκε δ᾽ αὐτῷ καὶ ἡ μολπὴ, καὶ πᾶσα λυρικὴ συναπώλετο ᾠδή.

Ἄρχετε Σικελικαὶ, ἄρχετε τοῦ πένθους Μοῦσαι.

Ὦ ὑμεῖς οἱ περὶ τὸν Στρυμόνα κύκνοι, θρηνεῖτε καὶ ὑμεῖς παρὰ τοῖς ποταμοῖς ἄξια θρήνων, καὶ ἐκ γοερῶν στομάτων

---

¹ Μόσχος οὗτος, μαθητὴς αὐτοῦ ὑπάρχων. 6. Λάλει τὰ σὰ γράμματα] τὸ

Οἷαν ὑμετέροις ποτὲ χείλεσι γῆρυν ἄειδεν.
Εἴπατε δ' αὖ κώραις Οἰαγρίσιν, εἴπατε πάσαις
Βιστονίαις Νύμφαισιν, ἀπώλετο Δώριος Ὀρφεύς.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Κεῖνος ὁ ταῖς ἀγέλαισιν ἐράσμιος οὐκέτι μέλπει,
Οὐκέτ' ἐρημαίῃσιν ὑπὸ δρυσὶν ἥμενος ᾄδει·
Ἀλλὰ παρὰ Πλουτῆϊ μέλος λαθαῖον ἀείδει.
Ὤρεα δ' ἐστὶν ἄφωνα, καὶ αἱ βόες, αἱ ποτὶ ταύροις
Πλασδόμεναι, γοάοντι, καὶ οὐκ ἐθέλοντι νέμεσθαι.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος ἄρχετε Μοῖσαι.
Σεῖο, Βίων, ἔκλαυσε ταχὺν μόρον αὐτὸς Ἀπόλλων,
Καὶ Σάτυροι μύροντο, μελάγχλαινοί τε Πρίηποι·
Καὶ Πᾶνες στοναχεῦντι τὸ σὸν μέλος· αἵ τε καθ' ὕλαν
Κρανίδες ὠδύραντο, καὶ ὕδατα δάκρυα γέντο.
Ἀχὼ δ' ἐν πέτρῃσιν ὀδύρεται, ὅττι σιωπῇς,
Κοὐκέτι μιμεῖται τὰ σὰ χείλεα. σῷ δ' ἐπ' ὀλέθρῳ
Δένδρεα καρπὸν ἔριψε, τὰ δ' ἄνθεα πάντ' ἐμαράνθη.
Μάλον οὐκ ἔῤῥευσε καλὸν γλάγος, οὐ μέλι σίμβλων,
Κάτθανε δ' ἐν καρῷ, λυπεύμενον· οὐκέτι γὰρ δεῖ,
Τῶ μέλιτος τῶ σῶ τεθνακότος, αὐτὸ τρυγᾶσθαι.

---

Αἱ Αἱ. Ἴδε Θεοκ. Εἰδ. I. στίχ. 28. — 16. Ἄειδεν] τίς οὗτος; ἢ αὐτὸς οὗτος ὁ Βίων, ὡς διδάσκαλος μουσικῆς γεγονὼς καὶ τοῖς κύκνοις. 17. Οἰαγρίσιν] τοῖς θυγατράσι μὲν Οἰάγρου βασιλέως τῆς Θρᾴκης, ἀδελφαῖς δὲ τοῦ Ὀρφέως· ἐν Θρᾴκῃ δε ἦν καὶ ἡ Βιστώνα, ἐξ ἧς ὠνομάσθησαν αἱ Νύμφαι. 18. Δώριος Ὀρφεύς, ὁ Βίων ὁ Δωριστὶ γράψας. 22. Πλουτῆϊ] Πλούτωνι· παρὰ τὸ Πλουτεύς, ἕτερος οὗτος σχηματισμός. Τὸ δὲ λαθαῖον ἀντὶ ληθαῖον παρὰ τὸ Λήθη· ὡς καὶ Ληθαῖον ὕδωρ τὸ τῆς Λήθης ἐν Ἅδου. 26. Πρίηποι]

πένθιμον ἱστᾶτε μέλος, ἀναμνησθέντες, οἵαν πότ' ἐκεῖνος διὰ τῶν χειλέων ὑμῶν ἔμελπε μελῳδίαν· ἀπαγγείλατε ταῖς Οἰαγρίσι κόραις, εἴπατε πάσαις ταῖς Βιστονίαις Νύμφαις, ὅτι τέθνηκεν ὁ Δώριος Ὀρφεύς.

Ἄρχετε Σικελικαί, ἄρχετε τοῦ πένθους Μοῦσαι.

Βίων ὁ περιπόθητος ταῖς ἑαυτοῦ γενόμενος ἀγέλαις, οὐκέτι μέλπει, οὐκέτι καθήμενος ὑπὸ δρυσὶν ἐν ἐρημίαις· ᾄσει δὲ λαμθάνων ἡμᾶς παρὰ τῷ Ἅδῃ· ἐνταῦθα δὲ τὰ ὄρη εἰσὶ κατηφῆ ἐν ἀφωνίᾳ, καὶ αἱ βόες ἑπόμεναι τοῖς ταύροις, οὐκ ἐθέλουσι πόας μεταλαμβάνειν.

Ἄρχετε Σικελικαί, ἄρχετε τοῦ πένθους Μοῦσαι.

Τὸν σὸν ἄωρον θάνατον, ὦ Βίων, ἐθρήνησεν αὐτὸς Ἀπόλλων· Ἀλλὰ τί ἂν λέγοιμι Σατύρους, καὶ μελανειμονοῦντας Πριαπίδας, ἢ τοὺς ἀμφὶ τὸν Πᾶνα, ὅσον ἔκλαυ αν, ὦ Βίων, τὸ σὸν πενθοῦντες μέλος; ἀλλὰ καὶ αὐταὶ αἱ τῶν κρηνῶν ἡδεῖαι Νύμφαι, τὰ ὕδατα εἰς δάκρυα μεταβαλοῦσαι, λίαν ἐδάκρυσαν τὸ πάθος· ἐῶ δὲ λέγειν, ὅτι καὶ ἡ Ἠχὼ, ἐκ τῶν πετρῶν ὀδυρομένη, οὐκέτι, σοῦ σιγῶντος, ἐθέλει τὰ σὰ μιμεῖσθαι χείλη· τά τε γὰρ δένδρα τὸν ἑαυτῶν καρπὸν ἀπέβαλον ἐπὶ τῷ πένθει, καὶ τὰ ἄνθη εὐθὺς κατεμαράνθη· οὐδὲ τὰ τῶν οἰῶν οὔθατα συνήθως ἀπέδωκε τὸ γάλα· οὐδὲ τὰ σίμβλα μέλι· ἀπέφθινε γὰρ τοῦτο ἐν τῷ κηρῷ, ἐπὶ τῷ σῷ λελυπημένον πάθει, κοὐκ ἀξιοῖ, τοῦ σοῦ μέλιτος ἐκλελοιπότος, αὐτὸ τρυγᾶσθαι πλέον.

---

Πρίαπος, θεὸς ἀσελγὴς κατ' ἐπέκτασιν τοῦ αἰδείου· εἰκόνιζον δὲ διὰ τούτου τὴν τῆς φύσεως γονιμότητα. 28. Κρανίδες] αἱ τῶν Κρηνῶν Νύμφαι. 36.

Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Οὐ τόσον εἰναλίαισι παρ' ᾀόσι μύρατο δελφίν,
Οὐδὲ τόσον ποκ' ἄεισιν ἐνὶ σκοπέλοισιν ἀηδών,
Οὐδὲ τόσον θρήνησεν ἀν' ὤρεα μακρὰ χελιδών,
Ἀλκυόνος δ' οὐ τόσσον ἐπ' ἄλγεσιν ἴαχε Κήϋξ·
[Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι·]
Οὐδὲ τόσον γλαυκοῖς ἐνὶ κύμασι Κηρύλος ᾆδεν,
Οὐ τόσον ἀῴοισιν ἐν ἄγκεσι παῖδα τὸν Ἀοῦς,
Ἱπτάμενος περὶ σᾶμα, κινύρατο Μέμνονος ὄρνις,
Ὅσσον ἀποφθιμένοιο κατωδύραντο Βίωνος.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Ἀδονίδες, πᾶσαί τε χελιδόνες, ἅς ποκ' ἔτερπεν,
Ἃς λαλέειν ἐδίδασκε, καθεσδόμεναι ποτὶ πρέμνοις,
Ἀντίον ἀλλάλαισιν ἐκώκυον· αἱ δ' ὑπεφώνευν
Ὄρνιθες, λυπεῖσθε πελειάδες ἀλλὰ καὶ ὑμεῖς.
Ἄρχετε Σικελικαί, τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Τίς ποτὶ σᾷ σύριγγι μελίξεται, ὦ τριπόθατε;
Τίς δ' ἐπὶ σοῖς καλάμοις θησοῖ στόμα; τίς θρασὺς οὕτως;
Εἰσέτι γὰρ πνείει τὰ σὰ χείλεα, καὶ τὸ σὸν ἆσθμα.
Ἀχὼ δ' ἐν δονάκεσσι τεὰς ἐπιβόσκετ' ἀοιδάς.
Πανὶ φέρω τὸ μέλιγμα· τάχ' ἂν κἀκεῖνος ἐρεῖσαι
Τὸ στόμα δειμαίνοι μὴ δεύτερα σεῖο φέρηται.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.

---

Ἀόσι] Ἠόσι. 37. Ἀηδὼν καὶ Χελιδὼν] τὸ τοῦ Ἴτυος ἐννοεῖ πάθος Πρόκνης καὶ Φιλομήλης. 39. Κήϋξ] βασιλεὺς Τραχινίας χώρας, ὁ ἀνὴρ τῆς Ἀλκυόνης, ἣν μετέβαλεν ἡ Ἥρα εἰς ὁμώνυμον πτηνὸν τὴν Ἀλκυόνην. 40. [Ἄρχετε] τοῦτο περιττῶς δοκεῖ εἰσφῆσαι, ὡς διακόπτον τὴν ἕνωσιν τοῦ λά-

Ἄρχετε Σικελικαὶ, ἄρχετε τοῦ πένθους Μοῦσαι.

Μήτε δελφίν ποτε τοσοῦτον ἐθρήνησε παρὰ τὰς ἠϊόνας, μήτε ἀηδὼν ὠδύρατο ἐπὶ τῶν θάμνων, μήτε χελιδὼν ἐκώκυσέ ποτε ἀνὰ τὰ ὄρη, μήθ' ὁ Κηΰξ ὠλόλυξε διὰ τὸ τῆς Ἀλκυόνος ἄλγος, μήθ' ὁ Κηρύλος τοσοῦτον ἐπὶ τῶν κυμάτων ᾖσε, μήτε ὄρνις, περιϊπτάμενος τὸ τοῦ Μέμνωνος μνῆμα, ἐθρήνησεν αὐτὸν ὡς παῖδα τῆς Ἠοῦς ἐν τοῖς ἑῴαις νάπαις, ὅσον ταῦτα πάντα ἤλγησαν ἐπὶ Βίωνι ἀποθανόντι.

Ἄρχετε Σικελικαὶ, ἄρχετε τοῦ πένθους Μοῦσαι.

Ἀηδόνες τε καὶ χελιδόνες, ἃς ἐκεῖνός ποτε ἔθελγε τῷ μέλει, ἃς ἐδίδασκε λαλεῖν, παρακαθήμεναι ἀλλήλαις ἐν τοῖς κλάδοις, ἐθρήνουν συναυλίαν· αἱ δὲ ὄρνιθες ὑπεφώνουν, συνθρηνήσατε καὶ ὑμεῖς, ὦ Πελειάδες, μεριζόμεναι τὰ πάθει.

Ἄρχετε Σικελικαὶ, ἄρχετε τοῦ πένθους Μοῦσαι.

Τίς, ὦ τριπόθητε Βίων, τίς τῇ σῇ σύριγγι χρήσασθαι θαῤῥήσει; τίς στόμα τοῖς σοῖς καλάμοις ἐφαρμόσει; τὶς ἐς τοσοῦτον ἀφίξεται τόλμης; τὰ γὰρ σὰ χείλη καὶ τὸ ᾆσμα ἔτι ἐμπνεῖ ἐκείνῃ· καὶ ἡ Ἠχὼ δοκεῖ μοι ἔτι ἀντηχεῖν, ἐκ τῆς σῆς ᾠδῆς ἐντρεφομένη τοῖς καλάμοις· Οὐκοῦν αὐτῷ τῷ Πανὶ ἄξιον τὴν σύριγγα προσφέρειν, εἰμὴ κἀκεῖνος ἐνδοιάζοι ἐφαρμόσαι αὐτῇ τὰ χείλη, δεδιὼς μή σου ἀπενέγκηται τὰ δευτερεῖα·

Ἄρχετε Σικελικαὶ, ἄρχετε τοῦ πένθους Μοῦσαι.

---

γου. 41. Κηρύλος] θαλάσσιον πτηνόν· οἴονταί δέ τινες τὸν ἄῤῥενα τῆς Ἀλκυόνος εἶναι. 43. Μέμνονος] Μέμνων υἱὸς Τιθωνοῦ καὶ τῆς Ἠοῦς βασιλεὺς τῶν Αἰθιόπων. 54. Τεας ἐπιβόσκεται ἀοιδὰς] ἡ Ἠχὼ, φησὶν, ἔτι βομβεῖ ἐν τοῖς καλάμοις τρεφομένη καὶ διαρκοῦσα ἔτι τῷ σῷ ἐμφυσήματι, ὁπότε ἐ-

Κλαίει καὶ Γαλάτεια τὸ σὸν μέλος, ἅν ποκ' ἔτερπες,
Ἑσδομέναν περὶ σεῖο παρ' αἰόνεσσι θαλάσσας.
Οὐ γὰρ ἴσον Κύκλωπι μελίσδεο· τὸν μὲν ἔφευγεν
Ἁ καλὰ Γαλάτεια, σὲ δ' ἅδιον ἔβλεπεν ἅλμας.
Καὶ νῦν λασαμένα τῶ κύματος ἐν ψαμάθοισι
Ἕσδετ' ἐρημαίαισι, βόας δ' ἔτι σεῖο νομεύει.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Πάντα τοι, ὦ βῶτα, ξυγκάτθανε δῶρα τὰ Μοισᾶν,
Παρθενικᾶν ἐρόεντα φιλάματα, χείλεα παίδων·
Καὶ στυγνοὶ περὶ σᾶμα τεὸν κλαίουσιν Ἔρωτες.
Ἁ Κύπρις φιλέει σε πολὺ πλέον, ἢ τὸ φίλαμα,
Τὸ πρώαν τὸν Ἄδωνιν ἀποθνάσκοντα φίλασε.
Τοῦτό τοι, ὦ ποταμῶν λιγυρώτατε, δεύτερον ἄλγος,
Τοῦτο, Μέλη, νέον ἄλγος· ἀπώλετο πρὰν τοι Ὅμηρος,
Τῆνο τὸ Καλλιόπας γλυκερὸν στόμα, καί σε λέγοντι
Μύρεσθαι καλὸν υἷα πολυκλαύτοισι ῥεέθροις,
Πᾶσαν δ' ἔπλησας φωνᾶς ἅλα· νῦν πάλιν ἄλλον
Υἷα δακρύεις, καινῷ δ' ἐπὶ πένθεϊ τάκῃ.
Ἀμφότεροι παγαῖς πεφιλαμένοι· ὃς μὲν ἔπινε
Παγασίδος κράνας, ὁ δ' ἔχεν πόμα τᾶς Ἀρεθοίσας.
Χὤ μὲν Τυνδαρέοιο καλὰν ἄεισε θύγατρα,
Καὶ Θέτιδος μέγαν υἷα, καὶ Ἀτρείδαν Μενέλαον·
Κεῖνος δ' οὐ πολέμως, οὐ δάκρυα, Πᾶνα δ' ἔμελπε,
Καὶ βώτας ἐλίγαινε, καὶ ἀείδων ἐνόμευε,

---

νεφύσας. 60 Κύκλωπι] ἴδε Θεόκ. Εἰδ. ια. — 69 Τὸ φίλημα φίλησεν· ἴδε Βίωνος Εἰδ. Α. στίχ. 10. καὶ ἑξῆς. 77] Μέλης] ποταμὸς ἐν τῇ Ἀσίᾳ, πατὴρ τοῦ Ὁμήρου ὑποτιθέμενος. 77 Παγασίδος] ἀντὶ Πηγασίδος· ἐκ τοῦ

Κλαίει δὲ οὐχ ἧττον καὶ ἡ Γαλάτεια αὐτὴ τὴν σὴν μολπὴν, ἥν ποτε ηὔφραινες ἄδων καθημένην διὰ σὲ παρὰ τὴν ἠϊόνα· τὸ γὰρ σὸν πρὸς τὸ τοῦ Κύκλωπος οὐ ταὐτὸν ἦν μέλος· ἐκεῖνον μὲν γὰρ ἀεὶ ἡ καλὴ ἔφευγε Γαλάτεια, σὲ δὲ ἥδιον ἑώρα τῆς θαλάσσης· καὶ νῦν ἐπιλαθομένη τῆς ἀβύσσου, ἐν αἰγιαλοῖς πη καθημένη διατρίβει, τὴν σὴν ἐν ἐρήμοις πῆ ἐπιβόσκουσα ἀγέλην.

Ἄρχετε Σικελικαὶ, ἄρχετε πένθεος Μοῦσαι.

πάντα σοι, ὦ Βίων, τὰ τῶν Μουσῶν συναπώλοντό σοι τά τε τῶν παρθένων καὶ παίδων φιλήματα, οἱ δὲ Ἔρωτες αὐτοὶ, περὶ τὸν σὸν συνωφρυωμένοι τάφον, μαρτυροῦσι διαπρύσιον τὸ πάθος· καὶ ἡ Κύπρις πολλῷ μᾶλλόν σε, ἢ τὸν Ἄδωνιν πρῴην ἐφίλησεν ἀποθανόντα, ὁπότ' αὐτῷ τὸ ὕστατον ἀπέδωκε φίλημα· Ὦ Μέλη, πάντων ποταμῶν λιγυρώτατε, τοῦτ' ἄρα σοι δεύτερον ἄλγος, τοῦτό σοι νέον βέλος· τέθνηκε γὰρ Ὅμηρός ποτε, τὸ γλυκερὸν ἐκεῖνο τῆς Καλλιόπης στόμα, καί φασι μέγα σε πεποιῆσθαι πένθος ἐπὶ τούτῳ, ὁπότε πολλῶν δακρύων ῥείθροις ἀγαθὸν ἀπωλοφύρου παῖδα, πᾶσαν τὴν θάλασσαν ἐμπλήσας θρήνου· νῦν δ' αὖ ἕτερον δακρύεις παῖδα, νέῳ αὖθις τηκόμενος πάθει τούτῳ· ἦσαν δ' ἄμφω πεφιλημένοι παρὰ τῶν πηγῶν, ὁ μὲν τῆς Παγασίδος, ὁ δὲ τῆς Ἀρεθούσης· ἐξ ὁποτέρας ἐτύγχανεν ἑκάτερος ἀρυόμενος· καὶ ὁ μὲν τὴν Τυνδαρίδ' Ἑλένην, καὶ τὸν τῆς Θέτιδος ἥρω, καὶ Μενέλαον τὸν τοῦ Ἀττρέως ἦν ἐξυμνηκὼς, ὁ δὲ οὐ πολέμους καὶ δάκρυα, ἀλλὰ τὸν Πᾶνα ᾖδε, καὶ ἄδων ἔβοσκε τὰς βοῦς, καὶ βόσκων, τοὺς βουκόλους ηὔφρανε τῷ

---

Πηγάσιος· ἦν δὲ πηγὴ ἐν τῇ Ἀσίᾳ, ὥσπερ ἡ Ἀρέθουσα, ἐν Σικελίᾳ. 86. Η

Καὶ σύριγγας ἔτευχε, καὶ ἁδέα πόρτιν ἄμελγε,
Καὶ παίδων ἐδίδασκε φιλάματα, καὶ τὸν Ἔρωτα
Ἔτρεφεν ἐν κόλποισι, καὶ ἤρεθε τὰν Ἀφροδίταν.
Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Πᾶσα, Βίων, θρηνεῖσε κλυτὴ πόλις, ἄστεα πάντα.
Ἄσκρα μὲν γοάει σε πολὺ πλέον Ἡσιόδοιο·
Πίνδαρον οὐ ποθέοντι τόσον Βοιωτίδες Ὗλαι·
Οὐ τόσον Ἀλκαίῳ πέρι μύρατο Λέσβος ἐραννά·
Οὐδὲ τόσον τὸν ἀοιδὸν ἐμύρατο Κήϊον ἄστυ·
Σὲ πλέον Ἀρχιλόχοιο ποθεῖ Πάρος· ἀντὶ Σαπφοῦς
Εἰσέτι σεῦ τὸ μέλιγμα κινύρεται ἁ Μιτυλάνα.
Πάντες, ὅσοις καπυρὸν τελέθει στόμα, βωκολιασταὶ
Ἐκ Μοισᾶν, σέο πότμον ἀνακλαίοντι θανόντος.
Κλαίει Σικελίδας, τὸ Σάμου κλέος· ἐν δὲ Κύδωσιν,
Ὁ πρὶν μειδιόωντι σὺν ὄμματι φαιδρὸς ἰδέσθαι,
Δάκρυα νῦν Λυκίδας κλαίων χέει· ἔν τε πολίταις
Τριοπίδαις ποταμῷ θρηνεῖ παρ' Ἄλεντι Φιλητᾶς·
Ἐν δὲ Συρακοσίοισι Θεόκριτος· αὐτὰρ ἐγώ τοι
Αὐσονικᾶς ὀδύνας μέλπω μέλος, οὐ ξένος ᾠδᾶς
Βουκολικᾶς, ἀλλ', ἅντ' ἐδιδάξαο σεῖο μαθητὰς,
Κλαρονόμος Μώσας τᾶς Δωρίδος ἄμμε γεραίρων,

---

κλυτὴ πόλις] ἡ Σμύρνη. 87. Ἄσκρη] κώμη τῆς Βιωτίας ἐπὶ τοῦ Ἑλικῶνος, πατρὶς τοῦ Ἡσιόδου. 88. Ὕλαι] Ὕλη θυγάτηρ ἦν Θεσπίου· ἐξ ἧς ἡ πόλις Ὕλαι, 89. Ἀλκαῖος] Μιτυληναῖος περίφημος λυρικὸς, καὶ εἰς ἀνειμένον ἐκδεδομένος βίον. 90. Τὸν ἀοιδὸν] Σιμωνίδης οὗτος ὑπάρχει· 91. Ἀρχίλοχος] ἀρχαῖος λυρικὸς ἐκ τῆς Πάρου· ἐνομίζετο δὲ δεύτερος μεθ' Ὅμηρον ἐν τῇ ποιήσει· ἦν δ' οὖν τὰ ποιήματα αὐτοῦ σκωπτικὰ, καὶ σατυρικῆς κακοηθείας πλήρη· ὥστε ἀπηγόρευται ἀναγινώσκεσθαι ἐν Σπάρτῃ· 95. Σικελίδας] ποιη-

μέλει· σύριγγάς τε τεκταίων, καὶ τὰς δαμάλας ἀμέλγων, καὶ παίδων διδάσκων φιλήματα, τόντ' Ἔρωτα ἔτρεφεν ἐν κόλποις, καὶ τὴν Ἀφροδίτην ἔθελγε τῷ μέλει.

Ἄρχετε Σικελικαὶ, ἄρχετε τοῦ πένθους Μοῦσαι.

Οὐ μόνον ἡ Σμύρνη, ὦ Βίων, ἀλλὰ καὶ πᾶσαι ἐθρήνησάν σε πόλεις· ἡ μὲν γὰρ Ἄσκρη πολλῷ μᾶλλον σε, ἢ Ἡσίοδον ἔκλαυσε· Πίνδαρον δὲ ποθοῦσιν αἱ Βοιωτίδες Ὕλαι· ἡ δὲ ἐράσμιος Λέσβος οὐ τοσοῦτον ἐπένθησεν Ἀλκαῖον, μήθ' ἡ Κεῖος τὸν ἑαυτῆς ἀσματογράφον· καὶ ἡ Πάρος πλέον ἐπένθησέ σε καὶ αὐτοῦ τοῦ Ἀρχιλόχου· ἡ δὲ Μιτυλήνη ἐπί σοι μᾶλλον ἢ τῇ Σαπφοῖ ἀλγεῖ, τοῦ μέλους στερηθεῖσα· ἀλλὰ καὶ οἷ βουκολικὴν ᾠδὴν εἰλήχασι παρὰ τῶν Μουσῶν, ὅσοις μάλιστα λιγυρόν ἐστι καὶ βροντοφῶνον στόμα, καὶ οὗτοι ὀλοφύρονται ἐπὶ τῷ σῷ θανάτῳ· ὀλοφύρεται μὲν Σικελίδας, ἐφ' ᾧ μέγα σεμνύνεται ἡ Σάμος· κλαίει δὲ καὶ ὁ Λυκίδας, ἐξ ὀμμάτων φαιδρῶν καὶ μειδιώντων πηγὰς δακρύων χέων· καὶ ἐν Τριοπίαις παρὰ τῷ Ἄλεντι ποταμῷ ὁ Φιλητᾶς πένθος ἐπὶ σοὶ ἀναβάλλεται μέγα, ταὐτὰ δὲ ποιεῖ καὶ Θεόκριτος ἐν Συρακούσαις· ἐγὼ δ' αὖ, κληρονόμος ὢν Μούσης Δωρίδος, ἣν παρά σου ἐσμὲν μεμαθηκότες, ἐν ταύτῃ, οὐκ ἄλλῃ Αὐσονικὸν ὀδύνης σοι ἐπάσω μέλος· γεραίρων γὰρ ἡμᾶς τοῖς σαυ-

---

τῆς ἐκ Σάμου· ὥσπερ αὖ καὶ ὁ Λυκίδης τῶν Κυδώνων ἐν τῇ Κρήτῃ· Ἄλης δὲ ὁ αὐτὸς καὶ παρὰ Θεοκρίτῳ. Εἰδ. Ζ. στίχ. 1. Φιλητᾶς δὲ Κῷος· ἴδε περὶ τούτων καὶ Θεόκριτον Εἰδ. Ζ. στίχ. 40. — 100. Αὐσονικᾶς] Αὐσονία χώρα τῆς Ἰταλίας. 102. Ἄμμε γεραίρων] ὡς εἰ ἔλεγε, ἐγώ εἰμι ἀντὶ σοῦ σοφὸς ποιητής· σὺ γὰρ παρασχὼν ἡμῖν τοῖς ζῶσι τὰ σαυτοῦ, ἄλλοις παρέσχες

Ἄλλοις μὲν τεὸν ὄλβον, ἐμοὶ δ' ἀπέλειπες ἀοιδάν·
  Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Αἲ, αἲ, ταὶ μαλάχαι μὲν ἐπὰν κατὰ κᾶπον ὄλωνται,
Ἠ τὰ χλωρὰ σέλινα, τό, τ' εὐθαλὲς οὖλον ἄνηθον,
Ὕστερον αὖ ζώοντι, καὶ εἰς ἔτος ἄλλο φύοντι·
Ἄμμεις δ' οἱ μεγάλοι καὶ καρτεροὶ ἢ σοφοὶ ἄνδρες,
Ὁππότε πρᾶτα θάνωμες, ἀνάκοοι ἐν χθονὶ κοίλᾳ
Εὕδομες εὖ μάλα μακρὸν ἀτέρμονα νήγρετον ὕπνον.
Καὶ σὺ μὲν ἐν σιγᾷ πεπυκασμένος ἔσσεαι ἐν γᾷ·
Ταῖς Νύμφαισι δ' ἔδοξεν ἀεὶ τὸν βάτραχον ᾄδειν·
Τῷ δ' ἐγὼ οὐ φθονέοιμι· τὸ γὰρ μέλος οὐ καλὸν ᾄδει.
  Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Φάρμακον ἦλθε, Βίων, ποτὶ σὸν στόμα, φάρμακον εἶδες.
Πῶς τευ τοῖς χείλεσσι ποτέδραμε, κοὐκ ἐγλυκάνθη;
Τίς δὲ βροτὸς τοσσοῦτον ἀνάμερος, ἢ κεράσαι τοι,
Ἢ δοῦναι λαλέοντι τὸ φάρμακον, ἔκφυγεν ᾠδάν;
  Ἄρχετε Σικελικαὶ τῶ πένθεος, ἄρχετε Μοῖσαι.
Ἀλλὰ δίκα κίχε πάντας. ἐγὼ δ' ἐπεὶ πένθεϊ τῷδε
Δακρυχέων τεὸν οἶτον ὀδύρομαι· εἰ δυνάμαν δὲ,

---

πλοῦτον, ἐμοὶ δὲ κατέλιπες τὴν σαυτοῦ σοφίαν. 112. Τὸν βάτραχον ᾄδειν τοῦτ' οὐκ' οἶδα ὅτι βούλεται δηλοῦν· τραχύν τινα καὶ παράμουσον ποιητὴν ἔοικεν ἐννοεῖν· καθ' ὃ καὶ παροιμία, βατράχου ἐστὶν ἀπραγώτερος ἐπὶ τῶν μὴ ἐπιτηδείων εἰς πρᾶξίν τινα· διὸ καὶ ἐπιφέρει, οὐ φθονῷ αὐτῷ κακῶς ᾄδοντι· πρὸς γὰρ τὰ κακὰ φθόνος οὐχ' ἕρπει. 115. Εἶδες] ἴσως γραπτέον, εἶλκες· ἐντεῦθεν δὲ δῆλον ὅτι φαρμάκῳ τέθνηκε Βίων. 118. Ἔκφυγεν ᾠδὴν] οὐκ ἤκουσε τὴν ᾠδὴν, ὥστε ἀφεθῆναι τοῦ κακοῦ σκοποῦ· ὡς εἰ ἔλεγε, τίς οὕτως ἀνήμερος καὶ ἀνάλγητος ἦν, ὃς ἐν τῷ δοῦναι αὐτῷ τὸ φάρμακον ἀ-

τοῦ, τοῖς μὲν ἄλλοις κατέλιπες πλοῦτον, ἐμοὶ δὲ μοῦσαν.

Ἄρχετε Σικελικαὶ, ἄρχετε τοῦ πένθους Μοῦσαι·

Φεῦ φεῦ· αἱ μὲν μαλάχαι καὶ τὰ χλωρὰ σέληνα, καὶ τὸ εὔοσμον ἄνηθον μαραίνονται μὲν, καταπίπτοντα ἐν κήποις, ἀλλ' ἀναφυόμενα κατ' ἔτος, διασώζονται· ἡμεῖς δὲ οἱ μεγάλοι ἥρωές τε καὶ σοφοὶ, ἐπειδὰν ἅπαξ ἀπαλλάξωμεν ἐντεῦθεν, οὐκέθ' ὁρῶμεν τὴν ἡμέραν, ἐν τοῖς τῆς γῆς κόλποις τὸν ἀΐδιον καθεύδοντες ὕπνον· οὕτω καὶ σὺ ἐν τῇ γῇ περικεκαλυμμένος ἔσῃ· ταῖς δὲ Νύμφαις τὸν βάτραχον ἔδοξεν ᾄδειν· καί τοι ἔγωγε τούτῳ μὲν οὐκ ἂν φθονοίην, κακὸν ᾄδοντι μέλος.

Ἄρχετε Σικελικαὶ, ἄρχετε τοῦ πένθους Μοῦσαι.

Φάρμακον, ὦ Βίων, φάρμακον ὀλέθριον εἰς τὸ σὸν ἐχύθη στόμα, φάρμακον δηλητήριον ἐδέξω· ἀλλὰ πῶς τοῦτ' ἐμπεσὸν τοῖς σοῖς γλυκίστοις χείλεσιν, οὐ μετέβαλεν εἰς μέλι; τὶς δὲ τῶν ἀνθρώπων τοσοῦτον ἀνάλγητος, τοσοῦτον ἦν ἀπηνὴς, ὥστ' ἐτόλμησέ σοι τοῦτο κεράσαι; ἢ τὶς λαλοῦντί σοι ἐγχέαι, ἐδύνατ' ἂν ἀποφυγεῖν τὴν δίκην;

Ἄρχετε Σικελικαὶ, ἄρχετε τοῦ πένθους Μοῦσαι.

Ἀλλ' ἐκείνοις μὲν ἔχοι θεὸς ἔκδικον ὄμμα· ἐγὼ δὲ τὸ σὸν προτιθέμενος πάθος, δάκρυα ἀπὸ τῶν ὀφθαλμῶν κατασπένδων, καὶ στεναγμοὺς ἀναπέμπων ἀπὸ καρδίας, ὀδύρομαι σφόδρα· εἰ δὲ οἷός τε ἦν καταβῆναι καὶ εἰς Ἅδην, ὡς Ὀρ-

---

δοντι, οὐκ ἐθέλχθη ὑπὸ τῆς ᾠδῆς, ἀλλ' ἐξέφυγεν αὐτοῦ ἡ ᾠδή; ἀλλὰ μήτει γραπτέον Δίκην ἀντὶ τοῦ ᾠδήν· τοῦθ' οὕτως ἐγὼ οἷός τε ἐγενόμην νοῆσαι· σὺ δὲ ζήτει καὶ περαιτέρω ἕτερος γάρ τις ἔγραψεν.

» Ἢ δεῦν' οὐκ ἀλέων τοι φάρμακον ἐκφυγεῖν ᾠδ' ἄν;

Ὡς Ὀρφεὺς, καταβὰς ποτὶ Τάρταρον, ὥς ποκ' Ὀδυσσεὺς,
Ὡς πάρος Ἀλκείδας, κἠγὼ τάχ' ἂν ἐς δόμον ἦλθον
Πλουτέος, ὥς κεν ἴδοιμι, καὶ, εἰ Πλουτῆϊ μελίσδεις,
Ὡς ἂν ἀκουσαιμαν, τί μελίσδεαι· ἀλλ' ἐπὶ Κώρᾳ
Σικελικόν τι λίγαινε, καὶ ἁδύ τι βωκολιάσδευ.
Σικελικὰ κᾀκείνα ἐν Αἰτναίοισιν ἔπαιξεν
Ἄγκεσι, καὶ μέλος οἶδε τὸ Δώριον· οὐκ ἀγέραστος
Ἐσσεῖτ' ἁ μολπά· χ' ὡς Ὀρφέϊ πρόσθεν ἔδωκεν
Ἁδέα φορμίσδοντι παλίσσυτον Εὐρυδίκειαν,
Καὶ σὲ, Βίων, πεμψεῖ τοῖς ὤρεσιν. εἰ δέ τι κἠγὼν
Συρίσδων δυνάμαν. παρὰ Πλουτέϊ κᾀυτὸς ἄειδον.

---

122. Ὀδυσσεὺς] ἴδε Ὅμ. Ὀδ. Λ'. Πάντα ἑξῆς. 123. Ἀλκείδας] Ἀλκεὺς, Ἀλκέως, Ἀλκείδας πατρωνυμικὸν ἀπὸ τοῦ πάππου. Ἀλκεὺς γὰρ, ὁ καὶ Ἀλκαῖος, ὁ πατὴρ τοῦ Ἀμφιτρύωνος, 127. Ἔπαιξε] αὐτοῦ γὰρ ἡρπάγη ἀπὸ τοῦ Πλου-

φεύς ποτε, καὶ Ὀδυσσεὺς ἐκεῖνος, καὶ πρὸ τούτου ὁ Ἀμφυτρυονίδης, ταχέως κἀγὼ κατῆλθον, ἔνθα κατοικεῖ ὁ Πλούτων, ἵν' ἴδοιμι ὅ,τι ποτὲ κἀκεῖνον μέλπων, θέλγεις· ἀλλὰ σύγε Σικελικόν τι μέλος ᾄσαις τῇ Περσεφόνῃ· οἶδε γὰρ αὕτη τὸ δώριον, πολλάκις παίξασα τοιαῦτα ἐν ταῖς τῆς Αἴτνης νάπαις· οὐ γὰρ ἀχάριστόν σοι παρ' ἐκείνης τοῦτο ἔσται· καὶ γὰρ καὶ τῷ Ὀρφεῖ αὐτῷ ποτε λιγυρὸν κιθαρίσαντι μέλος, ἀπέδωκεν αὐτῷ τὴν φίλην Εὐρυδίκειαν· εἰκὸς οὖν καί σε ἀναπέμψαι παλινάγρετον ἀνὰ τὰ ὄρη· εἰδέ τι κἀγὼ οἷός τε ἦν παρὰ τῷ Πλούτωνι σύριγγι χρῆσθαι, οὐκ ἂν ἀνηνάμην.

---

τωνος ἡ Περσεφόνη. 129. Ὀρφεῖ] Εὐρυδίκης τῆς αὐτοῦ γυναικὸς δήγματι ὄφεως ἀποθανούσης νέας, τοσοῦτον λυπηρὸν ᾖσε μέλος ἐπ' αὐτῇ, ὥστ' ἐκίνησε τὸν Πλούτωνα ἀναπέμψαι αὐτῷ τὴν φίλην γυναῖκα ἐς τὸν βίον. 132. Συρίσδων] τί μὴ γραπτέον, Συρίσδειν;

# ΜΕΓΑΡΑ

## *ΓΥΝΗ ΗΡΑΚΛΕΟΥΣ.*

## *ΕΙΔΥΛΛΙΟΝ Δ'.*

Ματερ ἐμὰ, τίφθ' ὧδε φίλον κατὰ θυμὸν ἰάπτεις,
Ἐκπάγλως ἀχέοισα, τὸ πρὶν δέ τοι οὐκέτ' ἔρευθος
Σώζετ' ἐπὶ ῥεθέεσσι; τί μοι τόσον ἠνίησαι;
Ἦ ῥ' ὅτι ἄλγεα πάσχει ἀπείριτα φαίδιμος υἱὸς
Ἀνδρὸς ὑπ' οὐτιδανοῖο, λέων ὡσεί θ' ὑπὸ νεβροῦ;
Ὤ μοι ἐγὼ, τί νύ μ' ὧδε θεοὶ τόσον ἠτίμασαν
Ἀθάνατοι; τί νύ μ' ὧδε κακῇ γονέες τέκον αἴσῃ;
Δύσμορος, ἥτ' ἐπεὶ ἀνδρὸς ἀμύμονος ἐς λέχος ἦλθον.
Τὸν μὲν ἐγὼ τίεσκον ἴσον φαέεσσιν ἐμοῖσιν,
Ἠδ' ἔτι νῦν σέβομαί τε καὶ αἰδέομαι κατὰ θυμόν.
Τοῦ δ' οὔτις γένετ' ἄλλος ἀποτμότερος ζωόντων,
Οὐδὲ τόσων σφετέρησιν ἐγεύσατο φροντίσι κηδέων.
Σχέτλιος, ὃς τόξοισιν, ἃ οἱ πόρεν αὐτὸς Ἀπόλλων,
Ἠέ τινος Κηρῶν, ἢ Ἐριννύος αἰνὰ βέλεμνα,
Παῖδας ἑοὺς κατέπεφνε, καὶ ἐκ φίλον εἵλετο θυμόν.

---

1. Μάτερ ἐμὴ] Μεγάρα θυγάτηρ Κρέοντος βασιλέως Θηβαίων ἔσχεν ἄνδρα αὐτὸν τὸν Ἡρακλέα, καὶ ἐξ αὐτοῦ ἐγέννησε παῖδας· οὓς ὁ Ἡρακλῆς αἴφνης μανείς ποτε, ἐτόξευσεν ἅπαντας ἐν ὄψει τῆς γυναικός. τὸν δὲ μῦθον τοῦτον ἀνάγνωθι εἰς πλάτος ἐν τῇ Τραγῳδίᾳ τοῦ Εὐριπίδου « Ἡρακλῆς μαινόμενος »

# ΜΕΓΑΡΑ

## ΓΥΝΗ ΗΡΑΚΛΕΟΥΣ

### ΕΙΔΥΛΛΙΟΝ Δ΄.

ΜΗΤΕΡ ἐμή, τίποθ' οὕτω λυπῇ, πολλῷ τῷ πάθει τηκομένη, ὥστ' ἀπέβαλες, ὃ διεσώζου πρότερον ἐπὶ τοῦ προσώπου ἐρύθημα; τί ποτέ σοι βούλεται τοσαύτη λύπη; ἢ ὅτι ὁ σός ἄριστος υἱὸς πολλῶν δεινῶν πειρᾶται παρ' ἀνδρὸς οὐτιδανοῦ, ὥσπερ λέων ὑπὸ νεβροῦ δειλοῦ παρελκόμενος; Ἀλλ' οἴμοι τῇ δυστήνῳ, τίποθ' οἱ θεοὶ ὠργίσθησάν μοι οὕτω; τίποθ' οἱ τεκόντες ἐν χαλεπῇ ἐγέννησάν με μοίρᾳ; τάλαινα ἐγώ, ἥτις τὸν πάντων ἄριστον λαχοῦσα ἄνδρα, ἴσον τοῖς ἐμοῖς ἐτίμων ὀφθαλμοῖς, καὶ νῦν ἔτι ἐν τῇ ἐμῇ ψυχῇ αἰδοῦμαι· ἀλλὰ τίς αὐτοῦ τῶν ζώντων δυστυχέστερος ἂν εἴη; τίς δὲ καὶ τοσοῦτον τῶν ἐν οἴκῳ πεπείραται κακῶν; σχέτλιος αὐτός γε, ὃς οἷοι μανείς, τοὺς ἑαυτοῦ διεχρήσατο παῖδας, τόξοις βαλὼν τοῖς αὐτοῖς, ἃ ἔσχε ποτὲ παρ' Ἀπόλλωνος λαβών, τὰ ὅπλα δὴ ἐκεῖνα τῶν Κηρῶν, ἢ Ἐριννύων βέλη· καὶ ἀπεστέρησεν αὐτοὺς τοῦ ζῆν, ἀναπλησθεὶς τοῦ

---

Ἐντεῦθεν δὲ Ἡρακλῆς μὲν καὶ Ἰφικλῆς δίδυμοι· Ἀλκμήνη δὲ δεδοικυῖα περὶ τοῖς παισί, τήκεται τοῖς δάκρυσι· πρὸς ἣν ἀποτεινομένη ἡ Μεγάρα, ἐκείνηντε ἐρωτᾷ τὴν τῆς θλίψεως αἰτίαν, καὶ τὰ ἑαυτῆς ἀποδύρεται πάθη. 5. Ἀνδρὸς

Μαινόμενος κατὰ οἶκον· ὁ δ' ἔμπλεος ἔσκε φόνοιο.
Τοὺς μὲν ἐγὼ δύστηνος ἐμοῖς ἴδον ὀφθαλμοῖσι
Βαλλομένους ὑπὸ πατρί· (τὸ δ' οὐδ' ὄναρ ἤλυθεν ἄλλῳ.)
Οὐδέ σφιν δυνάμην ἀδινὸν καλέουσιν ἀρῆξαι
Μητέρ' ἐήν· ἐπεὶ ἐγγὺς ἀνίκητον κακὸν ἦεν.
Ὡς δέ τ' ὀδύρεται ὄρνις ἐπὶ σφετέροισι νεοσσοῖς
Ὀλλυμένοις, οὕστ' αἰνὸς ὄφις, ἔτι νηπιάχοντας,
Θάμνοις ἐν πυκινοῖσι κατεσθίει· ἡ δὲ κατ' αὐτοὺς
Πωτᾶται κλάζουσα μάλα λιγὺ πότνια μήτηρ·
Οὐδ' ἄρ' ἔχει τέκνοισιν ἐπαρκέσαι· ἦ γάρ οἱ αὐτῇ
Ἆσσον ἴμεν μέγα τάρβος ἀμειλίκτοιο πελώρου·
Ὣς ἐγὼ αἰνοτόκεια, φίλον τόκον αἰάζουσα,
Μαινομένοισι πόδεσσι δόμον κάτα πολλὸν ἐφοίτων.
Ὥς γ' ὄφελον μετὰ παισὶν ἅμα θνήσκουσα καὶ αὐτὴ
Κεῖσθαι, φαρμακόεντα δι' ἥπατος ἰὸν ἔχοισα,
Ἄρτεμι θηλυτέρῃσι μέγα κρείουσα γυναιξί.
Τῷ χ' ἡμᾶς, κλαύσαντε, φίλαις ἐπὶ χερσὶ τοκῆες
Πολλοῖς σὺν κτερέεσσι πυρῆς ἐπέβησαν ὁμοίης·
Καί κεν ἕνα χρύσειον ἐς ὀστέα κρωσσὸν ἁπάντων
Λέξαντες κατέθαψαν, ὅθι πρῶτον γενόμεσθα.
Νῦν δ' οἱ μὲν Θήβην ἱπποτρόφον ἐνναίουσιν,
Ἀονίου πεδίοιο βαθεῖαν βῶλον ἀροῦντες·
Αὐτὰρ ἐγὼ Τίρυνθα κατὰ κραναὴν, πόλιν Ἥρας,

---

οὐτιδανοῦ] τοῦ Εὐρυσθέως, ὃς ἀποπέμπει τὸν Ἡρακλέα εἰς ἀγῶνά τινα. 21. ὄρνις] ἡ εἰκὼν αὕτη ἀπὸ τοῦ Ὁμήρου (Ἰλ. β'. στίχ. 311.) παράβαλε δὲ ταῦτα·

» Ἔνθα δ' ἔσαν στρουθοῖο νεοσσοὶ, νήπια τέκνα,
» Ὄζῳ ἀκροτάτῳ, πετάλλοις ὑποπεπτηῶτες,
» Ὀκτὼ, ἀτὰρ μήτηρ ἐνάτη ἦν, ἣ τέκε τέκνα.
» Ἔνθ' ὅγε τοὺς ἐλεεινὰ κατήσθιε τετριγῶτας·
» Μήτηρ δ' ἀμφεποτᾶτο, ὀδυρομένη φίλα τέκνα.

λύθρου, τούτων δὴ ἡ δύστηνος ἐγὼ αὐτόπτης ἐγενόμην σφαττομένων· πάθος τοῦτο μέγα, ὅπερ οὐδεὶς τῶν ἁπάντων μήτ᾽ ἐν ὕπνοις πώποτ᾽ εἶδεν· μήτε ἠδυνάμην χεῖρα βοηθὸν αὐτοῖς παρέχειν, ὁπότε τὴν ἑαυτῶν μητέρα μὲ ἐκάλουν· τὸ γὰρ κακὸν μεῖζον ἦν, ἢ ὥστε δύνασθαι κωλύσαι· καθάπερ γὰρ ὄρνις, ὁπόθ᾽ οἱ νεοσσοὶ αὐτῆς, ἀπτῆνες ἔτι ὄντες, κατεσθίοιντο ὑπὸ ὄφεως ἰοβόλου ὑπὸ πυκνοῖς τοῖς θάμνοις· ἡ δὲ περιϊπταμένη καὶ κλάζουσα, οὐκ ἔχει ἐπαρκέσαι αὐτοῖς (πῶς γὰρ ἂν εἴη αὐτῇ πλησίον τοιούτου θηρὸς γενέσθαι;) ἐποδύρεται σφόδρα· οὕτως ἐγὼ ἡ κακῶς μήτηρ γεγενημένη τέκνων, περιεφοίτων ὡς μαινομένη τὴν οἰκίαν, θρηνοῦσα τὰ παιδία. Ἀλλ᾽ εἴθε μοι, ὦ Ἄρτεμι, ἣ μέγα κράτος ἐν γυναιξὶν εἴληχας ἔχειν, εἴθ᾽ ἦν μοι συναποθανοῦσαν μετὰ τῶν παίδων κεῖσθαι, ἰοβόλον οἰστὸν ἐς τὸ ἧπαρ δεξαμένη· οὕτω γὰρ ἂν οἱ τεκόντες, ταῖς φίλαις ἑαυτῶν χερσὶ περιστείλαντες ἡμᾶς συνάμα, καὶ ἀπολοφυράμενοι τὰ εἰκότα, ἐπὶ τῆς αὐτῆς πυρᾶς σὺν ἀφθόνῳ ἐπέθηκαν ἂν κόσμῳ· εἴθ᾽ οὕτως ἀναλεξάμενοι τὰ ὀστᾶ ἐν κάλπῃ χρυσηλάτῳ, κατέθαψαν ἄν, ὅπου ἐσμὲν γεγεννημένοι· νῦν δ᾽ ἐκεῖνοι μὲν κατοικοῦσιν ἐν ταῖς ἱπποτρόφοις Θήβαις, τὴν τῶν Ἀόνων ἐριβώλακα γεωργοῦντες χώραν· ἐγὼ δ᾽ ἐν Τίρυνθι τῆς Ἥρας πόλει δια-

26. Ἄσσον ἴμεν] ἡ συνθήκη οὕτω· Μέγα τάρβος ἦν οἱ αὐτῇ (ἐκ παραλλήλου ταῦτα ἀνθ᾽ ἑνός) ἰέναι ἆσσον ἀμειλίκτου θηρός. 29. Θνήσκουσα] Εὐριπίδης δὲ καὶ αὐτὴν ἀποθανοῦσαν εἰσάγει. ἴδε Ηρακ. μαιν. στίχ. 982. καὶ τὰ πρὸ τούτων· 35. Ὅθι πρῶτοι γινόμεσθα] ἐν Θήβαις, ὅπου καὶ ἡ σφαγὴ τῶν παίδων ἐγένετο. 37. Ἄονες] ἀρχαῖοι κάτοικοι τῶν Θηβῶν ἦσαν οὗτοι. 40.

Πολλοῖσιν δύστηνος ἰάπτομαι ἄλγεσιν ἦτορ
Αἰὲν ὁμῶς· δακρύων δὲ πάρεστί μοι οὐδ' ἴ' ἐρωή.
Ἀλλὰ πόσιν μὲν ὁρῶ παῦρον χρόνον ὀφθαλμοῖσιν
Οἴκῳ ἐν ἡμετέρῳ· πολέων γὰρ οἱ ἔργον ἑτοῖμον
Μόχθων, τοὺς ἐπὶ γαῖαν ἀλώμενος ἠδὲ θάλασσαν
Μοχθίζει, πέτρης ὅγ' ἔχων νόον ἠὲ σιδήρου
Καρτερὸν ἐν στήθεσσι· σὺ δ' ἠΰτε λείβεαι ὕδωρ,
Νύκτας τε κλαίουσα καὶ ἐκ Διὸς ἤμαθ' ὁπόσσα·
Ἄλλος μὰν οὐκ ἄν τις εὐφρῆναι με παραστὰς
Κηδεμόνων· οὐ γάρ σφε δόμων κατὰ τοῖχος ἐέργει·
Καὶ λίην πάντες γε πέρην πιτυώδεος Ἰσθμοῦ
Ναίουσ'· οὐδέ μοι ἐστὶ πρὸς ὅντινά κε βλέψασα,
Οἷα γυνὴ πανάποτμος ἀναπτύξαιμι φίλον κῆρ,
Νόσφι γε δὴ Πύῤῥης συνομαίμονος· ἡ δὲ καὶ αὐτὴ
Ἀμφὶ πόσει σφετέρῳ πλέον ἄχθεται Ἰφικλῆϊ,
Σῷ υἱῷ· πάντων γὰρ ὀϊζυρώτατα τέκνα
Γείνασθαί σε θεῷ τε καὶ ἀνέρι θνητῷ ἔολπα.
Ὣς ἄρ' ἔφη· τὰ δέ οἱ θαλερώτερα δάκρυα μήλων
Κόλπον εἰς ἱμερόεντα κατὰ βλεφάρων ἐχέοντο,
Μνησαμένῃ τέκνων τε καὶ ὧν μετέπειτα τοκήων.
Ὣς δ' αὔτως δακρύοισι παρήϊα λεύκ' ἐδίαινεν
Ἀλκμήνη. βαρὺ δ' ἦγε καὶ ἐκ θυμοῦ στενάχουσα,

Οὐδ' ἴ' ἐρωὴ] ἴα καὶ ἴη, ἰῆς, ἰῇ, ἴαν, μίαν· οὐδεμία παῦσις. 41. Παῦρον χρόνον] ἐκ τῶν τοῦ Σοφοκλέους ἡ εἰκών· ἴδε. Τραχ. στίχ. 29. ἐμῇ ἐκδόσει· λέγει γὰρ ἡ Δηϊάνειρα.

» . . . . . νὺξ γὰρ εἰσάγει,
» Καὶ νὺξ ἀπωθεῖ, διαδεγμένη πόνον,

τρίβειν κληρωθεῖσα, πολλῷ ἡ δύστηνος κατατήκομαι τῷ πάθει, καὶ παῦσις τῶν κακῶν οὐκ ἂν εἴη οὐδεμία· πολλάκις δὲ οὐκ ἔφθην ἰδοῦσα τὸν ἐμὸν ἄνδρα εἰς τὴν οἰκίαν εἰσελθόντα, κἀκεῖνος, ἀπολιπὼν ἡμᾶς πολλῶν αὐτῷ ἄθλων προκειμένων κατά τε γῆν καὶ θάλασσαν, οὓς ἐκεῖνος, λίθινον καρδίων ἔχων, καὶ σιδήρεον στῆθος, ὑφίσταται γενναίως. Σύ δ' αὖ, ὦ μῆτερ ἀναλίσκῃ ἀεὶ καταῤῥέουσα, καθάπερ ὕδωρ, νύκτας τε πάσας καὶ ἡμέρας, ὅσας ὁ Ζεὺς παρέσχε, θρηνῳδοῦσα. Τίς ἂν οὖν ἄλλος παρελθὼν, παραμυθήσαιτό με; οὐ γὰρ ἐκ γειτόνων οἱ ἐμοὶ προσήκοντες οἰκοῦσιν, ὥστ' αὐτοὺς τοῖχον ἀπείργειν ἕνα· ὁρᾷς γὰρ πάντας πέρα τοῦ πιτυόεντος Ἰσθοῦ κατῳκημένους· καὶ οὐκ ἔστιν ὅπῃ ἂν ἀπιδοῦσα, οἷα γυνὴ ἀσθενὴς, παραμυθίαν σχοίην, πλὴν τῆς συνομαίμονος Πύῤῥης· ἀλλὰ καὶ αὐτὴ οἰκειοτέρῳ κατατήκεται πάθει, Ἰοκλέα τοῦτον δὴ τὸν σὸν μὲν υἱὸν, ἑαυτῆς δὲ ἄνδρα λυπουμένη. Εἰ οὖν εἴποι τις περὶ σοῦ δυστυχεστάτους παῖδας δυοῖν ἀνδρῶν θνητῷ καὶ ἀθανάτῳ τετοκέναι, οὐκ ἂν πόῤῥω τοξεύσειε τῆς ἀληθείας.

Ἡ μὲν ταῦτα εἶπεν, κοπτομένη τοῖς δάκρυσιν· ἃ ῥέοντα ἀπὸ τῶν ὀφθαλμῶν διὰ τῶν παρειῶν, κατέστιζον τὰ στήθη, ὁπότε μάλιστα ἐμνήσθη τῶν παίδων καὶ τοκέων· οὐχ ἧττον δὲ κατέβρεχε τὰς παρειὰς τοῖς δάκρυσι καὶ ἡ καλὴ Ἀλκμήνη· ἥτις τελευτῶσα, ἀπὸ βάθους ἅπαξ στενάξασα

52. Νόσφι γε δὴ Πύῤῥης] τῆς Ἰφικλέους γυναικός. 54 Θεῷ καὶ ἀνέρι] θεῷ μὲν τῷ Διῒ, ἀνέρι δὲ θνητῷ, τῷ Ἀμφιτρύωνι. 56 Μήλων] μῆλα ἐνταῦθα αὐτὰς φησὶ τὰς παρειὰς, ἤτοι διὰ τὸ σφαιροειδὲς, ἢ διὰ τὸ ἐρύθημα· οὕτω δὲ καὶ Θεόκριτος. Εἰδ. ιδ' στίχ. 38 καί τοι τινὲς οὐ παραδέχονται τοῦτο.

. . . . Τήνῳ τὰ σὰ δάκρυα μᾶλα ῥέοντι

Μύθοισιν πυκινοῖσι φίλην νυὸν ὧδε μετηύδα·
Δαιμονίη παίδων, τί νύ τοι φρεσὶν ἔμπεσε τοῦτο
Πευκαλίμης; πῶς ἄμμ' ἐθέλεις ὀροθυνέμεν ἄμφω,
Κήδε' ἄλαστα λέγουσα; τὰ δ' οὖν νῦν πρῶτα κέκλαυται.
Ἠ οὐχ ἅλις, οἷς ἐχόμεσθα τὸ δεύτατον αἰὲν ἐπ' ἦμαρ
Γιγνομένοις; μάλα μέν γε φιλοθρηνής κέ τις εἴη,
Ὅστις ἀριθμήσειεν ἐφ' ἡμετέροις ἀχέεσσι·
Θάρσει· οὐ τοιῆσδ' ἐκυρήσαμεν ἐκ θεοῦ αἴσης.
Καὶ δ' αὐτὴν ὁρόω σε, φίλον τέκος, ἀτρύτοισιν
Ἄλγεσι μοχθίζουσαν· ἐπιγνώμων δέ τοι εἰμὶ
Ἀσχαλάαν, ὅτε δή γε καὶ εὐφροσύνης κόρος ἐστί.
Καί σε μάλ' ἐκπάγλως ὀλοφύρομαι, ἠδ' ἐλεαίρω,
Οὕνεκεν ἡμετέροιο λυγροῦ μετὰ δαίμονος ἔσχες,
Ὅς θ' ἡμῖν ἐφύπερθε κάρης βαρὺς αἰωρεῖται.
Ἴστω γὰρ Κούρη τε καὶ εὐέανος Δημήτηρ,
(Ἅς κε μέγα βλαφθείς τις ἑκὼν ἐπίορκον ὀμόσσῃ
Δυσμενέων) μηδέν σε χερειότερον φρεσὶν ᾗσι
Στέργειν, ἢ εἴπέρ μοι ὑπ' ἐκ νηδύοφιν ἦλθες,
Καί μοι τηλυγέτη ἐνὶ δώμασι παρθένος ἦσθα·
Οὐδ' αὐτήν γε νυ πάμπαν ἔολπά σε τοῦτό γε λήθειν.
Τῷ μηδ' ἐξείπῃς τόγ', ἐμὸν θάλος, ὥς σευ ἀκηδέω,
Μηδ' εἴ κ' ἠϋκόμου Νιόβης πυκινώτερα κλαίω.
Οὐδὲν γὰρ νεμεσητὸν ὑπὲρ τέκνου γοάασθαι

65. Τὸ δεύτατον αἰὲν ἐπ' ἦμαρ] ὡς εἰ ἔλεγεν· Τί τὰ πάλαι εἰς μνήμην ἄγεις, ὁπότε οὐδεμία παρέρχεται ἡμέρα, ἥτις οὐ φέρει τι χαλεπόν; 68. Θάρσει] ταῦτα, ἢ οὐ ξυνῆκα, ἢ ἀνακόλουθά ἐστι· ἅμα γὰρ παρηγορεῖν ἐθέλει τὴν Μεγάραν, καὶ πάλιν ἐλεεινῷ πρὸς δάκρυα λόγῳ διερεθίζει. 73. Ἡμετέ-

καρδίας, συνετοῖς λόγοις ἠμείψατο τὴν φίλην τοῖςδε·

Δυστυχὴς σύγε, ὅσον ἕνεκα τῶν παίδων, τί τοῦτο τοσοῦτον πάθος ταῖς σαῖς ἐνέπεσε φρεσί; πῶς ἐθέλεις κινῆσαι τὸ πάθος ἀμφοτέραις, τῶν παρεληλυθότων κακῶν ἐπιμνησθεῖσα, ἅπερ τεθρήνηται ἡμῖν πολλάκις; ἢ οὐχ ἅλις ἡμῖν ἐκείνων, ὧν περ καθ' ἑκάστην, ἄλλων ἐπ' ἄλλοις ἡμέραν ἐξ ἡμέρας ἐπερχομένων, πεῖραν λαμβάνομεν, ἃ ἄν τις ἐθελήσῃ ἀπαριθμῆσαι, σφόδρ' ἂν φίλος τῶν θρήνων καὶ χαιρέκακος δόξειεν εἶναι· Σὺ δὲ θάρρει· οὐ γὰρ τοιαύτης τύχης ἐλάχομεν θεόθεν· ἀλλ' ὁρῶ σε, φίλον τέκνον, σφόδρα, ἐφ' οἷς κακῶς πάσχομεν, περιαλγοῦσαν· συγγνώμη δέ σοι ἀνιᾶσθαι ἐπὶ τούτοις, εἴγε καὶ τῆς εὐθυμίας κόρος ἐστὶ πολλάκις· τοῦ γὰρ ἡμετέρου ἀλάστορος οὐχ ἧττον καὶ σὺ μετέσχες· ὃς βαρὺς καὶ χαλεπὸς ἡμῖν ἀεὶ ἐπικρέμαται· οὐ γὰρ μὰ τὴν Κόρην καὶ τὴν εὐπάρυφον Δήμητραν, αἷς εἴτις ἐπιορκήσει, οὐ χαιρήσει, οὐχ ἧττον φιλῶσε ἐν τῇ ἐμῇ καρδίᾳ, ἢ εἴπερ ἐκ τῆς ἐμῆς γαστρὸς ἐτέχθης, ἐν τῷ ἐμῷ διαπρέπουσα οἴκῳ ὡς παρθένος τηλιγέτη· ὃ οὐδὲ τὴν σὴν, οἶμαι, λέληθε σύνεσιν· Ὅθεν οὐκ ἂν καλῶς ἔχοι ὑπονοεῖν μηδεμίαν μὲ περὶ σοῦ φροντίδα ἔχειν, μήτε εἰ καὶ Νιόβης αὐτῆς τῆς εὐπλοκάμου πλείω καὶ θαλερώτερα δάκρυα δόξω καταχεῖν· οὐδεὶς γὰρ φθόνος, μητέ-

---

ρῳ] τῆς οἰκιακῆς ἡμῶν χαλεπῆς μετέσχες τύχης, ἀγομένη εἰς ἄνδρα τὸν Ἡρακλέα. 75. Εὐέανος] κατὰ ἀντίφρασιν ἴσως διὰ τὸ ἐν ᾅδου μελανείμονας εἶναι. 78. Νηδυόφιν] νηδύος· ἐπὶ γενικῆς καὶ δοτικῆς. 81. Ὡς ἀκηδέω] ἀπαντᾷ πρὸς τὰ ἀνωτέρω (στίχ. 50.) ῥηθέντα ὑπὸ τῆς Μεγάρης. 82. Νιόβας] πένθος μέγα τῇ Νιόβῃ ἐγένετο, ὅτι ἡ Λητὼ ἠρέθισεν Ἀπόλλωνα καὶ Ἄρτεμιν φονεῦσαι αὐτῇ τοὺς παῖδας, δυωκαίδεκα ἐξ ἡμισείας θήλυας καὶ ἄρ-

Μητέρι δυσπαθέοντος· ἐπεὶ δέκα μῆνας ἔκαμνον,
Πρὶν καί πέρ τ' ἰδέειν μιν, ἐμῷ ὑπὸ ἥπατ' ἔχοισα,
Καί με πυλάρταο σχεδὸν ἤγαγεν Ἀϊδονῆος·
Ὧδέ ἑ δυστοκέσασα κακὰς ὠδῖνας ἀνέτλαν.
Νῦν δέ μοι οἴχεται οἶος ἐπ' ἀλλοτρίης, νέον ἆθλον
Ἐκτελέων· οὐδ' οἶδα δυσάμμορος, εἴτέ μιν αὖτις
Ἐνθάδε Νοστήσανθ' ὑποδέξομαι, εἴτε καὶ οὐκί.
Πρὸς δ' ἔτι μ' ἐπτοίησε διὰ γλυκὺν αἰνὸς ὄνειρος
Ὕπνον· δειμαίνω δὲ, παλίγκοτον ὄψιν ἰδοῦσα,
Ἐκπάγλως, μή μοί τι τέκνοις ἀποθύμιον ἔρδῃ.
Εἴσατο γάρ μοι ἔχων μακέλην εὐεργέα χερσὶ
Παῖς ἐμὸς ἀμφοτέρῃσι, βίῃ Ἡρακληείῃ.
Τῇ μεγάλην ἐλάχαινε (δεδεγμένος ὡς ἐπὶ μισθῷ)
Τάφρον, τηλεθάοντος ἐπ' ἐσχατιῇ τινὸς ἀγροῦ,
Γυμνὸς, ἄτερ χλαίνης τε καὶ εὐμίτροιο χιτῶνος.
Αὐτὰρ ἐπειδὴ παντὸς ἀφίκετο πρὸς τέλος ἔργου,
Καρτερὸν οἰνοπέδοιο πονεύμενος ἕρκος ἀλωῆς,
Ἤτοι ὁ λίστρον ἔμελλεν, ἐπὶ προὔχοντος ἐρείσας,
Ἀνδήρου καταδῦναι, ἃ καὶ πάρος εἵματα ἕστο.
Ἐξαπίνης δ' ἀνέλαμψεν ὑπὲρ καπέτοιο βαθείης
Πῦρ ἄμοτον· περὶ δ' αὐτὸν ἀθέσφατος εἱλεῖτο φλόξ.
Αὐτὰρ ὅγ' αἰὲν ὄπισθε θοοῖς ἀνεχάζετο ποσσὶν,
Ἐκφυγέειν μεμαὼς ὀλοὸν μένος Ἡφαίστοιο·

---

ρενας ὄντας· ἐφ' οἷς ἐκαυχήσατο πρὸς ἐκείνην ὑπερέχειν καλλιτεκνίᾳ. 84. Δέκα μῆνας] πότερον, σεληνιαίους μῆνας ἀριθμεῖ, ἵν' ᾖ ἐπὶ τοῦ δεκάτου γεννᾷν. ἢ ὅτι ἡ Ἥρα ἐκώλυσε τὴν ἐν καιρῷ γέννησιν τοῦ Ἡρακλέους, ἵνα πρῶτος γεννηθῇ Εὐρυσθεύς; ἀλλὰ καὶ παρ' ἄλλοις δέκατος μὴν ἐπὶ παντὸς

ρα οὖσαν, ὑπὲρ παιδὸς πάσχοντος κλάειν· μηνὶ γὰρ δεκάτῳ πρὶν αὐτὸν ἰδεῖν ὀφθαλμοῖς, ἐκυοφόρησα καὶ μικροῦ κατέπεμψέ με εἰς τὰς τοῦ ᾅδου πύλας· τοιαύτας ὠδίνας ἐν τῇ δυστοκίᾳ ὑπήνεγκα ἐκείνῃ· καὶ νῦν μοι ᾤχετ᾽ ἀπιὼν ἐπὶ τῆς ἀλλοδαπῆς οὐκ οἶδ᾽ ἐφ᾽ ὅντιν᾽ ἆθλον αὖθις· καὶ μήτ᾽ εἰ δέξομαι αὐτὸν αὖ πάλιν σαφῶς οἶδα· οὕτως ἐγὼ εἰμὶ ἀθλία· ἀλλὰ καὶ ἐν ὕπνοις ὄνειρος σκληρός μοι ἐπιστὰς, κατετάραξε· δέδοικα γὰρ λίαν, οὐκ αἰσίαν ἰδοῦσα ὄψιν, μήτι μοι χαλεπὸν γένηται τοῖς παισίν· ἔδοξε γάρ μοι Ἡρακλῆς, μακέλην ἐν χερσὶ φέρειν μεγάλην, ᾗ βαθεῖαν ἀνέσκαπτε τάφρον ἐπὶ μισθῷ ἀγροῦ τινος, ἐν ἐσχατιᾷ πῃ θάλλοντος, γυμνὸς χλαίνης καὶ ὑποχίτωνος εὐζώνου· ἐπειδὰν δὲ τάχιστα τέλος ἐπέθηκε τῷ ἔργῳ, τὸν ἀγρὸν περιτραφεύσας, τότε δὴ ἐρείσας ἐπὶ τοῦ ὑπερέχοντος τῆς τάφρου χείλους, ὃ ἔφερε σκαφίον, καὶ μέλλοντος ἐνδύσεσθαι, ἃ πρότερον ἐνεδύετο ἱμάτια, ἀνέλαμψε πῦρ ἄφθονον ἀπὸ τῆς βαθείας τάφρου· καὶ φλὸξ ἀμύθητος ἐφαίνετο αὐτὸν περιβαλοῦσα· ὁ δὲ ταχέως ἀνεχώρει, τὸ φθοροποιὸν πῦρ σπεύδων ἀποφυγεῖν ἐκεῖνο, προβαλλόμενος μὲν τοῦ σώματος, ὥσπερ ἀσπίδα τὴν μακέλην, τοῖς δὲ ὄμμασι περισκοπῶν ἔνθα καὶ ἔνθα, δεδιὼς μὴ περιληφθῇ ὑπὸ τῆς φλογός· Ἐν δὲ τούτοις ἔδοξέ μοι Ἰφικλῆς, βούλεσθαι μὲν ἐκείνῳ ἀπαμῦναι, πεπτωκέναι δέ, πρὶν ἐφικέσθαι, κατὰ γῆς ἐξολισθήσας· καὶ οὐκέτ᾽ ἐδύνατο ἐξανα-

---

ἀνθρώπου εἰσάγεται· ὁμοίως δὲ καὶ παρὰ τῷ Σολεμῶντι. 102. Ἄνδηρον καταδῦναι] ἄνδηρον μὲν τὸ τῆς τάφρου ἐσωτερικὸν ὑπερέχον χεῖλος· καταδῦ-

Αἰεὶ δὲ προπάροιθεν ἑοῦ χροός, ἠΰτε γέῤῥον,
Νώμασκεν μακέλην· περὶ δ' ὄμμασιν ἔνθα καὶ ἔνθα
Πάπταινεν, μὴ δή μιν ἐπιφλέξῃ δήϊον πῦρ.
Τῷ μὲν ἀοσσῆσαι λελιημένος (ὥς μοι ἔϊκτο)
Ἰφικλέης μεγάθυμος, ἐπ' οὔδεϊ κάππεσ' ὀλισθὼν,
Πρίν γ' ἐλθεῖν· οὐδ' ὀρθὸς ἀναστῆναι δύνατ' αὖτις,
Ἀλλ' ἀστεμφὲς ἔκειτο, γέρων ὡσεί τ' ἀμενηνὸς,
Ὅντε καὶ οὐκ ἐθέλοντα βιήσατο γῆρας ἀτερπὲς
Καππεσέειν· κεῖται δ' ὅγ' ἐπὶ χθονὸς ἔμπεδον αὐτοῦ,
Εἰσόκε τις χειρός μιν ἀνειρύσσῃ παριόντων,
Αἰδεσθεὶς ὄπιδα προτέρην πολιοῖο γενείου,
Ὡς ἐν γῇ λελίαστο σακέσπαλος Ἰφικλείης.
Αὐτὰρ ἐγὼ κλαίεσκον, ἀμηχανέοντας ὁρῶσα
Παῖδας ἐμοὺς, μέχρι δή μοι ἀπέσσυτο νήδυμος ὕπνος
Ὀφθαλμῶν, ἠὼς δὲ παραυτίκα φαίδιμος ἦλθε.
Τοῖα φίλη μοι ὄνειρα διὰ φρένας ἐπτοίησαν
Παννυχίη· τὰ δὲ πάντα πρὸς Εὐρυσθῆα τράποιτο,
Οἴκου ἀφ' ἡμετέροιο· γένοιτο δὲ μάντις ἐκείνῳ
Θυμὸς ἐμὸς, μηδ' ἄλλο παρεκτελέσειέ τι δαίμων.

στῆναι, ἀκινήτως μένων ἐπὶ γῆς, καθάπερ γέρων ῥικνὸς, ὃς καὶ μὴ θέλων πολλάκις ὑπὸ γήρως καταπίπτει· μέχρις οὗ τις τῶν παριόντων, ἀνασχὼν αὐτὸν ἐκ τῆς χειρὸς, ἐξαναστήσῃ, τὴν αὐτοῦ σεβόμενος πολιάν· οὕτω καὶ ὁ ἀνδρεῖος Ἰφικλῆς ἔκειτο ἐπὶ τῆς γῆς· ἐγὼ δ᾽ ὁρῶσα τοὺς φίλους παῖδας ἐν ἀμηχανίᾳ ὄντας, ἔκλαον, μέχρις οὗ διεγελασάσης τῆς ἡμέρας, ἀπέπτη ὁ ὕπνος ἀπὸ τῶν ἐμῶν ὀμμάτων· τοιούτοις φοβεροῖς, ὦ φίλη, ἐνυπνίοις δι᾽ ὅλης ἐταραττόμην τῆς νυκτός· ἃ θεὸς τρέποι ἀφ᾽ ἡμῶν ἐπ᾽ Εὐρυσθέα· μάντις δ᾽ ἀληθὴς ἡ ἐμὴ ψυχὴ γενέσθω· ἄλλο δέ τι χεῖρον παρὰ τοῦτο θεὸς αὐτὸς ἀπείργοι.

---

ναι δὲ τὸ ἐνδύσασθαι δηλοῖ. 117. Ὄπιδα] τὴν θέαν, τὸ σέβας· ᾧ γέρων ἀνὴρ καταδυσωπήσειεν ἂν τὸν νεώτερον ὄντα. 118. Λελίαστο] ὠλίσθησεν κατέπεσεν εἰ. τὴν γῆν· οὕτω καὶ παρ᾽ Ὁμήρω (Ἰλ. Υ. στίχ. 418. 420) Λιασθεὶς, λαζόμενος ἐν γῇ.

## ΕΙΔΥΛΛΙΟΝ Ε'.

Τὰν ἅλα τὰν γλαυκὰν ὅταν ὥνεμος ἀτρέμα βάλλῃ,
Τὰν φρέναν τὰν δειλὰν ἐρεθίζομαι, οὐδ' ἔτι μοι γᾶ
Ἐντὶ φίλα, ποτάγει δὲ πολὺ πλέον ἄμμε γαλάνα.
Ἀλλ' ὅταν ἀχήσῃ πολιὸς βυθὸς, ἁ δὲ θάλασσα
Κυρτὸν ἐπαφρίζῃ, τὰ δὲ κύματα μακρὰ μεμήνῃ,
Ἐς χθόνα παπταίνω καὶ δένδρεα, τὰν δ' ἅλα φεύγω.
Γᾶ δέ μοι ἀσπαστὰ, χ' ἁ δάσκιος εὔαδεν ὕλα,
Ἔνθα καὶ, ἢν πνεύσῃ πολὺς ὤνεμος, ἁ πίτυς ᾄδει.
Ἦ κακὸν ὁ γριπεὺς ζώει βίον, ᾧ δόμος ἁ ναῦς,
Καὶ πόνος ἐντὶ θάλασσα, καὶ ἰχθὺς ἁ πλάνος ἄγρα.
Αὐτὰρ ἐμοὶ γλυκὺς ὕπνος ὑπὸ πλατάνῳ βαθυφύλλῳ,
Καὶ παγᾶς φιλέοιμι τὸν ἐγγύθεν ἦχον ἀκούειν,
Ἃ τέρπει ψοφέοισα τὸν ἄγριον, οὐχὶ ταράσσει.

## ΕΙΔΥΛΛΙΟΝ Ϛ'.

Ἤρα Πὰν Ἀχῶς τᾶς γείτονος, ἤρατο δ' Ἀχὼ
Σκιρτητᾶ Σατύρω, Σάτυρος δ' ἐπεμαίνετο Λύδᾳ.
Ὡς Ἀχὼ τὸν Πᾶνα, τόσον Σάτυρος φλέγεν Ἀχῶ,
Καὶ Λύδα Σατυρίσκον· ἔρως δ' ἐσμύχετ' ἀμοιβᾷ.
Ὅσσον γὰρ τήνων τὶς ἐμίσεε τὸν φιλέοντα,
Τόσσον ὁμῶς φιλέων ἐχθαίρετο, πάσχε δ' ἄποινα.
Ταῦτα λέγω πᾶσιν τὰ διδάγματα τοῖς ἀνεράστοις·
Στέργετε τοὺς φιλέοντας, ἵν', ἢν φιλέητε, φιλῆσθε.

## ΕΙΔΥΛΛΙΟΝ Ε΄.

Της θαλάσσης ἠρέμα μὲν κινουμένης ὑπὸ τῶν κυμάτων, ἄστατον φέρω τὴν ψυχὴν, ἐπιθυμῶν ἐκείνης, κοὐκέτι γῆς με πόθος ἔχει, πολλῷ μᾶλλον ἑλκούσης με τῆς γαλήνης· ἀλλ᾽ ὅταν ὁ βυθὸς ἐπηχήσῃ ἐκ τῶν ἀβύσσων, καὶ ἡ θάλασσα μαινομένοις κυρτωθεῖσα κύμασιν, ἐπαφρίσῃ, τότε δὴ μεταβαλὼν, γῆν περισκοπῶ καὶ δένδρα φίλα· ἐκείνην δὲ ἀποδιοπομποῦμαι ὅλως· ἡδίων γὰρ τηνικαῦτα τῆς ὑγρᾶς ἡ ξηρὰ, καὶ οἱ εὔσκιοι δρυμῶνες πολλῷ εἰσιν ἀσπαστότεροι· ἔνθα καὶ ἄνεμος ἢν τύχῃ σφοδρὸς, ἡδὺ ψιθύρισμα ἄνωθεν ἀφίησιν ἡ πίτυς· ἀβίωτος ἄρα τοῖς ἁλιεῦσίν ἐστιν ὁ βίος· οἷς οἶκος μὲν ἡ λέμβος, ἔργον δὲ ἡ θάλασσα, καὶ ἀπόλαυσις οἱ πλανώμενοι ἰχθύες· ἐγὼ δὲ ὡς βαθὺν ὑπὸ βαθυσκίῳ πλατανίσκῳ σπῶν τὸν ὕπνον, ἡδέως ἂν ἔχοιμι τοῦ παραῤῥέοντος ὕδατος κελαρύζοντος ἀκούειν· οὗ ὁ ψόφος οὐ ταράττει, ὡς ἐκείνης, ἀλλὰ τέρπει μάλιστα τὸν ἀγροῖς καὶ ὄρεσι ἐν διαιτώμενον.

## ΕΙΔΥΛΛΙΟΝ Ϛ΄.

Ερως μὲν τῆς γείτωνος Ἠχοῦς εἷλε τὸν Πᾶνα· ἡ δὲ Ἠχὼ ἠράσθη ὁμοίως τοῦ σκιρτικοῦ Σατύρου· ὁ δὲ Σάτυρος αὖθις ἐμαίνετο ἐπὶ τῇ Λύδᾳ· ὅσον ἄρα ἡ Ἠχὼ ἐπέκνιζε τῷ ἔρωτι τὸν Πᾶνα, τοσοῦτον καὶ ὁ Σάτυρος περιέθαλπε τὴν Ἠχὼ, καὶ ἡ Λύδα κατάφλεγε τὸν Σατυρίσκον· ἐναλλὰξ γὰρ ἔσμυχεν αὐτοὺς ὁ Ἔρως· ὅσον γὰρ ἕκαστος αὐτῶν ἐμήσει τὸν αὐτὸν φιλοῦντα, τοσοῦτον καὶ αὐτὸς ἀντεμισεῖτο, παρ᾽ ὧν αὐτὸς ἐφίλει· καὶ δίκην, ὧν ἔπραττεν, ἐδίδου ἀμοιβαίαν· Ταῦτα δὲ λέγω πρὸς τοὺς μὴ ἀντιφιλοῦντας τοὺς φιλοῦντας, στέργειν αὐτοὺς κελεύων, ἢν βούλωνται ἀντιφιλεῖσθαι ὑπ᾽ ἐκείνων.

## ΕΙΔΥΛΛΙΟΝ Ζ΄.

ΑΛΦΕΙΟΣ, μετὰ Πῖσαν ἐπὴν κατὰ πόντον ὁδεύῃ,
Ἔρχεται εἰς Ἀρέθοισαν ἄγων κοτινηφόρον ὕδωρ,
Ἕδνα φέρων καλὰ φύλλα καὶ ἄνθεα, καὶ κόνιν ἱράν·
Καὶ βαθὺς ἐμβαίνει τοῖς κύμασι· τὰν δὲ θάλασσαν
Νέρθεν ὑποτροχάει, κοὐ μίγνυται ὕδασιν ὕδωρ.
Ἁ δ' οὐκ οἶδε θάλασσα, διερχομένου ποταμοῖο.
Κῶρος δεινοθέτας, κακομάχανος, αἰνὰ διδάσκων,
Καὶ ποταμὸν διὰ φίλτρον Ἔρως ἐδίδαξε κολυμβῆν.

## *ΕΠΙΓΡΑΜΜΑ*

### Εἰς Ἔρωτα ἀροτριῶντα.

ΛΑΜΠΑΔΑ θεὶς καὶ τόξα, βοηλάτιν εἵλετο ῥάβδον
Οὖλος ἔρως, πήρην δ' εἶχε κατωμαδίην·
Καὶ ζεύξας ταλαεργὸν ὑπὸ ζυγὸν αὐχένα ταύρων,
Ἔσπειρεν Δηοῦς αὔλακα πυροφόρον.
Εἶπε δ' ἄνω βλέψας αὐτῷ Διΐ, Πλῆσον ἀρούρας,
Μή σε τὸν Εὐρώπης βοῦν ὑπ' ἄροτρα βάλω.

* * *

Αἴθε πατήρ μ' ἐδίδαξε δασύτριχα μῆλα νομεύειν,
Ὥς κεν, ὑπὸ πτελέῃσι καθήμενος, ἢ ὑπὸ πέτραις
Συρίσδων, καλάμοισιν ἐμὰς τέρπεσκον ἀνίας.

## ΕΙΔΥΛΛΙΟΝ Ζ΄.

ΑΛΦΕΙΟΣ, ὁ παρὰ τὴν Πῖσαν ἐς τὴν θάλασσαν ἐκδιδοὺς ὑποῤῥεῖ πρὸς Ἀρέθουσαν τὴν ἐν Σικελίᾳ, κοτινοφόρον ὕδωρ, φύλλα τε καλὰ καὶ ἄνθη, καὶ κόνιν ἐρωτικὴν ἕδνα ταῦτα τῇ ἐρωμένῃ ἄγων· καὶ σφόδρα βαθὺς τοῖς κύμασιν ἐμβάλλων, ὑποτρέχει οὕτω τὸ τῆς θαλάσσης βάθος, ὥστε μηδὲν τοῖς ἁλμυροῖς μιγνύμενος ὕδασιν ἐκείνης, καὶ τὴν ἑαυτοῦ αἴσθησιν παραιρεῖται ἐκείνην ὅλως. Τοιαῦθ᾽ ὁ δεινὸς καὶ κακομήχανος Ἔρως ὁ πάντας τὰ κακὰ διδάσκων, ἐδίδαξε καὶ ποταμὸν νήχεσθαι ἕνεκα τῆς ἐρωμένης.

### *ΕΠΙΓΡΑΜΜΑ*

### Εἰς Ἔρωτα ἀροτριῶντα.

Ο δεινὸς Ἔρως, λαμπάδα μὲν καταλιπὼν καὶ τόξα, ῥάβδον δὲ ἐν χερσὶ μεταλαβὼν βουπλῆγα, καὶ πήραν ἀπὸ τῶν ὤμων ἠρτημένος, κατῄει εἰς ἀγρόν· καὶ ζεύξας τοὺς βόας ὑπ᾽ ἀρότρῳ, ἤρξατο σπείρειν τὴν σιτοφόρον τῆς Δήμητρος ἄρουραν· ἐν δὲ τούτῳ ἀναβλέψας πρὸς τὸν Δία, εἶπε· Πλῆσον, ὦ Ζεῦ, τὴν χώραν σίτου· εἰδὲ μὴ, λαβών σε τὸν τῆς Εὐρώπης βοῦν, ὑποζεύξω τῷ ἀρότρῳ.

### ΑΛΛΟ.

Εἴθ᾽ οὑμὸς πατὴρ ἐδίδαξέ με βόσκειν ὄϊς βαθυμάλλους· οὕτω γὰρ ἂν καθήμενος ὑπὸ πτελέαις, ἢ ὑπὸ πέτραις τισὶ συρίζων, ἔθελγον ἂν ἐμαυτὸν, ἀνακουφίζων ἠρέμα ἀπὸ τῶν ἀνιώντων.

Ὅττι καλὸν φίλον ἐστίν· τὸ δ᾽ οὐ καλὸν οὐ φίλον ἐςί·
Τοῦτ᾽ ἔπος ἀθανάτων ἦλθε διὰ στομάτων.

# ΘΕΟΓΝΙΔΟΣ

ΜΕΓΑΡΕΩΣ,

# ΠΑΡΑΙΝΕΣΕΙΣ.

## ΤΟΙΣ ΕΝΤΕΥΞΟΜΕΝΟΙΣ.

Θεογνις ὁ ποιητὴς καὶ οἱ ἑπόμενοι αὐτῷ οὐκ ἐκ προθέσεώς μοι ἐνταῦθα προσέθεινται· ἀλλ᾽ ἰσχνοτέρου τοῦ δέοντος τοῦ τόμου τούτου ἐκβάντος μοι, ᾠήθην δεῖν προσθεῖναί τι πρὸς ἀναπλήρωσιν τοῦ ἱκνουμένου πάχους. Ὡς οὖν κατεπειγομένῳ ὑπὸ τοῦ τύπου οὐδείς μοι ὑπελείπετο χρόνος πρὸς τὸ ἐπεξεργάσασθαι καὶ ταῦθ᾽ ὡς ἔμοιγ᾽ ἔθος ἦν, ἠρκέσθην μόνον καὶ μόλις παραφράσαι τὸν Θέογνιν, καὶ τοῦτον ὡς εἶχον αὐτοσχεδίως, ὡς αὐτὰ ταῦτα δείκνυσιν.

Ἦν δὲ Θέογνις οὐκ ἐκ τῶν ἐν Σικελίᾳ Μεγάρων, ἀλλ᾽ ἐν Μεγάροις τοῖς παρὰ τῇ Ἀττικῇ γεννηθείς, ἐλθὼν δὲ καὶ εἰς Σικελίαν, ὡς αὐτός που (στίχ. **751**.) εἰσηγεῖται· ἐκπεσὼν δὲ τῆς πατρίδος, καὶ τῶν κτημάτων, διεβίωσεν ἐν Θήβαις, ὡς αὐτὸς καὶ τοῦτό φησι (στίχ. **1161**.) Ἐγένετο δὲ κατὰ τὸ **600** ἔτος μάλιστα πρὸ Χριστοῦ, οὐ μικρὰν δόξαν ἐπὶ τῇ ποιήσει κτησάμενος. Εἰσὶ δ᾽ οὖν αἱ γνῶμαι αὗται οὐ πᾶσαι πρὸς τὸ αὐτὸ ἦθος φέρουσαι· ἀλλ᾽ αἱ μὲν νοός ἐστιν ἐμβριθοῦς καὶ μεμεστωμένου· αἱ δὲ ἑτεραλκεῖς καὶ πρὸς ἡδονὴν μάλιστα πεποιημέναι, καὶ ἀντιφατικαὶ πολλαχῇ παραβάλλοντι μάλιστα τὰ ἐν τῷ **1007** στίχῳ πρὸς τὸ **1169**. ἔστι γὰρ αὐτῶν, οἷα ἂν ποιοῖεν ἄνθρωποι ἐκδεδιῃτημένοι· διὸ οὐκ ἂν εἴη ταῦτ᾽ ἄξια λέγεσθαι τῆς ἐκείνου οὔτε χειρὸς, οὔτε προαιρέσεως· ἑτέρου δέ τινος τῶν ἐν συμποσίοις ἐπιδεικνυμένων· ἃ

ὁ χρόνος ὕστερον ἐπὶ τῷ τῆς ποιήσεως ὁμοειδεῖ εἰς ἓν ὑπὸ τῷ αὐτῷ συνεχώνευσε ποιητῇ. Εἴη δ' οὖν ἃ τούτων, εὖ οἶδ' ὅτι, δεόμενα ὑποσημειώσεων· ἀλλὰ τοῦ καιροῦ, ὡς ἔφην, καταναγκάζοντος, καὶ ἑτέρωθέν ποθεν βοηθείας μηδεμιᾶς μοι ὑπούσης, ὡς μηδεμιᾶς ἑτέρας ἐκδόσεως, πλὴν ταύτης τῶν ἐκ τῆς Λειψίας αὐτοσχεδίων, εὑρεθείσης, ἔνθα νῦν παροικοῦμεν, ἠρκέσθην ἁπλῶς παραθεῖναι ὑμῖν ταῦθ' οὕτως ὡς ἔτυχεν. Ἔρρωσθε.

# ΘΕΟΓΝΙΔΟΣ ΜΕΓΑΡΕΩΣ.

## *ΠΑΡΑΙΝΕΣΕΙΣ.*

Ω ἄνα, Λητοῦς υἱὲ, Διὸς τέκος, οὔποτε σεῖο
Λήσομαι ἀρχόμενος, οὐδ' ἀναπαυόμενος·
Ἀλλ' αἰεὶ πρῶτόν τε, καὶ ὕστατον, ἔν τε μέσοισιν
Ἀείσω· σὺ δ' ἐμεῦ κλῦθι, καὶ ἐσθλὰ δίδου.

Φοῖβε ἄναξ, ὅτε μέν σε θεὰ τέκε πότνια Λητὼ,
Φοίνικος ῥαδινῆς χερσὶν ἐφαψαμένη,
Ἀθανάτων κάλλιστον, ἐπὶ τροχοειδέϊ λίμνῃ,
Πᾶσα μὲν ἐπλήσθη Δῆλος ἀπειρεσίη
Ὀδμῆς ἀμβροσίης, ἐγέλασσε δὲ γαῖα πελώρη,
Γήθησεν δὲ βαθὺς πόντος ἁλὸς πολιῆς.

Ἄρτεμι θηροφόνε, θύγατερ Διὸς, ἣν Ἀγαμέμνων
Εἵσαθ', ὅτ' ἐς Τροίην ἔπλεε νηυσὶ θοαῖς,
Εὐχομένῳ μοι κλῦθι, κακὰς δ' ἀπὸ κῆρας ἄλαλκε.
Σοὶ μὲν τοῦτο, θεὰ, σμικρὸν, ἐμοὶ δὲ μέγα.

Μοῦσαι καὶ Χάριτες, κοῦραι Διὸς, αἵ ποτε Κάδμου
Ἐς γάμον ἐλθοῦσαι, καλὸν ἀείσατ' ἔπος,
« Ὅττι καλὸν φίλον ἐστί· τὸ δ' οὐ καλὸν οὐ φίλον ἐστί. »
Τοῦτ' ἔπος ἀθανάτων ἦλθε διὰ στομάτων.

# ΘΕΟΓΝΙΔΟΣ ΜΕΓΑΡΕΩΣ.

## *ΠΑΡΑΙΝΕΣΕΙΣ.*

ΑΝΑΞ Ἄπολλον, Διὸς καὶ Λητοῦς τέκνον ἀγλαὸν, οὐδέ ποτ' ἐπιλήσομαί σου οὔτ' ἀρχόμενος, οὔτε παυόμενος· ἀλλ' ἐν πρώτοις ἀεί σε καὶ ἐν μέσοις καὶ ἐν ὑστάτοις ὑμνήσω τὰ εἰκότα· Σὺ δ' εὐμενῶς ἐμοῦ ἀκούων, δίδου μοι ὅ,τι ἂν ἐμοὶ συμφέρῃ.

Ναὶ, ὦ ἄναξ Φοῖβε, ὅθ' ἡ πότνια Λητὼ, τοῦ ἰθυτενοῦς ἐχομένη φοίνικος, ἔτεκέ σε ἐν κυκλοτερεῖ θαλάσσῃ, κάλλιστον πάντων τῶν ἀθανάτων, τότε πᾶσα μὲν ἡ μεγάλη Δῆλος ὀσμῆς ἐπλήσθη ἀμβροσίας, πᾶσα δὲ ἡ εὐρεῖα γῆ ἥδιστα διετέθη· καὶ ἡ θάλασσα αὐτὴ ἠγαλλιάσθη μέχρι τοῦ πυθμένος.

Σὺ δ' αὖ, Ἄρτεμι, θύγατερ Διὸς ἡ θηροκτόνος, ἣν Ἀγαμέμνων, μέλλων πλεύσειν ἐπὶ Τροίαν, ἱδρύσατο ἐν τῇ Αὐλίδι, δός μοι, ὦ θεὰ, ἅπερ εὔχομαι ἐσθλὰ, πᾶν κακὸν καὶ θυμοδακὲς ἀποσοβοῦσα· σοὶ μὲν γὰρ τοῦτο ῥάδιον ἂν εἴη καὶ σμικρὸν, ἐμοὶ δὲ φίλον τε καὶ μέγα.

Μοῦσαι δ' αὖ ὑμεῖς τε καὶ Χάριτες Διὸς ἅπασαι θυγατέρες, αἵ ποτε ἐλθοῦσαι εἰς τὸν γάμον Κάδμου, ὁπότ' ἠγάγετο τὴν Ἁρμονίαν, ἐμέλψατε τὸ κάλλιστον ἐκεῖνο ἔπος· Ὅ,τι μὲν καλὸν ὑπάρχει, τοῦτο φίλον ἐστὶ πᾶσι· τὸ δὲ μὴ καλὸν οὐ φίλον· τοῦτο τοὖπος διὰ στόματος τῶν ἀθανάτων ἦλθε·

Κύρνε, σοφιζομένῳ μὲν ἐμοὶ σφρηγὶς ἐπικείσθω
Τοῖσδ' ἔπεσι· λήσει δ' οὔποτε κλεπτομένη.
Οὐδέ τις ἀλλάξει κάκιον, τοῦ 'σθλοῦ παρεόντος.
Ὧδε δὲ πᾶς ἐρέει· Θεόγνιδός ἐστιν ἔπη
Τοῦ Μεγαρέως, πάντας δὲ κατ' ἀνθρώπους ὀνομαστοῦ.
Ἀστοῖσιν δ' οὔπω πᾶσιν ἁδεῖν δύναμαι.
Οὐδὲν θαυμαστὸν, Πολυπαίδη. οὐδὲ γὰρ ὁ Ζεὺς
Οὔθ' ὕων πάντας ἁνδάνει, οὔτ' ἀνέχων.
Σοὶ δ' ἐγὼ εὖ φρονέων ὑποθήσομαι, οἷά περ αὐτὸς,
Κύρν', ἀπὸ τῶν ἀγαθῶν, παῖς ἔτ' ἐὼν, ἔμαθον.

Πέπνυσο, μηδ' αἰσχροῖσιν ἐπ' ἔργμασι, μηδ' ἀδίκοισι
Τιμὰς, μήτ' ἀρετὰς ἕλκεο, μήτ' ἄφενος.
Ταῦτα μὲν οὕτως ἴσθι· κακοῖσι δὲ μὴ προσομίλει
Ἀνδράσιν, ἀλλ' αἰεὶ τῶν ἀγαθῶν ἔχεο,
Καὶ μετὰ τοῖσιν πῖνε καὶ ἔσθιε, καὶ παρὰ τοῖσιν
Ἵζε, καὶ ἅνδανε τοῖς, ὧν μεγάλη δύναμις.
Ἐσθλῶν μὲν γὰρ ἀπ' ἐσθλὰ μαθήσεαι· ἢν δὲ κακοῖσι
Συμμιχθῇς, ἀπολεῖς καὶ τὸν ἐόντα νόον.
Ταῦτα μαθὼν, ἀγαθοῖσιν ὁμίλεε, καί ποτε φήσεις
Εὖ συμβουλεύειν τοῖσι φίλοισιν ἐμέ.

Κύρνε, κύει πόλις ἥδε· δέδοικα δὲ μὴ τέκῃ ἄνδρα
Ὑβριστὴν, χαλεπῆς ἡγεμόνα στάσιος.
Ἀστοὶ μὲν γὰρ ἔασι σαόφρονες· ἡγεμόνες δὲ
Τετράφαται πολλὴν ἐς κακότητα πεσεῖν.
Οὐδεμίαν πω, Κύρν', ἀγαθοὶ πόλιν ὤλεσαν ἄνδρες,
Ἀλλ' ὅταν ὑβρίζειν τοῖσι κακοῖσιν ἅδῃ,

Σὺ δ' αὐτὸς, ὦ φίλε Κύρνε, ἐπισφράγισον ἀσφαλῶς τὰ ἔπη τῆς ἐμῆς σοφίας ταῦτα· πᾶς γάρ τις, τοῦ ἐσθλοῦ παρόντος, οὐκ ἂν ἕλοιτό ποτε τὸ χεῖρον· ἀλλ' εἴτις σφετερίσαιτό τι τούτων, οὐκ ἂν λάθοι, τοῦτ' ἀποτολμήσας· ἐρεῖ γὰρ ἕκαστος, τὰ ἔπη ταῦτα Θεόγνιδός ἐστι τοῦ Μεγαρέως· ὃς οὐκ ἀγνώς ἐστι πᾶσι τοῖς θύραθεν ἀνθρώποις· μόνοις δὲ τοῖς ἐμαυτοῦ πολίταις οὔπω δεδύνημαι ἀρέσκειν· κοὐδὲν θαυμαστὸν τοῦτο, ὦ Πολυπαίδη· οὐδὲ γὰρ αὐτὸς ὁ Ζεὺς ἀρέσκει πᾶσιν, οὔτε ὕων, οὔτε μὴ ὕων· Νῦν δὲ, ὦ Κύρνε, βούλομαί σοι συμβουλεῦσαι ἐξ εὐνοίας, ἃ τῶν ἀγαθῶν τυγχάνω κἀγὼ μεμαθηκὼς ἐκ παίδων·

Σωφρόνει ἀεὶ ἐν πᾶσι, μηδέποτε ἀπ' ἔργων αἰσχρῶν τε καὶ ἀδίκων μήτε τιμὴν μήτ' ἀρετὴν μήτε πλοῦτον μεταδιώκων· Ταῦτα γράψον πρῶτον ἐς πλάτος τῆς καρδίας· ἔπειτα μηδενὶ πονηρῷ προσομιλήσῃς· ἀεὶ δὲ τῶν ἀγαθῶν ἔχου τὸν τρόπον, τούτοις συνεσθίων τε καὶ πίνων καὶ συγκαθεζόμενος· καὶ τοῖς προὔχοσι τούτων γνώμῃ ἁρμόζου τὰ εἰκότα· ἀπὸ μὲν γὰρ τῶν ἀγαθῶν ἀγαθοὺς ἔξεστι γενέσθαι· ὃς δ' ἂν ὁμιλήσῃ φαύλοις, καὶ τὸν παρόντα νοῦν συμβαίνει ἀπολέσαι· Ταῦτ' οὖν εἰδὼς, τίμα ἀεὶ τὴν μετὰ τῶν ἀγαθῶν καὶ σοφῶν ὁμιλίαν, καὶ ἔσται πόθ', ὅτ' ἐρεῖς με ὀρθῶς τοῖς φίλοις συμβουλεύειν.

Ἡ πόλις αὕτη, Κύρνε, δοκεῖ μοι ἤδη κύειν· καὶ δέδοικα μὴ τέκῃ ἄνδρα τυραννίας καὶ ὕβρεως ἀρχηγέτην· οἱ μὲν γὰρ πολῖται ἔτι καὶ νῦν σωφρόνως δοκοῦσιν ἔχειν· τοὺς δ' ἡγεμόνας ὁρῶ ἐπὶ κακίαν τετραμμένους· οὐδεμίαν γὰρ πόλιν ἴσμεν ἀπολωλυῖαν ὑπ' ἀνδρῶν ἀρετῇ διαπρεψάντων· ἀλλ' ὅταν τινὲς ὕβρει πολλῇ ἐπηρμένοι, κρείττους τε τῶν νόμων γεγενημένοι, καὶ τὸ ἑαυ-

Δῆμόν τε φθείρωσι, δίκας τ' ἀδίκοισι διδῶσιν,
Οἰκείων κερδῶν εἵνεκα καὶ κράτεος,
Ἔλπεο μὴ δηρὸν κείνην πόλιν ἀτρεμέεσθαι,
Μηδ' εἰ νῦν κεῖται πολλῇ ἐν ἡσυχίῃ,
Εὖτ' ἂν τοῖσι κακοῖσι φίλ' ἀνδράσι ταῦτα γένηται
Κέρδεα, δημοσίῳ σὺν κακῷ ἐρχόμενα.
Ἐκ τῶν γὰρ στάσις ἐστὶ, καὶ ἔμφυλοι φόνοι ἀνδρῶν.
Μούναρχος δὲ πόλει μήποτε τῇδε ἄδοι.

Κύρνε, πόλις μὲν ἔθ' ἥδε πόλις· λαοὶ δὲ δὴ ἄλλοι.
Οἳ πρόσθ' οὔτε δίκας ᾔδεσαν, οὔτε νόμους.
Ἀλλ' ἀμφὶ πλευρῇσι δορὰς αἰγῶν κατέτριβον·
Εἴσω δ' ὥστ' ἔλαφοι τήνδ' ἐνέμοντο πόλιν.
Καὶ νῦν εἰσ' ἀγαθοὶ, Πολυπαίδη· οἱ δὲ πρὶν ἐσθλοὶ,
Νῦν δειλοί. τίς κεν ταῦτ' ἀνέχοιτ' ἐσορῶν.
Ἀλλήλους δ' ἀπατῶσιν, ἐπ' ἀλλήλοισι γελῶντες,
Οὔτε κακῶν γνώμας εἰδότες οὔτ' ἀγαθῶν.
Μηδένα τῶνδε φίλον, πολυπαίδη, ποίεο ἀστῶν
Ἐκ θυμοῦ χρείης εἵνεκα μηδεμιῆς.
Ἀλλὰ δόκει μὲν πᾶσιν ἀπὸ γλώσσης φίλος εἶναι,
Χρῆμα δὲ συμμίξῃς μηδενὶ μηδ' ὁτιοῦν
Σπουδαῖον. γνώσῃ γὰρ ὀϊζυρῶν φρένας ἀνδρῶν,
Ὥς σφιν ἐπ' ἔργοισι πίστις ἐπ' οὐδεμίη.
Ἀλλὰ δόλους τ', ἀπάτας τε, πολυπλοκίας τ' ἐφίλησαν
Οὕτως, ὡς ἄνδρες μηκέτι σωζόμενοι.

Μήποτε, Κύρνε, κακῷ πίσυνος βούλευε σὺν ἀνδρὶ,
Εὖτ' ἂν σπουδαῖον πρῆγμ' ἐθέλῃς τελέσαι.

τῶν προορώμενοι μόνον, τόν τε δῆμον διεφθείρωσι, καὶ τὰς θέμιστας ἀνδράσι παραδιδῶσιν ἀθεμίστοις, τότε δὴ οὐκέτ' ἐλπὶς τὴν πόλιν ἐκείνην εὐθηνήσειν, κἂν δοκῇ ἐν τῷ παρόντι ἀστασιάστως ἔχειν, πολύ τι κέρδος ἐκ τῆς τῶν δημοσίων βλάβης τῶν πονηρῶν ἑαυτοῖς ἔσεσθαι προσδοκώντων· ἐξ ὧν στάσις ἐγείρεται δεινὴ, κἀκ ταύτης ἐμφύλιον ἐκχεῖται αἷμα· Ἀλλ' εἴθε μονάρχης μηδέ ποτε τῇ πόλει ταύτῃ εἴη.

Ἡ μὲν οὖν πόλις, ὦ Κύρνε, τοιαύτη· Οἱ δὲ λαοὶ ἄλλοτε ἄλλοι· οἱ μὲν γὰρ πάλαι ποτὲ γεγενημένοι, οὔτε δίκας εἰδότες, οὔτε νόμους, ἀλλ' αἰγῶν δορὰς ἐνδεδυμένοι, οὕτω κατέτριβον τὸν βίον, ἔξωθεν ὡς ἔλαφοι νεμόμενοι τὴν πόλιν· νῦν δὲ οἱ περιόντες ἀγαθοί τινες δοκοῦσιν εἶναι' Οἱ δὲ πάλαι ὄντες ἀγαθοὶ, δειλοί εἰσι τοῖς νεωτέροις· Τίς οὖν ταῦθ' ὁρῶν ἀνάσχοιτ' ἄν; ἄλλος ἄλλον ἀπατῶντες, ἐγγελῶσιν ἐπ' ἀλλήλοις, μηδ' ἑτέρων μήτ' ἀγαθῶν, μήτε κακῶν εἰδότες γνώμας· Τούτων οὖν, ὦ Πολυπαΐδη, μηδένα ἑκὼν εἶναι βούλου ποιεῖσθαι φίλον μηδεμιᾷ προφάσει· δόκει δ' οὖν αὐτοῖς μόνον ἐκ μόνων λόγων· ἐν δ' ἔργῳ ὁτῳοῦν ἀπέχου τούτων πάμπαν· οὕτω γὰρ ἂν γνοίης, ἃ οἱ πονηροὶ φρονοῦσιν, ὡς οὐδεμία παρ' αὐτοῖς ἐν ἔργοις ἐστὶ πίστις· δόλους δὲ καὶ σκευωρίας καὶ πλοκὰς λόγων ψευδῶν προείλοντο διώκειν οὕτως, ὡς ἄνθρωποι μηκέτι μηδεμίαν περὶ σωρίας ποιούμενοι φροντίδα.

Ὅτ' ἐθέλεις σπουδαίῳ τῷ ἐπιχειρῆσαι, μηδενὶ κακῷ συμβούλῳ χρώμενος, ἐπιχείρει· ἀλλ' ἐῶν τοῦτον χαίρειν, ἄνυ-

Ἀλλὰ μετ' ἐσθλὸν ἰὼν, βουλεύεο πολλὰ μογήσας,
Καὶ μακρὴν ποσσὶ, Κύρν', ὁδὸν ἐκτελέσας.

Πρῆξιν μηδὲ φίλοισιν ὁμῶς ἀνακοίνεο πᾶσι.
Παῦροί τοι πολλῶν πιστὸν ἔχουσι νόον.
Παύροισιν πίσυνος μεγάλ' ἀνδράσιν ἔργ' ἐπιχείρει,
Μή ποτ' ἀνήκεστον, Κύρνε, λάβῃς ἀνίην.

Πιστὸς ἀνὴρ χρυσοῦ τε καὶ ἀργύρου ἀντερύσασθαι
Ἄξιος, ἐν χαλεπῇ, Κύρνε, διχοστασίῃ.

Παύρους εὑρήσεις, Πολυπαΐδη, ἄνδρας ἑταίρους
Πιστοὺς ἐν χαλεποῖς πρήγμασι γιγνομένους,
Οἵ τινες ἂν τολμῷεν, ὁμόφρονα θυμὸν ἔχοντες,
Ἶσον τῶν ἀγαθῶν τῶν τε κακῶν μετέχειν.
Τοὺς δ' οὐχ εὑρήσεις διζήμενος, οὐδ' ἐπὶ πάντας
Ἀνθρώπους, οὓς ναῦς μὴ μία πάντας ἄγοι,
Οἷσιν ἐπὶ γλώσσῃ τε καὶ ὀφθαλμοῖσιν ἔπεστιν
Αἰδὼς, οὐδ' αἰσχρὸν χρῆμ' ἔπι κέρδος ἄγει.

Μή μ' ἔπεσι μὲν στέργε, νόον δ' ἔχε καὶ φρένας ἄλλῃ,
Εἴ με φιλεῖς, καί σοι πιστὸς ἔνεστι νόος.
Ἤ με φίλει, καθαρὸν θέμενος νόον, ἤ μ' ἀποειπὼν,
ἔχθαιρ', ἀμφαδίην νεῖκος ἀειράμενος.
Ὃς δὲ μιῇ γλώσσῃ δίχ' ἔχει νόον, οὗτος ἑταῖρος
Δεινὸς, Κύρν', ἐχθρὸς βέλτερος, ἢ φίλος ὤν.

Οὕτω χρὴ τόν γ' ἐσθλὸν ἐπιστρέψαντα νόημα,
Ἔμπεδον αἰὲν ἔχειν ἐς τέλος ἀνδρὶ φίλῳ.

Εἴ τις ἐπαινήσει σε τόσον χρόνον, ὅσσον ὁρῴη,
Νοσφισθεὶς δ' ἄλλῃ, γλῶσσαν ἵησι κακὴν,
Τοιοῦτός τοι ἑταῖρος ἀνὴρ φίλος οὔ τι μάλ' ἐσθλὸς,
Ὅς κ' εἴπῃ γλώσσῃ λῷστα, φρονεῖ δ' ἕτερα.
Ἀλλ' εἴη τοιοῦτος ἐμὸς φίλος, ὃς τὸν ἑταῖρον
Γιγνώσκων, ὀργὴν καὶ βαρὺν ὄντα, φέρει

τε, κἂν πολλὰ δέῃ πονῆσαι, πρὸς ὃν ἂν εἰδῇς ἄριστον ἄνδρα ὄντα, κἂν μακρὰν ὁδὸν περάσαι, τούτῳ χρησόμενος συμβούλῳ.

Ὅδ᾽ ἐν νῷ ἔχεις ποιῆσαι, τοῦτο μὴ πᾶσιν ἑξῆς τοῖς φίλοις ἀνακοίνου· ἐλαχίστους γὰρ ἂν εὕροις εἰλικρίνειαν ἐνδεικνυμένους· Ὀλίγοις οὖν πειθόμενος, μεγάλα πρᾶττε, ἵνα μή σοι χεῖρόν τι ἐκ τούτων ἔλθῃ.

Πιστὸς μὲν ἀνὴρ ἄξιος ἀντὶ πολλοῦ χρυσοῦ τε καὶ ἀργύρου ὡς ἐν δεινῇ μάλιστα στάσει.

Ἀλλ᾽ οὐκ ἂν εὕροις, ἢ πάνυ ἐλαχίσους πισοὺς ἐν δεινοῖς πρὸς φίλους γεγενημένους, ὥστε τολμᾶν ἐξ ὁμοίων φρονημάτων τῶν αὐτῶν ἀγαθῶν καὶ κακῶν μετέχειν· οὓς ζητῶν οὐδ᾽ ἐν πᾶσιν ἀνθρώποις, οὓς ἂν μία ναῦς μὴ πάντας ἄγῃ εὕροις ἂν τοιούτους, ὧν τήν τε γλῶτταν καὶ τὰ ὄμματα αἰδὼς κατέχει, ὥστε πρὸς αἰσχρὸν κέρδος μηδέποτ᾽ ἀποβλέπειν.

Μηδὲ χαῖρε λόγοις ἄλλως, τὸν νοῦν ἄλλο σε ἔχων· δεῖ γάρ σε ἤ με φιλεῖν ἐξ εἰλικρινείας, ἢ τοῦτ᾽ ἀπειπόντα, μισεῖν, φανερὰν ἀράμενος ἔχθραν· ὃς γὰρ ἀπὸ τῆς αὐτῆς γλώττης διπλοῦν τρέφει νοῦν, τοῦτον ἄμεινόν ἐστι μὴ τοῖς φίλοις, ἀλλ᾽ ἐν ἐχθροῖς τετάχθαι·

Οὕτω χρὴ τὸν ἀγαθὸν μεταβαλόντα γνώμην, πιστὸν ἀεὶ ἀνδρὶ φίλῳ διαμένειν.

Ὃς γὰρ ἂν ἐπαινῇ σε παρόντα μόνον, ἀπόντα δὲ ψέγῃ, οὕτως γε διπλοῦς ὤν, οὐκ ἂν εἰλικρινὴς γένοιτο φίλος, ἄλλα μὲν ἐπὶ γλώττης φέρων, ἕτερα δ᾽ ἐν νῷ καλύπτων· εἴη δ᾽ οὖν ἔμοιγε φίλος, ὃς καὶ παράφορον ὀργῇ εἰδὼς τὸν φίλον, καὶ βαρὺν ἄλλως ὄντα, ὅμως οὐχ ἧττον, ἢ ἀδελφὸν ἐκεῖνον ὑποφέρει. Σὺ δ᾽,

Ἀντὶ κασιγνήτου. σὺ δ' ἐμοί, φίλε, ταῦτ' ἐνὶ θυμῷ
    Φράζεο, καί ποτ' ἐμοῦ μνήσεαι ἐξοπίσω.

Μηδείς σ' ἀνθρώπων πείσῃ κακὸν ἄνδρα φιλῆσαι,
    Κύρνε· τί δ' ἔστ' ὄφελος κεῖνος ἀνὴρ, φίλος ὤν;
Οὔτ' ἄν σ' ἐκ χαλεποῖο πόνου ῥύσαιτο καὶ ἄτης,
    Οὔτε κεν ἐσθλὸν ἔχων, τοῦ μεταδοῦν' ἐθέλοι.
Δειλοὺς δ' εὖ ἔρδοντι ματαιοτάτη χάρις ἐστίν·
    Ἶσον γὰρ σπείρειν πόντον ἁλὸς πολιῆς.
Οὔτε γὰρ ἂν πόντον σπείρων, βαθὺ λήϊον ἀμῷς,
    Οὔτε κακοὺς εὖ δρῶν, εὖ πάλιν ἀντιλάβοις.
Ἄπληστον γὰρ ἔχουσι κακοὶ νόον. ἣν δ' ἓν ἁμάρτῃς,
    Τῶν πρόσθεν πάντων ἐκκέχυται φιλότης.
Οἱ δ' ἀγαθοὶ τὸ μέγιστον ἐπαυρίσκουσι παθόντες,
    Μνῆμα δ' ἔχουσ' ἀγαθῶν καὶ χάριν ἐξοπίσω.

Μήποτέ τοι κακὸν ἄνδρα φίλον ποιεῖσθαι ἑταῖρον,
    Ἀλλ' αἰεὶ φεύγειν, ὥστε κακὸν λιμένα.
Πολλοὶ πὰρ κρητῆρι φίλοι γίγνονται ἑταῖροι·
    Ἐν δὲ σπουδαίῳ πρήγματι παυρότεροι.
Κιβδήλου δ' ἀνδρὸς γνῶναι χαλεπώτερον οὐδὲν,
    Κύρν'. οὐδ' εὐλαβίης ἐστὶ περὶ πλέονος.
Χρυσοῦ κιβδήλοιο καὶ ἀργύρου ἄνσχετος ἄτη,
    Κύρνε, καὶ ἐξευρεῖν ῥάδιον ἀνδρὶ σοφῷ·
Εἰ δὲ φίλου νόος ἀνδρὸς ἐνὶ στήθεσσι λέληθε
    Ψυδρὸς ἐὼν, δόλιον δ' ἐν φρεσὶν ἦτορ ἔχει,
Τοῦτο θεὸς κιβδηλότατον ποίησε βροτοῖσι,
    Καὶ γνῶναι πάντων τοῦτ' ἀνιηρότατον.
Οὐ γὰρ ἂν εἰδείης ἀνδρὸς νόον, οὔτε γυναικὸς,
    Πρὶν πειραθείης, ὥσπερ ὑποζυγίου·

ὦ φίλε Κύρνε, ἀκούσας ταῦτα, ἐγκατάθου τῇ ψυχῇ, καὶ ἔςαι ὅτε μεμνήσῃ μου ταῦτα εἰπόντος.

Μηδενὶ πεισθεὶς, κακῷ ἀνδρὶ χρήσῃ φίλῳ· τί γὰρ ποτ᾽ ἂν εἴη ὄφελος τοῦ τοιούτου, ὃς μήτ᾽ ἐν δεινοῖς ἀπαλλάξει σε τῶν πόνων, μήτ᾽ ἀγαθόν τι ἔχων, μεταδοῦναί σοι τούτου ἐθέλει; Οὐκοῦν κακοὺς εὖ ποιεῖν ἀνόνητός ἐςιν ἡ χάρις οὐ μᾶλλον, ἢ καὶ εἰ ἐπὶ θαλάττης σπείρεις· οὔτε γὰρ ἐκείνη ἐνσπαρεῖσα ἀνήσει σοι τῷ σπείραντι ἀμᾶσθαι, οὔτε κακοὺς εὖ ποιῶν, τῶν αὐτῶν ἀξιωθήσῃ· οἱ γὰρ τοιοῦτοι πλεονεξίας ὑπερβολῇ, εἴτι ποτὲ ἁμάρτοις, πάντα τὰ πρόσθεν φίλως γεγενημένα ἀθρόα ἐξέχεαν· τοὐναντίον δὲ οἱ ἀγαθοὶ, καὶ πάσχοντες εὐεργετοῦνται, καὶ τὴν χάριν ἀεὶ διασώζουσι τῇ μνήμῃ.

Ταῦτ᾽ ἄρ᾽ οὐ χρὴ φαῦλον ποιεῖσθαι φίλον, ἀλλὰ φεύγειν πόῤῥωθεν ὡς τὸν κακὸν λιμένα· ἐν μὲν γὰρ τοῖς πότοις πολλοὶ γίγνονται φίλοι, ἐν δὲ τοῖς σπουδαίοις τῶν πραγμάτων ἐλάχιςοι. Ὅθεν ὅσον ἐστὶ δυσχερὲς κίβδηλον ἄνδρα γνῶναι, τοσοῦτον τὸν τοιοῦτον τῶν ἀναγκαιοτάτων ἐστὶ φεύγειν· καὶ ἡ μὲν ἐκ τοῦ κιβδήλου χρυσοῦ βλάβη ἀνασχετὴ ἂν εἴη, καὶ πρόχειρος ἀργυρογνώμονι ἀνδρὶ τοῦτ᾽ ἐξελέγξαι· ἐπειδὰν δέ τις τῷ ψεύδει χαίρῃ, ἕτερα μὲν ἐπὶ γλώττης φέρων, ἄλλα δὲ ἐν τῇ καρδίᾳ δόλια τρέφων, τοῦτον ὁ Ζεὺς μέγιστον κακὸν παρέσχε τοῖς ἀνθρώποις· πῶς γὰρ ἂν εἰδείης εἴτ᾽ ἀνδρὸς εἴτε γυναικὸς κρυψίνου φρονήματα, πρὶν ἂν πεῖραν λάβῃς αὐτῶν, ὥσπερ ὑποζυγίου; οὐ γὰρ, ὥσπερ ἐπὶ τὴν ὀπώραν ἐλθὼν, διαγινώσκεις εὐθὺς τῆς ὥρου τὴν πέπειρον,

Οὐδέ κεν εἰκάσσαις, ὥσπερ πότ' ἐς ὤνιον ἐλθών·
Πολλάκι γὰρ γνώμην ἐξαπατῶσ' ἰδέαι.

Μήτ' ἀρετὴν εὔχου, Πολυπαίδη, ἔξοχος εἶναι,
Μήτ' ἄφενος· μοῦνον δ' ἀνδρὶ γένοιτο τύχη.
Οὐδὲν ἐν ἀνθρώποισι πατρὸς καὶ μητρὸς ἄμεινον
Ἔπλετο, τοῖς ὁσίη, Κύρνε, μέμηλε δίκη.

Οὐδείς, Κύρν', ἄτης καὶ κέρδεος αἴτιος αὐτός·
Ἀλλὰ θεοὶ τούτων δώτορες ἀμφοτέρων.
Οὐδέ τις ἀνθρώπων ἐργάζεται, ἐν φρεσὶν εἰδώς,
Ἐς τέλος εἴτ' ἀγαθὸν γίγνεται, εἴτε κακόν.
Πολλάκι γὰρ δοκέων θήσειν κακὸν, ἐσθλὸν ἔθηκε·
Καί τε δοκῶν θήσειν ἐσθλὸν, ἔθηκε κακόν.
Οὐδέ τῳ ἀνθρώπων παραγίγνεται, ὅσσ' ἐθέλησιν·
Ἴσχει γὰρ χαλεπῆς πείρατ' ἀμηχανίης.
Ἄνθρωποι δὲ μάταια νομίζομεν, εἰδότες οὐδέν·
Θεοὶ δὲ κατὰ σφέτερον πάντα τελοῦσι νόον.

Οὐδείς πω ξεῖνον, Πολυπαίδη, ἐξαπατήσας,
Οὐδ' ἱκέτην θνητῶν, ἀθανάτους ἔλαθε.

Βούλεο δ' εὐσεβέων ὀλίγοις σὺν χρήμασιν οἰκεῖν,
Ἢ πλουτεῖν, ἀδίκως χρήματα πασάμενος.
Ἐν δὲ δικαιοσύνῃ συλλήβδην πᾶσ' ἀρετή 'στι·
Πᾶς δέ τ' ἀνὴρ ἀγαθὸς, Κύρνε, δίκαιος ἐών.

Χρήματα μὲν δαίμων καὶ παγκάκῳ ἀνδρὶ δίδωσιν·
Ἡ δ' ἀρετὴ ὀλίγοις ἀνδράσι, Κύρν', ἕπεται.

οὕτως ἂν εἰκάσειας καὶ ὅςτις τῶν ἀνθρώπων ἐστὶν ἀγαθὸς ἐκ μόνης θέας· πολλάκις γὰρ ἡ θέα παραιρεῖται τῆς εὐνοίας τὸ ἀτρεκές.

Μήτ' ἀνδρίαν, ὦ Πολυπαίδη, ἔξοχον, μήτε πλοῦτον σεαυτῷ γενέσθαι δι' ἐφέσεως ἔχε· τύχη δ' ἑκάστῳ μόνον ἄξιον δῶρον.

Οἷς δὴ μέλει δίκης ὁσίας, τούτοις πατρὸς καὶ μητρὸς οὐδὲν προτιμότερον.

Τά τε ἀγαθὰ τά τε κακὰ, ὦ Κύρνε, οἱ θεοὶ ταῦτα παρέχουσι τοῖς ἀνθρώποις, καὶ εἷς οὐδεὶς αὐτὸς ἕκαστος ἑαυτῷ τούτων αἴτιος ἂν γένοιτο, ὡς μηδενὸς εἰδότος ἀτρεκῶς, εἴτε ἀγαθὸν, εἴτε κακὸν, ὃ ἂν ἐργάζηται, ἐς τέλος ἀποβαίη· πολλάκις γὰρ, ὃ μὲν δοκεῖ αὐτῷ κακῶς ἕξειν πράξαντι, τοῦτ' αὐτῷ ὑπῆρξεν εἰς σωτηρίαν· ὃ δὲ καλῶς, τοῦτο τοὐναντίον ἀπέβη αὐτῷ εἰς ἀπώλειαν· οὐδὲ γὰρ παραγίνεται τοῖς ἀνθρώποις ὅ,τι ἂν αὐτοὺς παραπείθωσιν αἱ προαιρέσεις, τῆς ἀμηχάνου πενίας κωλυούσης· οἱ δὲ ἄνθρωποι, μὴ εἰδότες, ὅτι τοῖς θεοῖς πάντα πράττεται κατὰ βούλησιν, φρονοῦμεν μάταια.

Οὐδεὶς, ὦ Πολυπαίδη, ἐξαπατήσας ξένον, ἢ ἱκέτην, ἔλαθε τοὺς θεοὺς τοῦτο πράξας.

Βούλου δ' ἀεὶ εὐσεβῶς ζῆν, ἐξ ὀλίγων μὲν, δικαίων δὲ χρημάτων ὁρμώμενος, ἢ ἐκ πολλῶν, ἀδίκως πλουτῶν· ἐν γὰρ τῷ δικαίῳ πᾶσα περικλείεται ἀρετή· καὶ πᾶς ὁ τὰ δίκαια ποιῶν ἀγαθός.

Χρήματα μὲν καὶ τοῖς κακίστοις πολλάκις παρέσχεν ἡ τύχη· ἡ δ' ἀρετὴ ἐλαχίστοις παροπηδεῖ.

Ὕβριν, Κύρνε, θεὸς πρῶτον κακὸν ὤπασεν ἀνδρὶ,
  Οὗ μέλλει χώρην μηδεμίαν θέμεναι.

Τίκτει τοι κόρος ὕβριν, ὅταν κακῷ ὄλβος ἕπηται
  Ἀνθρώπῳ, καὶ ὅτῳ μὴ νόος ἄρτιος ᾗ.

Μήποτέ τοι πενίην θυμοφθόρον ἀνδρὶ χολωθεὶς,
  Μηδ' ἀχρημοσύνην οὐλομένην πρόφερε.
Ζεὺς γάρ τοι τὸ τάλαντον ἐπιῤῥέπει ἄλλοτε ἄλλως,
  Ἄλλοτε μὲν πλουτεῖν, ἄλλοτε δ' οὐδὲν ἔχειν.

Μήποτε, Κύρν', ἀγοράσθαι ἔπος μέγα. οἶδε γὰρ οὐδεὶς
  Ἀνθρώπων, ὅ,τι νὺξ χ' ἡμέρα ἀνδρὶ τελεῖ.

Πολλοί τοι χρῶνται δειλαῖς φρεσὶ, δαίμονι δ' ἐσθλῷ,
  Οἷς τὸ κακὸν δοκέον γίγνεται εἰς ἀγαθόν.
Εἰσὶν δ' οἳ βουλῇ τ' ἀγαθῇ καὶ δαίμονι φαύλῳ
  Μοχθίζουσι· τέλος δ' ἔργμασιν οὐχ ἕπεται.

Οὐδεὶς ἀνθρώπων οὔτ' ὄλβιος, οὔτε πενιχρὸς,
  Οὔτε κακὸς, νόσφιν δαίμονος, οὔτ' ἀγαθός.
Ἄλλ' ἄλλῳ κακόν ἐστι· τὸ δ' ἀτρεκὲς, ὄλβιος οὐδεὶς
  Ἀνθρώπων, ὁπόσους ἠέλιος καθορᾷ.
Ὃν δὲ θεοὶ τιμῶσιν, ὁ καὶ μωμεύμενος αἰνεῖ.
  Ἀνδρὸς δὲ σπουδὴ γίγνεται οὐδεμία.

Θεοῖς εὔχου, οἷς ἐστι μέγα κράτος. οὔ τι ἄτερ θεῶν
  Γίγνεται ἀνθρώποις, οὔτ' ἀγάθ', οὔτε κακά.

Ἄνδρ' ἀγαθὸν πενίη πάντων δάμνησι μάλιστα,
  Καὶ γήρως πολιοῦ, Κύρνε καὶ ἠπιάλου·
Ἣν δὲ χρὴ φεύγοντα καὶ ἐς μεγακήτεα πόντον
  Ῥιπτεῖν, καὶ πετρῶν, Κύρνε, κατ' ἠλιβάτων.

Οὗ θεὸς μηδεμίαν ποιεῖται φροντίδα, τούτῳ πρῶτον κακὸν ἐντίθησι τὴν ὕβριν· πλοῦτος γὰρ κακῷ καὶ παράφρονι παρεπόμενος ἀνδρὶ, ὕβριν εἴωθε τίκτειν.

Ἢν δέ ποτ᾽, ὦ Κύρνε, ὀργῇ ἕνεκά του ληφθῇς πρός τινα, μὴ ὀνειδίσῃς αὐτῷ πενίαν καὶ ἀχρηματίαν. Ζεὺς γὰρ αὐτός ἐστιν ὁ τὸ τάλαντον ἄλλο τε ἄλλῳ ῥέπων, ὁτὲ μὲν πολλὰ κεκτῆσθαι, ὁτὲ δὲ μηδὲν ἔχειν.

Μηδὲν μηδέποτ᾽ ἀγόρευε μέγα ἔπος· οὐδεὶς γὰρ οἶδεν ὅ,τι αὐτῷ τέξεται ἡ ἐπιοῦσα.

Πολλοὶ γὰρ κακῶς μὲν φρονοῦσι, τύχῃ δὲ κέχρηνται ἀγαθῇ, καὶ τὸ δοκοῦν αὐτοῖς κακὸν εἶναι, εἰς ἀγαθὸν ἀποβαίνει· ἕτεροι δὲ τοὐναντίον, καί τοι ἐξ ὀρθῆς ὁρμώμενοι γνώμης, ἀλλ᾽ ἀλάστορι χρώμενοι δαίμονι, οὐ κατορθοῦσιν, ἐν οἷς ἀσχολοῦνται.

Οὐκ ἂν εἴη τῶν ἀνθρώπων οὐδεὶς οὔτε πλούσιος, οὔτε πένης, οὔτ᾽ ἀγαθὸς, οὔτε κακὸς ἄνευ τύχης· ἄλλος δὲ ἄλλου τινὸς κακοῦ μετέσχεν· εὐδαίμων δὲ, εἰ δεῖ τἀτρεκὲς εἰπεῖν, τῶν ὑφ᾽ ἥλιον εἴη ἂν οὐδεὶς οὐδαμοῦ, οὐδ᾽ ἂν ἀφίκοιτό ποτε ἐς τοῦτο· ὃν δὲ ἠγάπησαν οἱ θεοὶ, τοῦτον καὶ ὁ μισῶν ἡδέως θεραπεύει.

Εὔχου τοίνυν θεοῖς τοῖς πάντα δυναμένοις εὖ σοι γενέσθαι· ἐκ γὰρ τούτων πάντα, ἀγαθά τε κακά τε παραγίγνεται τοῖς ἀνθρώποις.

Ἄνδρ᾽ ἀγαθὸν φθείρει μάλιστα ἡ πενία· καὶ τοσούτῳ γε, ὅσῳ οὐδὲ γῆρας βαθὺ, οὔτ᾽ ἠπίαλος· χρὴ δ᾽ οὖν λαβόντ᾽ ἀποῤῥίπτειν αὐτὴν ἄνωθεν ἀπὸ ἀποῤῥῶγος ὑψηλῆς ἐς τὸν τῆς θαλάσσης πυθμένα· τεθνάναι γὰρ μυριάκις ἄμεινον, ἢ

Καὶ γὰρ ἀνὴρ πενίῃ δεδμημένος οὔτε τι εἰπεῖν
 Οὔτ᾽ ἔρξαι δύναται· γλῶσσα δὲ οἱ δέδεται.
Χρὴ δ᾽ ἄρ᾽ ὁμῶς ἐπὶ γῆν τε καὶ εὐρέα νῶτα θαλάσσης
 Δίζεσθαι χαλεπῆς, Κύρνε, λύσιν πενίης.
Τεθνάναι, φίλε Κύρνε, πενιχρῷ βέλτερον ἀνδρὶ,
 Ἢ ζώειν χαλεπῇ τειρόμενον πενίῃ.

Κριοὺς μὲν καὶ ὄνους διζήμεθα, Κύρνε, καὶ ἵππους
 Εὐγενέας· καί τις βούλεται ἐξ ἀγαθῶν
Κτήσασθαι. γῆμαι δὲ κακὴν κακοῦ οὐ μελεδαίνει
 Ἐσθλὸς ἀνὴρ, ἤν οἱ χρήματα πολλὰ διδῷ.
Οὐδὲ γυνὴ κακοῦ ἀνδρὸς ἀναίνεται εἶναι ἄκοιτις
 Πλουσίου· ἀλλ᾽ ἀφνεὸν βούλεται ἀντ᾽ ἀγαθοῦ.
Χρήματα γὰρ τιμῶσι, καὶ ἐκ κακοῦ ἐσθλὸς ἔγημε,
 Καὶ κακὸς ἐξ ἀγαθοῦ. πλοῦτος ἔμιξε γένος.
Οὕτω μὴ θαύμαζε γένος, Πολυπαΐδη, ἀστῶν
 Μαυροῦσθαι. σὺν γὰρ μίσγεται ἐσθλὰ κακοῖς.
Αὐτός τοι ταύτην εἰδὼς κακόπατριν ἐοῦσαν,
 Εἰς οἴκους ἄγεται, χρήμασι πειθόμενος,
Ἔνδοξος κακόδοξον, ἐπεὶ κρατερή μιν ἀνάγκη
 Ἐντύει, ἥ τ᾽ ἀνδρὸς τλήμονα θῆκε νόον.

Χρήματα δ᾽ ᾧ Διόθεν καὶ σὺν δίκῃ ἀνδρὶ γένηται
 Καὶ καθαρῶς, αἰεὶ παρμόνιμον τελέθει.
Εἰ δ᾽ ἀδίκως παρὰ καιρὸν ἀνὴρ φιλοκερδέϊ θυμῷ
 Κτήσεται, εἴθ᾽ ὅρκῳ πὰρ τὸ δίκαιον ἑλὼν,
Αὐτίκα μέν τι φέρειν κέρδος δοκεῖ, ἐς δὲ τελευτὴν
 Αὖθις ἔγεντο κακόν· θεῶν δ᾽ ὑπερέσχε νόος.
Ἀλλὰ τάδ᾽ ἀνθρώπων ἀπατᾷ νόον· οὐ γὰρ ἐπ᾽ αὐτοῖς
 Τίνονται μάκαρες πρήγμασι ἀμπλακίας.
Ἀλλ᾽ ὁ μὲν αὐτὸς ἔτισε κακὸν χρέος· ὃς δὲ φίλοισιν
 Ἄτην ἐξοπίσω παισὶν ἐπεκρέμασεν·

ζῆν φθειρόμενον πενίᾳ· ὁ γὰρ ὑπὸ τοιούτου θηρίου κεκρατημένος, οὔτ' εἰπεῖν δύναται, δεδεμένης αὐτῷ τῆς γλώσσης, οὔτε γοῦν πρᾶξαι ἄξιόν τι.

Κριοὺς μὲν, Κύρνε, καὶ ὄνους, καὶ ἵππους ζητοῦμεν κτήσασθαι σπουδαίους· ἐπιθυμεῖ γὰρ ἕκαστος ὑπ' ἀγαθῶν αὐτῷ ὀχεῖσθαι τὰς θηλυίας· ἐκ κακοῦ δὲ κακὴν γυναῖκα ἀγαγεῖν ἐς οἶκον ἀνὴρ χρηστὸς οὐκ ὀκνεῖ, ἢν ἴδῃ αὐτὴν πλουσίαν· οὐδ' αὖ γυνὴ ἀποστρέφεται ἀνδρὶ πλουσίῳ, καὶ ἢν φαῦλος τύχῃ ὢν οὗτος, συζευχθῆναι· χρημάτων γὰρ πολλῶν προδεικνυμένων ὅ,τ' ἀγαθὸς ἐκ κακοῦ, ὅ,τε φαῦλος ἐκ σπουδαίου συναινεῖ λαβεῖν γυναῖκα· Μὴ τοίνυν θαύμαζε, ὦ Πολυπαίδη, εἰ οὕτω χρηστῶν κακοῖς συμμιγνυμένων, διαφθείρεται τὸ γένος· ἕκαστος γὰρ αὐτὸς, καί τοι εἰδὼς γυναῖκ' ἡντιναοῦν ἐκ φαύλων γεγενημένην, ἀλλ' οὖν ἀνάγκης βίᾳ, οἵας οὔσης ἀνδρὸς φρόνημ' ἀφελεῖν, ἐδέξατο ἐς οἶκον, καὶ τίμιος αὐτὸς ὢν, ἄτιμον ἐκείνην οὖσαν, πειθόμενος χρήμασι.

Πλούσιον δὲ εἶναί τινα, εἰ μὲν τοῦτ' ἐκ Διὸς καὶ ἐκ δικαίων αὐτῷ δεδωρημένον εἴη, τοῦτο βέβαιον αὐτῷ ὑπάρξει· εἰ δ' ἐν ὀλίγῳ καὶ ἐκ πλεονεξίας, ἢ καὶ ἐξ ἐπιορκίας, κτῷτο, ἐν μὲν τῷ παραυτίκα δόξει τί φέρειν κέρδος· τελευτῶν δὲ σὺν αὐτῷ ἀπολεσθήσεται τῷ πλούτῳ, τοῦ θεοῦ κρείττονος γεγενημένου· ἀλλ' ἐξαπατῶνται ὑπὸ τούτων· οἱ γὰρ θεοὶ οὐκ εὐθὺς, ἐφ' οἷς ἂν ἁμάρτωσι, τιμωροῦνται τοὺς ἀνθρώπους· ἀλλ' ὁ μὲν α τῶν αὐτὸς παραχρῆμα δίκην, ὧν ἔπραξε δέδωκεν· ὁ δ' ἔπειτα τοῖς ἑαυτοῦ παισὶν κατέλιπε

Ἄλλον δ' οὐ κατέμαρψε δίκη· θάνατος γὰρ ἀναιδὴς
Πρόσθεν ἐπὶ βλεφάροις ἵζετο κῆρα φέρων.

Οὐδείς τοι φεύγοντι φίλος καὶ πιστὸς ἑταῖρος·
Τῆς δὲ φυγῆς ἐστι τοῦτ' ἀνιηρότερον.

Κύρνε, φίλους κατὰ πάντας ἐπίστρεφε ποικίλον ἦθος,
Ὀργὴν συμμίσγων, οἷος ἕκαστος ἔφυ.
Πουλύπου ὀργὴν ἴσχε πολυπλόκου, ὃς ποτὶ πέτρῃ,
Τῇ προσομιλήσῃ, τοῖος ἰδεῖν ἐφάνη.
Νῦν μὲν τῇδ' ἐφέπου, τοτὲ δ' ἀλλοῖος χρόα γίγνου.
Κρεῖσσόν τοι σοφίη γίγνεται ἀτροπίης.

Μηδὲν ἄγαν ἄσχαλλε ταρασσομένων πολιητῶν,
Κύρνε, μέσην δ' ἔρχου τὴν ὁδὸν, ὥσπερ ἐγώ.

Ὅστις τοι δοκέει τὸν πλησίον ἴδμεναι οὐδὲν,
Ἀλλ' αὐτὸς μοῦνος ποικίλα δήνε' ἔχειν,
Κεῖνός γ' ἄφρων ἐστὶ, νόου βεβλαμμένος ἐσθλοῦ.
Ἴσως γὰρ πάντες ποικίλ' ἐπιστάμεθα.
Ἀλλ' ὁ μὲν οὐκ ἐθέλει κακοκερδείῃσιν ἕπεσθαι·
Τῷ δὲ δολοπλοκίαι μᾶλλον ἄπιστοι ἅδον.

Ἀκρόπολις καὶ πύργος ἐὼν κενεόφρονι δήμῳ,
Κύρν', ὀλίγης τιμῆς ἔμμορεν ἐσθλὸς ἀνήρ.
Οὐδ' ἔτι γε πρέπει ἡμῖν, ἅτ' ἀνδράσι σωζομένοισιν,
Ἀλύειν, πόλεως ὥσπερ ἁλωσομένης.

Σοὶ μὲν ἐγὼ πτέρ' ἔδωκα, σὺν οἷς ἐπ' ἀπείρονα πόντον
Πωτήσῃ, κατὰ γῆν πᾶσαν ἀειρόμενος

παθεῖν τοῦτο· ἕτερος δὲ πρὶν αὐτῷ ἐπεξελθεῖν τὴν δίκην, φθὰς ὁ ἀμειδὴς καὶ ἀμείλικτος θάνατος, ἐπέθηκεν αὐτῷ ἐπὶ βλεφάροις βαρεῖαν κῆρα.

Οὐδεὶς, ὦ Κύρνε, τῷ φεύγοντι φίλος πιστὸς ἂν εἴη· ὅπερ ἐστὶ καὶ αὐτῆς τῆς φυγῆς λυπηρότερον τῷ φυγαδευομένῳ.

Κύρνε μὴ πάνυ ἐξ ἁπλότητος προσφέρου πᾶσιν ἑξῆς τοῖς φίλοις, ἀλλὰ ποικίλον πως αὐτοῖς παραδεικνύων ἦθος, συγκέρνα τὴν ὁρμὴν, ἣν ἂν ἕκαστος ἔχῃ· δεῖ γὰρ δὴ πολύποδος πρὸς αὐτοὺς μιμεῖσθαι τρόπον πολυπλόκου· ὅς, ᾗ ἂν προσομιλήσῃ πέτρᾳ, τὸ ταύτης προσισχόμενος μεταλαμβάνει εἶδος· οὕτω κᾀυτὸς νῦν μὲν ταύτην βάδιζε, ἄλλοτε δὲ παρὰ τὸν καιρὸν τὴν ἐναντίαν τρέπου. τὸ γὰρ σοφὸν τοῦτο πλάσμα τῆς μεταβολῆς οὐκ ἀνόνητον.

Τῶν δὲ πολιτῶν στασιαζόντων, μὴ σφόδρα λυποῦ, ἀλλὰ φιλοσόφει, τὴν μέσην ὁδὸν βαδίζων ἐμοὶ ὁμοίως.

Ὃς γὰρ οἴεται αὐτὸς μὲν εἰδέναι πάντα, τῶν δ᾽ ἄλλων μηδὲν μηδένα, οὗτος δοκεῖ παντελῶς τῶν φρενῶν ἐκπεπτωκέναι· δυνατὸν γὰρ καὶ τοὺς ἄλλους πολλὰ εἰδέναι· ἀλλὰ τῷ μὲν οὐκ ἀρέσκει πράγμασιν αἰσχροῖς περιπλακῆναι· τῷ δὲ φύσις δόλοις ἀπίστοις μάλιστα χαίρειν.

Ἀνὴρ σοφὸς, ὦ Κύρνε, ἐν δήμῳ κωφῷ καὶ ἀνοήτῳ, καί τοι ἀκρόπολις καὶ πύργος αὐτοῖς ὡμολόγηται πρὸς τὰ πράγματα εἶναι, ἀλλ᾽ οὐκ ἀξίας τιμῆς τυγχάνει· ἀλλ᾽ ἡμᾶς γε καὶ οὕτως, ὡς τὴν σώζουσαν βαδίζοντας ὁδὸν, οὐ χρὴ λυπεῖσθαι, ὥπερ πόλεώς τινος ἁλώσεσθαι μελλούσης.

Ἐγὼ μὲν οὖν δέδωκά σοι πτέρυγας, δι᾽ ὧν οἷός τ᾽ ἂν εἴης διαπτῆναι διά τε γῆς καὶ θαλάσσης κούφως τε καὶ ῥᾳδίως, ἔνθα

Ῥηϊδίως· θοίναις δὲ καὶ εἰλαπίνῃσι παρέσσῃ
Ἐν πάσαις, πολλῶν κείμενος ἐν στόμασι.
Καί σε σὺν αὐλίσκοισι λιγυφθόγγοις νέοι ἄνδρες
Εὐκόσμως ἐρατοὶ καλά τε καὶ λιγέα
Ἄσονται· καὶ ὅταν δνοφεροῖς ὑπὸ κεύθεσι γαίης
Βῇς πολυκωκύτους εἰς Ἀΐδαο δόμους,
Οὐδέποτ' οὐδὲ θανὼν ἀπολεῖς κλέος, οὐδέ γε λήσεις,
Ἄφθιτον ἀνθρώποις αἰὲν ἔχων ὄνομα,
Κύρνε, καθ' Ἑλλάδα γῆν στρωφώμενος, ἠδ' ἀνὰ νήσους,
Ἰχθυόεντα περῶν πόντον ἐπ' ἀτρύγετον,
Οὐχ ἵππων νώτοισιν ἐφήμενος, ἀλλά σε πέμψει
Ἀγλαὰ Μουσάων δῶρα ἰοστεφάνων.
Πᾶσι γάρ, οἶσι μέμηλε καὶ ἐσσομένοισιν ἀοιδή,
Ἔσσῃ ὁμῶς, ὄφρ' ἂν γῆ τε καὶ ἠέλιος.
Αὐτὰρ ἐγὼν ὀλίγης παρὰ σεῦ οὐ τυγχάνω αἰδοῦς·
Ἀλλ' ὥσπερ μικρὸν παῖδα λόγοις μ' ἀπατᾷς.

Κάλλιστον τὸ δικαιότατον· λῷστον δ' ὑγιαίνειν·
Ἥδιστον δὲ τυχεῖν, οὗ τις ἕκαστος ἐρᾷ.

Ἵππος ἐγὼ καλὴ καὶ ἀεθλίη· ἀλλὰ κάκιστον
Ἄνδρα φέρω, καί μοι τοῦτ' ἀνιηρότατον.
Πολλάκι δὴ μέλλησα, διαῤῥήξασα χαλινόν,
Φεύγειν, ὠσαμένη τὸν κακὸν ἡνίοχον.

Οὔ μοι πίνεται οἶνος, ἐπεὶ παρὰ παιδὶ τερείνῃ
Ἄλλος ἀνὴρ κατέχει πολλὸν ἐμοῦ κακίων.
Ψυχρόν μοι παρὰ τῇδε φίλοι πίνουσι τοκῆες,
Ὥσθ' ἅμα θ' ὑδρεύει, καί με γοῶσα φέρει.
Ἔνθα μέσην παρὰ παῖδα λαβὼν ἀγκῶν', ἐφίλησα
Δειρήν, ἡ δὲ τέρεν φθέγγεται ἀπὸ στόματος.

παρέσῃ πάσαις εὐωχίαις καὶ συνεστιάσεσιν, ᾀδόμενος ὑπὸ πολλῶν ςομάτων· πολλοὶ γὰρ τῶν νέων τῶν αὐλοῖς καὶ βορβίτοις χαιρόντων χαρίεντες καλὰ καὶ ἐμμελῆ σοι σὺν κόσμῳ ᾄσματα μέλψονται· κἀπειδὰν ἔπειτα καταβῇς εἰς τὸν τοῦ Ἅδου πολυθρήνητον κευθμῶνα, οὐδ᾽ οὕτως οὐδ᾽ ἐκεῖ ἀποθανὼν, τὸ σαυτοῦ ἂν ἀπολέσαις κλέος, οὐδὲ λήσειας οὐδένα ἀθάνατον κτησάμενος ὄνομα, ἀνὰ πᾶσαν τὴν Ἑλλάδα καὶ τὰς νήσους περιϊὼν, καὶ τὴν θάλασσαν περαιούμενος, οὐκ ἐφ᾽ ἵππου ὀχούμενος, ἀλλά σε ἀγλααὶ καὶ ἰοστεφεῖς περιηγήσονται Μοῦσαι· συνέσῃ γὰρ πᾶσιν, οἷς λόγος μολπῆς πολὺς κἀπὶ τὸ μέλλον, μέχρις ἂν ὁ ἥλιος τὴν γῆν αὐγάζῃ· ἀλλ᾽ ἐγὼ αὐτὸς οὐ τῆς ἀξίας αἰδοῦς παρὰ σοῦ δοκῶ μοι ἀξιοῦσθαι· οὕτως ὥσπερ μικρὸν παιδίον λόγοις ἐξαπατᾷς με.

Πᾶν μὲν δίκαιον κάλλιστον, ἄριστον δὲ ὑγεία, ἥδιστον δὲ τὸ τυχεῖν, ὧν ἂν ἕκαστον ἔρως ἔχῃ.

Καλὴ μὲν ἐγὼ ὑπάρχω ἵππος, καὶ οἵα πολλοὺς ἂν ἄθλους ὑποστῆναι, ἀλλὰ κάκιστον εἴληχ᾽ ἀναβάτην· ὅ μοι πάντων ἐστὶν ἀνιαρότατον· διὸ πολλάκις ἐπῆλθέ μοι ἀφηνιάσαι, ὥστε διαῤῥήξασαν τὸν χαλινὸν, ἀποσείσασθαι τὸν κακὸν ἀναβάτην.

Οὐκ εὐφραίνει με πινόμενος ὁ οἶνος, ἐπειδὴ παρὰ τῇ χαριέσσῃ κόρῃ ἄλλος πολλῷ χείρων ἐμοῦ τὴν ἕδραν ἔχει· Οἱ δὲ ἐμοὶ φίλοι τοκεῖς ψυχρὸν παρ᾽ αὐτῇ πίνουσιν ὕδωρ· ἡ δὲ ἅμα θ᾽ ὑδρεύει, κἀμὲ κλαίουσα φέρει· ἐγὼ δ᾽ ἐν ταῖς ἐμαῖς αὐτὴν παραλαβὼν ὠλέναις, ἐφίλησα· ἡ δὲ μάλ᾽ ἐρωτικὸν ἀπὸ στόματος προῆκε ῥῆμα.

Γνωτὴ τοι πενίη, καὶ ἀλλοτρίη περ ἐοῦσα.
  Οὔτε γὰρ εἰς ἀγορὴν ἔρχεται, οὔτε δίκας.
Πάντη γὰρ τοὔλασσον ἔχει· πάντη δ' ἐπίμικτος,
  Πάντη δ' ἐχθρὰ ὁμῶς γίγνεται, ἔνθα περ ᾖ.
Ἴσως τοι τὰ μὲν ἄλλα θεοὶ θνητοῖς ἀνθρώποις,
  Γῆράς τ' οὐλόμενον καὶ νεότητ' ἔδοσαν.
Τῶν πάντων δὲ κάκιστον ἐν ἀνθρώποις, θανάτου τε
  Καὶ πασέων νούσων ἐστὶ πονηρότατον,
Παῖδας ἐπεὶ θρέψαιο, καὶ ἄρμενα πάντα παράσχοις,
  Χρήματα δ' ἐγκαταθεὶς πόλλ', ἀνιηρὰ πάθοις·
Τὸν πατέρ' ἐχθαίρουσι, καταρῶνται δ' ἀπολέσθαι,
  Καὶ στυγέουσ', ὥσπερ πτωχὸν ἐπερχόμενον.
Εἰκὸς τὸν κακὸν ἄνδρα κακῶς τὰ δίκαια νομίζειν,
  Μηδεμίαν κατόπιν ἀζόμενον νέμεσιν.
Δειλῷ γὰρ τ' ἀπάλαμνα βροτῷ πάρα πόλλ' ἀνελέσθαι
  Πὰρ ποδὸς, ἡγεῖσθαί θ' ὡς καλὰ πάντα τιθεῖ.
Ἀστῶν μηδενὶ πιστεύων πόδα τόνδε πρόβαινε,
  Μήδ' ὅρκῳ πίσυνος, μήτε συνημοσύνῃ,
Μηδ' εἰ Ζῆν αὐτὸν παρέχοι βασιλῆα μέγιστον
  Ἔγγυον ἀθανάτων, πιστὰ τιθεῖν ἐθέλων.
Ἐν γάρ τοι πόλει ὧδε κακοψόγῳ ἁνδάνει οὐδέν·
  Ὡς δὲ τὸ σῶσαι οἱ πολλοὶ ἀνιηλεότεροι.
Νῦν δὲ τὰ τῶν ἀγαθῶν κακὰ, γίγνεται ἐσθλὰ κακοῖσιν
  Ἀνδρῶν, γίγνονται δ' εὐτραπέλοισι νόμος.
Αἰδὼς μὲν γὰρ ὄλωλεν, ἀναιδείη δὲ, καὶ ὕβρις
  Νικήσασα δίκην, γῆν κατὰ πᾶσαν ἔχει.

Γνωστὴ σοί ἐστιν ἡ πενία, ὡς ἀλλοτρία θεωρουμένη· μήτε εἰς ἐκκλησίαν, μήτ᾽ ἐς δίκας θαμίζει· ὅπου γὰρ ἂν ᾖ, τὸ ἔλαττον ἔχει πάντων· πανταχῇ δ᾽, ὅπου περ ἂν ᾖς ἐπίμεμπτος καὶ ἐχθρὰ πᾶσι γίγνεται.

Τὰ μὲν ἄλλα ἐξ ἴσου δοκοῦσιν οἱ θεοὶ ἀνθρώποις δεδωκέναι, νεότητά τε καὶ γῆρας πολυπαθὲς καὶ ἐπίμοχθον· τὸ δὲ πάντων κάκιστόν ἐστι παῖδας θρεψάμενον, καὶ πάντα τὸν οἶκον αὐτοῖς παραδόντα, καὶ χρήματα πάντα προσπαρασχόντα, ἔπειτα πολλὰ παθεῖν· μισοῦσι γὰρ ἐκεῖνοι τὸν πατέρα, κατευχόμενοι ἀποθανεῖν, καὶ ἀποστρεφόμενοι ἴσα καὶ πτωχῷ προσιόντα.

Κακὸν δὲ ὄντα, εἰκὸς μηδένα λόγον ποιεῖσθαι τῶν δικαίων· νέμεσιν θεῶν μηδεμίαν τιθέμενον ἐν τῷ μέλλοντι· πεφύκασι γὰρ οἱ κακοὶ καὶ ἀμήχανοι πολλῶν ἀνατίθεσθαι καὶ ἀμηχάνων πραγμάτων φόρτον, ἡγούμενοι πάντα καλῶς κατορθώσεσθαι.

Μηδέποτ᾽ ἐπιχείρει τῳ, τῶν πολιτῶν τινι πιστεύων, μήθ᾽ ὅρκῳ πειθόμενος, μήτε συνθήκῃ, μήτ᾽ εἰ Δί᾽ αὐτὸν τὸν πάντων ἀθανάτων μέγιστον ἐγγυητὴν παρέχοι, τῇ παρ᾽ ἐκείνου πίστει πειρώμενός σε βεβαιῶσαι· ἐν γὰρ τῇ κακοδαίμονι ταύτῃ πόλει οὐδὲν ἀρεστὸν, οὐδ᾽ αἰδέσιμον, καὶ οἱ πολλοὶ εἰσιν ἀτυχεῖς πρὸς τὸ σώζεσθαι· ὅσα ἃ πάσχουσιν οἱ ἀγαθοὶ, ταῦτα γίγνεται κέρδος τε καὶ νόμος τοῖς κακοῖς καὶ δολοπλόκοις· ἀπολωλυίας γὰρ τῆς αἰδοῦς, κρατεῖ ἐν πᾶσιν ἀναίδειά τε καὶ ὕβρις, πᾶσαν δίκην ἀπωσαμένη· καί τοι οὐδ᾽

Οὐδὲ λέων αἰεὶ κρέα δαίνυται· ἀλλά μιν ἔμπης
Καὶ κρατερόν περ ἐόνθ', αἱρεῖ ἀμηχανίη.

Κωτίλῳ ἀνθρώπῳ σιγᾶν χαλεπώτατον ἄχθος,
Φθεγγόμενος δ' ἀδαὴς, οἷσι παρῇ, πέλεται.
Ἐχθαίρουσι δὲ πάντες· ἀναγκαίη δ' ἐπίμιξις
Ἀνδρὸς τοιούτου συμποσίῳ τελέθει.
Οὐδ' ἐθέλει φίλος εἶναι, ἐπὴν κακὸν ἀνδρὶ γένηται,
Οὐδ' ἣν ἐκ γαστρὸς, Κύρνε, μιᾶς γεγόνῃ.

Πικρὸς καὶ γλυκὺς ἴσθι, καὶ ἀργαλέος, καὶ ἀπηνὴς
Λάτρισι καὶ δμωσὶ, γείτοσί τ' ἀγχιθύροις.

Οὐ χρὴ κιγκλίζειν ἀγαθὸν βίον, ἀλλ' ἀτρεμίζειν,
Τὸν δὲ κακὸν κινεῖν, ἔς τ' ἂν ἐς ὀρθὰ λάβῃς.

Οἱ κακοὶ οὐ πάντως κακοὶ ἐκ γαστρὸς γεγόνασιν,
Ἀλλ' ἄνδρεσσι κακοῖς συνθέμενοι φιλίην·
Ἔργα τε δείλ' ἔμαθον, καὶ ἔπη δύσφημα καὶ ὕβριν,
Ἐλπόμενοι κείνους πάντα λέγειν ἔτυμα.

Ἐν μὲν συσσίτοισιν ἀνὴρ πεπνυμένος ἴσθι.
Πάντα δέ μιν λήθειν ὡς ἀπεόντα δόκει,
Εἶδε φέρειν τὰ γελοῖα· θύρηφι δὲ καρτερὸς εἴης,
Γιγνώσκων ὀργὴν, ἥν τιν' ἕκαστος ἔχει.

Ἐν μὲν μαινομένοις μάλα μαίνομαι· ἐν δὲ δικαίοις
Πάντων ἀνθρώπων εἰμὶ δικαιότατος.

Κύρν', ἀγαθὸς μὲν ἀνὴρ γνώμην ἔχει ἔμπεδον αἰεί,
Τολμᾷ δ' ἔν τ' ἀγαθοῖς κείμενος, ἔν τε κακοῖς.

ὁ λέων, καίτοι ἰσχυρὸς ὤν, ἀεὶ κρεῶν ἐμφορεῖται· ἀλλ' ἔσθ' ὅτε εἰς ἀμηχανίαν ἥκει τροφῆς·

Λήρῳ ἀνδρὶ τὸ σιγᾷν μέγα βάρος· ἀλλὰ φθεγγόμενος, ἀμαθὴς κρίνεται παρὰ πᾶσιν, οἷς ἂν τύχῃ παρὼν, καὶ μισεῖται παρ' αὐτῶν· ἔχει δ' οὖν καὶ καλὸν συμπαρεῖναι ἐν τοῖς πότοις· ἄλλως δὲ τοῖς ἀτυχοῦσί ποτε φίλος ἀκούειν οὐδὲ θέλει, οὐδ' ἢν ἐκ τῆς αὐτῆς γαστρὸς τύχῃ γεγεννημένος.

Πρὸς δὲ τοὺς ἐπὶ μισθῷ ὑπηρετοῦντας καὶ οἰκέτας, καθάπερ αὖ καὶ τοὺς ἀγχιθύρους τῶν γειτόνων προσηνής τε ἅμα καὶ ἀπηνὴς γίγνου, τὸ πικρὸν ἐπιεικῶς τῷ γλυκεῖ καταμιγνύων.

Τὸν μὲν ὀρθὸν βίον οὐ χρὴ κινεῖν, ἀλλ' ἀτρεμοῦντα μάλιστα διασώζειν· τὸν δὲ φαῦλον μάλιστα δεῖ ἀναμιχλεύειν μέχρις ἂν ὀρθὸν λάβῃ σχῆμα.

Οἱ κακοὶ οὐ φύσει πάντως ἐξ ἀρχῆς γεγόνασι τοιοῦτοι, ἀλλ' ἐκ τοῦ πρὸς φαύλους φιλίαν καὶ ὁμιλίαν πεποιῆσθαι· παρ' ὧν ἔργα τε φαῦλα ἔμαθον πράττειν, καὶ λόγους δυσφήμους λέγειν, καλὰ πάνθ' ἑξῆς οἰόμενοι παρ' ἐκείνων ἀκούειν·

Πρὸς μὲν τοὺς συσσίτους φέρου ἀεὶ ἐπισταμένως καὶ ἀκούων μὴ ἀκούειν, καὶ βλέπων δοκῶν μὴ βλέπειν πάντα· φέρειν γὰρ δεῖ ἐνταῦθα τὰ γελοῖα· ἔξω δὲ ἐξαλλάσσου, διακρίνων, ἣν ἕκαστος τρέφει ὁρμὴν καὶ προαίρεσιν.

Ἐν μὲν μαινομένοις μαίνομαι κἀγὼ μάλιστα πάντων· ἐν δὲ τοῖς δικαίοις κατὰ πάντων φέρω τὰ νικητήρια.

Ἀνὴρ ἀγαθὸς ἀεὶ φρόνημα γενναῖον ἔχει, μήτ' ἐν εὐτυχίαις ἐπαιρόμενος, μήτ' ἐν δυστυχίαις ταπεινούμενος· ὁ δὲ

Εἰ δὲ θεὸς κακῷ ἀνδρὶ βίον καὶ πλοῦτον ὀπάσσει,
Ἀφραίνων, κακίην οὐ δύναται κατέχειν.

Μήποτ' ἐπὶ σμικρᾷ προφάσει φίλον ἄνδρ' ἀπολέσσῃς,
Πειθόμενος χαλεπῇ, Κύρνε, διαβολίῃ.
Εἴ τις ἁμαρτωλῇσι φίλων ἐπὶ παντὶ χολῷτο,
Οὔ ποτ' ἂν ἀλλήλοις ἄρθμιοι οὐδὲ φίλοι
Εἶεν. ἁμαρτωλαὶ γὰρ ἐν ἀνθρώποισιν ἕπονται
Θνητοῖς, Κύρνε· θεοὶ δ' οὐκ ἐθέλουσι φέρειν.

Καὶ βραδὺς εὔβουλος εἷλεν ταχὺν ἄνδρα διώκων,
Κύρνε, σὺν εὐθείῃ θεῶν δίκῃ ἀθανάτων.

Ἥσυχος, ὥσπερ ἐγὼ, μέσσην ὁδὸν ἔρχεο ποσσὶ,
Μηδ' ἑτέροισι διδοὺς, Κύρνε, τὰ τῶν ἑτέρων.

Μήποτε φεύγοντ' ἄνδρα ἐπ' ἐλπίδι, Κύρνε, φιλήσῃς·
Οὐδὲ γὰρ οἴκαδε βὰς, γίγνεται ωὐτὸς ἔτι.

Μηδὲν ἄγαν σπεύδειν, πάντων μέσ' ἄριστα. καὶ οὕτως,
Κύρν', ἕξεις ἀρετὴν, ἥν τε λαβεῖν χαλεπόν.

Ζεύς μοι τῶν τε φίλων δοίη τίσιν, οἵ με φιλεῦσι,
Τῶν τ' ἐχθρῶν μεῖζον, Κύρνε, δυνησόμενον.
Χ' οὕτως ἂν δοκέοιμι μετ' ἀνθρώποις θεὸς εἶναι,
Ἤν ἀποτισάμενον μοῖρα κίχῃ θανάτου.
Ἀλλὰ, Ζεῦ, τέλεσόν μοι, Ὀλύμπιε, καίριον εὐχὴν,
Δὸς δ' ἐμοὶ ἀντὶ κακῶν καί τι παθεῖν ἀγαθόν.
Τεθναίην δ', εἰ μή τι κακῶν ἄμπαυμα μεριμνῶν
Εὑροίμην, δοίης τ' ἀντ' ἀνιῶν ἀνίας.
Αἶσα γὰρ οὕτως ἐστί· τίσις δ' οὐ φαίνεται ἡμῖν
Ἀνδρῶν, οἳ τἀμὰ χρήματ' ἔχουσι, βίῃ

κακὸς, εἴποτε τύχῃ πλοῦτον πολλοῦ ἐγκρατὴς γεγενημένος, τόθ' ὑπερφρονῶν, οὐ δύναται κατέχειν τὴν κακίαν.

Ὅρα, Κύρνε, μὴ ἐκ προφάσεως σμικρᾶς, ἀπολέσῃς τινὰ τῶν φίλων, διαβολῇ πειθόμενος ἔξωθεν· ὅςτις γὰρ ὀργίζεται τοῖς φίλοις ἐπὶ πάσῃ προφάσει, τῷ τοιούτῳ οὐδέποτε συςήσεται φιλία· φύσει γὰρ τοῖς ἀνθρώποις παρέπεται τὸ ἁμαρτάνειν· θεῷ δὲ μόνῳ τὸ ἠναμάρτητον.

Ἀνὴρ εὔβουλος, κἂν βραδὺς δοκῇ εἶναι, ἐπειδὰν σὺν δίκῃ θεῶν κινῆται, κατέλαβεν ἂν καὶ τὸν ταχύπουν.

Βάδιζε ἀεὶ τὴν μέσην, Κύρνε, ὥσπερ ὁρᾷς κἀμὲ τοῦτο ποιοῦντα, μηδενὶ διδοὺς τὰ τῶν ἑτέρων.

Ἀνδρὶ φυγάδι, Κύρνε, μὴ γίγνου φίλος, μήδ' ἔλπιζε ἀγαθὸν παρ' αὐτοῦ τι πράξειν κατιόντος· οὐ γὰρ μεταβαλεῖ τὸν τρόπον.

Πᾶν ὃ ἂν πράττῃς, μέτρῳ πράττε· ἐν τῷ μέσῳ γὰρ πᾶσα ἵδρυται ἀρετή· ἧς τυχεῖν οὐ παντός.

Ζεὺς δῴη μοι τούς τε φίλους, οἵ με φιλοῦσιν ἀξίως ἀντευποιεῖν, καὶ τῶν ἐχθρῶν μείζω δύναμιν ἔχειν· οὕτω γὰρ δίκην λαβὼν παρ' αὐτῶν πρὶν θανεῖν, δόξαιμι ἂν θεὸς ἐν ἀνθρώποις γενέσθαι· ἀλλ' ὦ Ζεῦ Ὀλύμπιε, δός μοι ἀντὶ τῶν κακῶν καὶ ἀγαθόν τι παθεῖν· εἰ γὰρ μὴ καὶ παῦσίν τινα εὕροιμι τῶν κακῶν, ἀλλὰ δῴης αὐτὸς ἄλλ' ἐπ' ἄλλοις τῶν ἀνιαρῶν, ἑλοίμην ἂν μᾶλλον ἀποθανεῖν· τοῦτο γὰρ δοκεῖ εἱμαρμένον μοι εἶναι· οἱ δὲ τἀμὰ χρήματα ἀφελόμενοι βίᾳ οὕπω

Συλήσαντες· ἐγὼ δὲ κύων ἐπέρησα χαράδρην,
    Χειμάῤῥῳ ποταμῷ πάντ᾽ ἀποσεισάμενος.
Τῶν εἴη μέλαν αἷμα πιεῖν, ἐπί τ᾽ ἐσθλὸς ἄροιτο
Δαίμων, ὃς κατ᾽ ἐμὸν νοῦν τελέσειε τάδε.

Ἆ δειλὴ πενίη, τί μένεις προλιποῦσα παρ᾽ ἄλλον
    Ἄνδρ᾽ ἰέναι; τί δὲ δή μ᾽ οὐκ ἐθέλοντα φιλεῖς;
Ἀλλ᾽ ἴθι, καὶ δόμον ἄλλον ἐποίχεο, μηδὲ μεθ᾽ ἡμῶν
    Αἰεὶ δυστήνου τοῦδε βίου μέτεχε.

Τόλμα, Κύρνε, κακοῖσιν ἐπεὶ κἀσθλοῖσιν ἔχαιρες,
    Εὖτέ σε καὶ τούτων μοῖρ᾽ ἐπέβαλλεν ἔχειν.
Ὡς δέ περ ἐξ ἀγαθῶν ἔλαβες κακὸν, ὣς δὲ καὶ αὖτις
    Ἐκδῦναι πειρῶ, θεοῖσιν ἐπευχόμενος.

Μηδὲ λίην ἐπίφαινε· κακὸν δέ τι, Κύρν᾽, ἐπιφαίνων,
    Παύρους κηδεμόνας σῆς κακότητος ἔχεις.

Ἀνδρός τοι κραδίη μινύθει, μέγα πῆμα παθόντος,
    Κύρν᾽, ἀποτινυμένου δ᾽ αὔξεται ἐξοπίσω.
Εὖ κώτιλλε τὸν ἐχθρόν· ὅταν δ᾽ ὑποχείριος ἔλθῃ,
    Τῖσαί νιν, πρόφασιν μηδεμίαν θέμενος.

Ἴσχε νόον, γλώσσῃ δὲ τὸ μείλιχον αἰὲν ἐπέσθω·
    Δειλῶν τοι τελέθει ὀξυτέρη κραδίη.

Οὐδένα, Κύρν᾽, αὐγαὶ φαεσιμβρότου ἠελίοιο
    Ἄνδρ᾽ ἐφορῶσ᾽, ᾧ μὴ μῶμος ἐπικρέμαται.
Ἀστῶν δ᾽ οὐ δύναμαι γνῶναι νόον, ὅντιν᾽ ἔχουσιν·
    Οὔτε γὰρ εὖ ἔρδων ἁνδάνω, οὔτε κακῶς.

δίκην φαίνονται δεδωκότες· ἐγὼ δ' ὁ κύων, περάσας τὴ χαράδραν, ἀπέβαλον πάντα αὐτοῦ ἐν τῷ χειμάῤῥῳ· ἀλλ' εἴη μοι ἐκείνων αἷμα πιεῖν, δαίμονός τινος ἀγαθοῦ αὐτοὺς ἀναρπάσαντος εἰς ἀπώλειαν.

Ὦ δειλὴ πενία, τὶ μέλλεις, ἐπιλιποῦσά με, ἐπ' ἄλλον τινα μεταβῆναι· τί με τοσοῦτον φιλεῖς τὸν μήτε φιλεῖν μήτε φιλεῖσθαι ἐθέλοντα παρὰ σοῦ· ἀλλ' ἄπελθε καὶ ἐφ' ἕτερον οἶκον, καὶ μὴ μεθ' ἡμῶν ἀεὶ ἐθελήσης διατρίβειν ἐν τοιούτῳ δυστήνῳ βίῳ.

Φέρε, Κύρνε, τὰ κακὰ γενναίως, ὥσπερ κἀν τοῖς ἀγαθοῖς ἐφαίνου χαίρων· ἀμφότερα γὰρ ἡ αὐτή σοι παρέσχε τύχη· ὥσπερ οὖν ἐκ τῶν χρηστῶν μετέβης εἰς τὰ χείρω, οὕτως ἐκ τῶν χειρόνων αὖθις εὔχου ἐπανελθεῖν εἰς τὰ βελτίω.

Μὴ λίαν ἐπιδείκνυε, ἃ πάσχεις· εἰ δὲ μὴ, ἐλαχίςους ἕξεις τὴν σὴν μεριζομένους δυστυχίαν.

Καρδία ἀνδρὸς, μέγα τι κακὸν παθόντος, φθίγει· αὔξεται δὲ πάλιν, ἐπειδὰν αὐτὸς λάβῃ δίκην.

Θώπευε τὸν ἐχθρὸν συνήθως· ἐπειδὰν δὲ τάχιστ' ἐπίσοι γένηται, λάβε τηνικαῦτα δίκην, μηδεμίαν ποιούμενος πρόφασιν.

Κρύπτε, ὃ ἐν νῷ ἔχεις· τὸ δὲ τῆς γλώττης ἔξιὸν εὐπροσήγορον ἀεὶ καὶ μειλίχιον ἔσω· τῶν γὰρ δειλῶν παροξύνεται τὸ κέαρ.

Οὐδεὶς, ὦ Κύρνε, τῶν ὑπὸ τοῦ ἡλίου ἀκτίνων αὐγαζομένων ἐστιν, οὗ οὐκ ἂν ἅψαιτο μῶμος· οὐδὲ δύναμαι γνῶναι, ἣν οἱ πολῖται ἔχουσι διάνοιαν· οὔτε γὰρ ἀγαθὰ ποιῶν, εὐδοκιμῶ παρ' αὐτοῖς, οὔτε κακὰ πράττων, ἀρέσκω· πολλοὶ γὰρ

Μωμεῦνται δ' ἐμὲ πολλοὶ ὁμῶς κακοὶ ἠδὲ καὶ ἐσθλοί·
Μιμεῖσθαι δ' οὐδεὶς τῶν ἀσόφων δύναται.

Μή μ' ἀέκοντα βίῃ κεντῶν ὑπ' ἅμαξαν ἔλαυνε,
Εἰς φιλότητα λίην, Κύρν', προσελκόμενος.

Ζεῦ φίλε, θαυμάζω σε· σὺ γὰρ πάντεσσιν ἀνάσσεις,
Τιμὴν αὐτὸς ἔχων καὶ μεγάλην δύναμιν.
Ἀνθρώπων δ' εὖ οἶσθα νόον καὶ θυμὸν ἑκάστου·
Σὸν δὲ κράτος πάντων ἔσθ' ὕπατον, βασιλεῦ.
Πῶς δή σεῦ, Κρονίδη, τολμᾷ νόος ἄνδρας ἀλιτροὺς
Ἐν ταὐτῇ μοίρῃ τόν τε δίκαιον ἔχειν,
Ἤν τ' ἐπὶ σωφροσύνην τρεφθῇ νόος, ἤν τε πρὸς ὕβριν
Ἀνθρώπων ἀδίκοις ἔργμασι πειθομένων;
Οὐδέ τι κεκριμένον πρὸς δαίμονός ἐστι βροτοῖσιν,
Οὐδ' ὁδὸς, ἥν τις ἰὼν ἀθανάτοισιν ἅδοι.
Ἔμπης δ' ὄλβον ἔχουσιν ἀπήμονα· τοὶ δ' ἀπὸ δειλῶν
Ἔργων ἴσχονται θυμὸν, ὅμως πενίης
Μητέρ' ἀμηχανίην ἔλαβον, τὰ δίκαια φιλεῦντες,
Ἥ τ' ἀνδρῶν προάγει θυμὸν ἐς ἀμπλακίην,
Βλάπτουσ' ἐν στήθεσσι φρένας κρατερῆς ὑπ' ἀνάγκης·
Τολμᾷ δ' οὐκ ἐθέλων αἴσχεα πολλὰ φέρειν,
Χρημοσύνῃ εἴκων, ἣ δὴ κακὰ πολλὰ διδάσκει,
Ψεύδεά τ', ἐξαπάτας τ', οὐλομένας τ' ἔριδας
Ἄνδρα καὶ οὐκ ἐθέλοντα· κακὸν δέ οἱ οὐδὲν ἔοικεν·
Ἡ γὰρ καὶ χαλεπὴν τίκτει ἀμηχανίην.
Ἐν πενίῃ δ' ὅ,τε δειλὸς ἀνὴρ, ὅ,τε πολλὸν ἀμείνων,
Φαίνεται, εὖτ' ἂν δὴ χρημοσύνη κατέχῃ.

αὐτῶν χρηστοί τε καὶ φαῦλοι μέμφονταί με· οὐδεὶς δ' οὖν τῶν ἀπαιδεύτων δύναται ἐμὲ μιμεῖσθαι.

Μή ἔλαυνέ με, Κύρνε, ἄκοντα, ὥσπερ βοῦν ὑπὸ τῇ ἁμάξῃ βίᾳ, ἄγαν με ἕλκων πρὸς φιλίαν.

Ὦ Ζεῦ φίλε, θαυμάζω σε· σὺ γὰρ πάντων κρατεῖς, ἀξίωμα ἔχων παρὰ πάντων καὶ δύναμιν μεγίστην· οἶσθα καὶ τῶν ἀνθρώπων ὅ,τι πόθ' ἕκαστος κρύπτει ἐν τῇ καρδίᾳ, καὶ τὸ σὸν κράτος, ὦ βασιλεῦ, ἐστὶν ὑπέρτατον ἁπάντων· πῶς οὖν, ὦ Κρονίδη, ὑπομένεις ἄνδρας ἀδίκους ἐν τῇ αὐτῇ μοίρᾳ κατατάττειν τοῖς δικαίοις, κἄν τε τὶς πρὸς σωφροσύνην εὐθύμως ἔχῃ, κἂν πρὸς ἀλαζονίαν τῶν τἄδικα ἐργαζομένων; οὐ γὰρ ὁρῶμεν οὐδὲν ὡρισμένον παρ' ἀνθρώποις, οὔθ' ὁδόν, ἥν τις πορευόμενος, ἀρέσκοι ἂν μᾶλλον τοῖς ἀθανάτοις· οὐδὲ γὰρ ζημία τις ἐπίκειται τοῖς φαύλοις· σώζουσι γὰρ οὗτοι, ἃ πρόσεστιν αὐτοῖς, ἀνεπηρεάστως· οἱ δὲ τῶν ἀδίκων ἀπεχόμενοι ἔργων, ὡς τὰ δίκαια φιλοῦντες, ἦλθον εἰς δεινὴν ἀμηχανίαν, ταύτην δὴ τὴν μητέρα τῆς πενίας· ἥτις παραβλάπτουσα τὰς φρένας ἐν τῷ στήθει ὑπ' ἀνάγκης ἀμηχάνου, παραπείθει τοὺς ἀνθρώπους ἀεὶ εἰς κακουργίαν· βιάζεται γὰρ ἕκαστος ἑκὼν ἀέκων πολλὰ τῶν αἰσχρῶν ἀρέσθαι, πειθόμενος τῇ χρείᾳ· αὐτὴ γάρ, ὡς δεινὴν τίκτουσα ἡμῖν ἀμηχανίαν, προτρέπει καὶ τὸν ἀγαθὸν καὶ μὴ θέλοντα ψεύδεσθαί τε καὶ ἐξαπατᾷν καὶ πρὸς ἔριδας φθοροποιοὺς τραπέσθαι· ὑπὸ γὰρ ἀνάγκης οὐδὲν τούτων κακὸν αὐτῷ δοκεῖ ὑπάρχειν· καί τοι ἐν τῇ πενίᾳ, ὁπότε δεινὴ κατέχῃ χρεία, ὅ,τε χρηστὸς καὶ

Τοῦ μὲν γὰρ ἄδικα φρονέει νόος, οὔτε περ αἰεὶ
 Ἰθεῖα γνώμη στήθεσιν ἐμπεφύη·
Τοῦ δ' αὖ οὔτε κακοῖς ἕπεται νόος, οὔτ' ἀγαθοῖσι.
 Τὸν δ' ἀγαθὸν τολμᾷν χρὴ τά τε καὶ τὰ φέρειν.

Αἰδεῖσθαί τε φίλους, φεύγειν τ' ὀλεσήνορας ὅρκους
 Ἐντρέπου. ἀθανάτων μῆνιν ἀλευόμενος.

Μηδὲν ἄγαν σπεύδειν· καιρὸς δ' ἐπὶ πᾶσιν ἄριστος
 Ἔργμασιν ἀνθρώπων· πολλάκι δ' εἰς ἀρετὴν
Σπεύδει ἀνὴρ κέρδος διζήμενος, ὅν τινα δαίμων
 Πρόφρων εἰς μεγάλην ἀμπλακίην παράγει,
Καί οἱ ἔθηκε δοκεῖν ἃ μὲν ᾖ κακὰ, ταῦτ' ἀγάθ' εἶναι
 Εὐμαρέως· ἃ δ' ἂν ᾖ χρήσιμα, ταῦτα κακά.

Φίλτατος ὢν, ἥμαρτες· ἐγὼ δέ τοι αἴτιος οὐδέν·
 Ἀλλ' αὐτὸς γνώμης οὐκ ἀγαθῆς ἔτυχες.

Οὐδένα θησαυρὸν καταθήσεις παισὶν ἀμείνω
 Αἰδοῦς, ἥ τ' ἀγαθοῖς ἀνδράσι, Κύρν', ἕπεται.

Μηδενὸς ἀνθρώπων κακίων δόκει εἶναι ἑταῖρος,
 Ὧ γνώμη θ' ἕπεται, Κύρνε, καὶ ᾧ δύναμις.

Πίνων δ' οὐχ οὕτως θωρήξομαι, οὐδ' ἐμὲ οἶνος
 Ἐξάγει, ὥστ' εἰπεῖν δεινὸν ἔπος περὶ σοῦ.

Οὐδέν' ὁμοῖον ἐμοὶ δύναμαι διζήμενος εὑρεῖν
 Πιστὸν ἑταῖρον, ὅτῳ μή τις ἔνεστι δόλος.
Ἐς βάσανον δ' ἐλθὼν παρατρίβομαι, ὥστε μολύβδῳ
 Χρυσός· ὑπερτερίη δ' ἄμμιν ἔνεστι νόῳ.

Πολλά με καὶ συνιέντα παρέρχεται· ἀλλ' ὑπ' ἀνάγκης
 Σιγῶ, γιγνώσκων ἡμετέρην δύναμιν.

φαῦλος διακρίνονται ἀλλήλων· τοῦ μὲν γὰρ ὁ νοῦς ἐπὶ τἄδικα βλέπει, τῆς καρδίας αὐτοῦ ἄλλῃ ἄλλοτε ταραττομένης· τοῦ δὲ χρηστοῦ οὐδετέρωσε ῥέπει, ἀγαπῶντος τοῖς παροῦσι· δεῖ γὰρ δὴ τὸν ἀγαθὸν γενναίως τὰ παραπεπτωκότα φέρειν.

Προχειροῦ τούς τε φίλους αἰδεῖσθαι, καὶ τοὺς ὅρκους, δι' οὓς οἱ ἄνθρωποι βλάπτονται, πόῤῥωθεν ἀποφεύγειν, ἵν' ἔχῃς ἀποφυγεῖν καὶ τὴν τῶν θεῶν ὀργὴν ἐντεῦθεν.

Πρὸς μηδὲν ἄγαν σπεῦδε· καιρὸς γὰρ ἐπὶ πάντων ἐστὶν ἀνθρωπίνων ἔργων· πολλάκις δέ τις διώκων κέρδος, ὑποκρίνεται ἀρετήν· ἀλλ' ὁ θεὸς παράγει τὸν τοιοῦτον εἰς ἀμαθίαν παραχρῆμα, ὥσθ' ἃ μὲν ἂν ᾖ κακὰ, ταῦτ' ἀγαθά· ἃ δ' ἀγαθὰ, ταῦτα κακὰ οἴεσθαι εἶναι·

Ὡς λίαν φιλῶν, ἥμαρτες· ἐγὼ δὲ πῶς ἂν εἴην αἴτιος τούτου, αὐτοῦ σοῦ ἀγαθῆς γνώμης ἡμαρτηκότος;

Μὴ ζήτει μηδένα θησαυρὸν καταλιπεῖν τοῖς παισὶν ἀμείνω τῆς αἰδοῦς, ἥτις ἀνδράσιν ἀγαθοῖς ἕπεται μόνοις.

Μηδενὸς, ὦ Κύρνε, χείρων δόκει ἑταῖρος εἶναι τῷ φρόνησιν καὶ δύναμιν κεκτημένῳ.

Μήτε ἐν πότῳ ἐγὼ μεθυσθήσομαι τοσοῦτον, ὥστ' ἐξαχθεὶς ὑπὸ τοῦ οἴνου, δεινὸν ἐπὶ σὲ τοξεῦσαι ῥῆμα·

Καί τοι ζητῶν, ἀλλ' οὐ δύναμαι, εὑρεῖν ὅμοιον ἐμοὶ πιστὸν ἑταῖρον, ὥστε μὴ ἐνεῖναι αὐτῷ δόλον μηδένα· εἰς βάσανον γὰρ ἐλθὼν, καὶ παρατρίβων ἐμαυτὸν ὡς χρυσὸν πρὸς μόλυβδον, εὑρίσκω ἐμαυτὸν ἀεὶ ὑπερέχοντα φρονήσει.

Πολλὰ πολλάκις καὶ εἰδὼς παραβλέπω· παρασιωπῶ γὰρ ταῦτα, γινώσκων τὴν ἐμαυτοῦ δύναμιν.

Πολλοῖς ἀνθρώποις γλώσσῃ θύραι οὐκ ἐπίκεινται
Ἁρμόδιαι, καί σφιν πόλλ' ἀμέλητα μέλει.
Πολλάκι γὰρ τὸ κακὸν κατακείμενον ἔνδον, ἄμεινον·
Ἐσθλὸν δ' ἐξελθὸν, λώϊον, ἢ τὸ κακόν.

Ἀρχὴν μὲν μὴ φῦναι ἐπιχθονίοισιν ἄριστον,
Μηδ' ἐσιδεῖν αὐγὰς ὀξέος ἠελίου·
Φύντα δ', ὅπως ὤκιστα πύλας Ἀΐδαο περῆσαι,
Καὶ κεῖσθαι, πολλὴν γαῖαν ἐφεσσάμενον.

Φῦσαι καὶ θρέψαι ῥᾷον βροτὸν, ἢ φρένας ἐσθλὰς
Ἐνθέμεν. οὐδείς πω τοῦτό γ' ἐπεφράσατο,
Ὅστις σώφρων ἔθηκε τὸν ἄφρονα καὶ κακὸν ἐσθλόν.
Εἰ δ' Ἀσκληπιάδαις τοῦτό γ' ἔδωκε θεὸς,
Ἰᾶσθαι κακότητα καὶ ἀτηρὰς φρένας ἀνδρῶν,
Πολλοὺς ἂν μισθοὺς καὶ μεγάλους ἔφερον.
Εἰ δ' ἦν ποιητόν τε καὶ ἔνθετον ἀνδρὶ νόημα,
Οὔ ποτ' ἂν ἐξ ἀγαθοῦ πατρὸς ἔγεντο κακὸς,
Πειθόμενος μύθοισι σαόφροσιν. ἀλλὰ διδάσκων,
Οὔ ποτε ποιήσεις τὸν κακὸν ἄνδρ' ἀγαθόν.

Νήπιος, ὃς τὸν ἐμὸν μὲν ἔχει νόον ἐν φυλακῇσι,
Τὸν δ' αὐτοῦ ἴδιον οὐδὲν ἐπιστρέφεται.

Οὐδείς τοι πάντ' ἐστὶ πανόλβιος· ἀλλ' ὁ μὲν ἐσθλὸς
Τολμᾷ ἔχων τὸ κακὸν, κοὐκ ἐπίδηλος ὅμως·
Δειλὸς δ' οὔτε κακοῖσιν ἐπίσταται, οὔτ' ἀγαθοῖσι
Θυμὸς ὁμῶς μίσγειν. ἀθανάτων δὲ δόσεις
Παντοῖαι θνητοῖσιν ἐπέρχοντ', ἀλλ' ἐπιτολμᾷν
Χρὴ δῶρ' ἀθανάτων, οἷα διδοῦσιν, ἔχειν.

Πολλῶν ἀθύρωτον καὶ ἀχαλίνωτόν ἐστι τὸ στόμα· καὶ μέλει αὐτοῖς, ὧν οὐ προσήκει μέλειν· πολλάκις γὰρ τὰ κακὰ παρόνθ' ὁρῶντες ἔνδον, ἥδονται· τὰ δὲ χρηστὰ, εἴποτε ὀρῷεν τῆς οἰκίας ἐξελθόντα, οὐ ταράττονται, ἄμεινον τοῦτ' αὐτοῖς δοκοῦν εἶναι.

Ἄριστον μὲν ἀνθρώπῳ τὴν ἀρχὴν μὴ γεγενῆσθαι, μηδ' ἰδεῖν ὅλως τὴν τοῦ ἡλίου ἀκτῖνα· γεννηθέντα δὲ, τὴν ταχίστην ἀποθανόντα, καταβῆναι ἐς Ἅδου, πολλὴν ἐπενδεδυμένος γαῖαν.

Ῥᾷόν ἐστι γεννῆσαι καὶ θρέψαι, ἢ φρόνιμον τὸν γεννηθέντα θεῖναι· οὐδεὶς γὰρ εἶδεν οὐδένα τὸν ἄφρονα φρόνιμον καὶ τὸν φαῦλον χρηστὸν πεποιηκότα· εἰ γὰρ ἐδεδώκει τοῦτο θεὸς τοῖς τῶν ἰατρῶν παισὶν ἰᾶσθαι καὶ τὰς τῶν φρενῶν νόσους τοῖς ἀνθρώποις, πολλῶν ἂν θησαυρῶν χρημάτων ἂν ἦσαν κύριοι· εἰ γὰρ ἐπείσακτον καὶ διδακτὸν ἦν τὸ φρονεῖν, οὐδεὶς ἂν ἐκ πατρὸς χρηστοῦ φαῦλος αὐτὸς ἐγένετο, νουθετούμενος ὑπ' ἐκείνου· ἀλλ' ἔοικεν ἡ ἀρετὴ μὴ διδακτὸν μήτε μαθητὸν εἶναι.

Νήπιος, ὅστις ὅ,τι μὲν ἐγὼ φρονῶ, τοῦτ' ἐφίεται βλέπειν· τὸ δὲ ἑαυτοῦ ὁρᾶν οὐδεμίαν ποιεῖται φροντίδα.

Οὐδεὶς τῶν ἁπάντων τὰ πάντ' ἂν εἴη εὐδαίμων· διενηνόχαμεν δ' ἀλλήλων, ὅτι ὁ μὲν χρηστὸς ὑπομένει τὴν δυστυχίαν, μηδενὶ γενόμενος φανερός· ὁ δὲ φαῦλος οὔτ' ἐν δυστυχίαις, οὔτ' ἐν εὐτυχίαις τὴν μέσην ἀφανῶς οἶδε βαδίζειν· τὰ δὲ παρὰ τῶν θεῶν ἄλλοτ' ἄλλ' ἀγαθά τε κακά τε παραγίνεται τοῖς ἀνθρώποις· Ταῦτα τοίνυν, ὁποῖά ποτ' ἂν ᾖ, ὡς παρὰ τῶν θεῶν δεδωρημένα, μετρίως χρὴ ἑκάτερα ἐν μέρει φέρειν.

Εἴ μ' ἐθέλεις πλύνειν, κεφαλῆς ἀμίαντον ἀπ' ἄκρης
  Αἰεὶ λευκὸν ὕδωρ ῥεύσεται ἡμετέρης.
Εὑρήσεις δ' ἐμὲ πᾶσιν ἐπ' ἔργμασιν, ὥσπερ ἄπεφθον
  Χρυσὸν, ἐρυθρὸν, ἰδεῖν τριβόμενον βασάνῳ,
Τοῦ χροιῆς καθύπερθε μέλας οὐχ ἅπτεται ἰὸς,
  Οὐδ' εὐρὼς, αἰεὶ δ' ἄνθος ἔχει καθαρόν.

Ἄνθρωπ', εἰ γνώμης ἔλαχες μέρος, ὥσπερ ἀνοίης,
  Καὶ σώφρων οὕτως, ὥσπερ ἄφρων, ἐγένου,
Πολλοῖς ἂν ζηλωτὸς ἐφαίνεο τῶνδε πολιτῶν,
  Οὕτως, ὥσπερ νῦν οὐδενὸς ἄξιος εἶ.

Οὔ τοι σύμφορόν ἐστι γυνὴ νέα ἀνδρὶ γέροντι.
  Οὐ γὰρ πηδαλίῳ πείθεται, ὡς ἄκατος·
Οὐδ' ἄγκυραι ἔχουσιν· ἀπορρήξασα δὲ δεσμὰ
  Πολλάκις ἐκ νυκτῶν ἄλλον ἔχει λιμένα.

Μήποτ' ἐπ' ἀπρήκτοισι νόον ἔχε, μηδὲ μενοίνα
  Χρήμασι, τῶν ἄνυσις γίγνεται οὐδεμία.

Εὐμαρέως τοι χρῆμα θεοὶ δόσαν, οὔτε τι δειλὸν,
  Οὔτ' ἀγαθόν· χαλεπῷ δ' ἔργματι κῦδος ἔπι.

Ἀμφ' ἀρετῇ τρίβου. καί σοι τὰ δίκαια φίλ' ἔστω,
  Μηδέ σε νικάτω κέρδος, ὅτ' αἰσχρὸν ἔοι.

Μηδένα τῶνδ' ἀέκοντα μένειν κατέρυκε παρ' ἡμῖν,
  Μηδὲ θύραζε κέλευ' οὐκ ἐθέλοντ' ἰέναι.
Μηδ' εὕδοντ' ἐπέγειρε, Σιμωνίδη, ὅντινα ἡμῶν
  Θωρηχθέντ' οἴνῳ μαλθακὸς ὕπνος ἕλοι.
Μηδὲ τὸν ἀγρυπνέοντα κέλευ' ἀέκοντα καθεύδειν.
  Πᾶν γὰρ ἀναγκαῖον χρῆμ' ἀνιηρὸν ἔφυ.

Εἰ ἐθέλεις μὲ πλύνειν, καθαρὸν ὕδωρ ἐπιχεύσεις ἐπὶ τῆς κεφαλῆς μου· εὑρήσεις γὰρ ἐμὲ ἐν πᾶσιν, οἷς πράττω, ἄφθετον χρυσόν, ἐρυθρόν, αἰθόμενον πῦρ ὅλως, Λυδίᾳ δόκιμον λίθῳ, οὗ τῆς ὁμοχροίας μέλας οὐκ ἂν ἅψαιτο ἰός, οὐδ' εὐρώς· ἀεὶ γὰρ αὐτῷ ἐπανθεῖ ἐπιστίλβουσα χάρις.

Ἄνθρωπε, εἰ τοσοῦτον φρονήσεως, ὅσον ἀφροσύνης μετέσχες, τοσοῦτον παρὰ πολλοῖς τῶν πολιτῶν ζηλωτὴς ἂν εἴης, ὅσον νῦν οὐδενὸς παρ' αὐτοῖς λόγου τυγχάνεις.

Οὐ συμφέρει ἀνδρὶ γέροντι νέαν γῆμαι γυναῖκα· οὐ γὰρ πείθεται πηδαλίῳ, καθάπερ πλοῖον, οὐδ' ἀγκύραις ἐπίσχεται· ἀλλ' αἴφνης διαῤῥήξασα τὸ καλώδιον, ἐπ' ἄλλον πολλάκις διὰ νυκτὸς μεθορμίζεται λιμένα.

Ἀδυνάτοις μὴ ἐπιχείρει, μηδὲ φρόντιζε περὶ ὧν ἐφ' ἡμῖν οὐκ ἔστι κατορθῶσαι.

Ἃ μὲν οἱ θεοὶ ῥᾳδίως τοῖς ἀνθρώποις διδόασιν, εἴτε κακά, εἴτε χρηστά, ταῦτ' ἐστὶν ἀδιάφορα· ἃ δὲ κακῶς πράττουσιν αὐτοί, τούτοις ἕπεται αἶσχος.

Ἐνασχολοῦ περὶ τὴν ἀρετήν, τὰ δίκαια ἀεὶ περὶ πλείστου ποιούμενος· κέρδους δ' αἰσχροῦ ἀπέχου, ὅσον γε δύνῃ.

Μηδένα κώλυε μένειν ἄκοντα παρά σοι· μηδ' ἐξελθεῖν κέλευε μὴ ἐθέλοντα· μηδὲ καθεύδοντα ἔγειρε, Σιμωνίδη, εἴτις μεθυσθείς, κατεργασθείη ὕπνῳ· μηδὲ τὸν ἀγρυπνοῦντα κέλευε μὴ θέλοντα καθεύδειν· πᾶν γὰρ τὸ γενόμενον βίᾳ λυ-

Τῷ πίνειν δ' ἐθέλοντι παρασταδὸν οἰνοχοείτω.
Οὐ πάσας νύκτας γίγνεται ἁβρὰ παθεῖν.
Αὐτὰρ ἐγὼ, μέτρον γὰρ ἔχω μελιηδέος οἴνου,
Ὕπνου λυσικάκου μνήσομαι οἴκαδ' ἰών.
Δείξω δ', ὡς οἶνος χαριέστατος ἀνδρὶ πεπόσθαι.
Οὔτε τι γὰρ νήφω, οὔτε λίην μεθύω.
Ὃς δ' ἂν ὑπερβάλλῃ πόσιος μέτρον, οὐκέτ' ἐκεῖνος
Τῆς αὐτοῦ γλώσσης καρτερὸς, οὐδὲ νόου·
Μυθεῖται δ' ἀπάλαμνα, τὰ νήφουσ' εἴδεται αἰσχρά·
Αἰδεῖται δ' ἔρδων οὐδὲν, ὅταν μεθύῃ,
Τὸ πρὶν ἐὼν σώφρων τε καὶ ἤπιος· ἀλλὰ σὺ ταῦτα
Γιγνώσκων, μὴ πῖν' οἶνον ὑπερβολάδην.
Ἀλλ' ἢ πρὶν μεθύειν ὑπανίστασο, μή σε βιάσθω
Γαστὴρ, ὥστε κακὸν λάτριν ἐφημέριον·
Ἢ παρεὼν μὴ πῖνε· σὺ δ' οὐκ ἔχε τοῦτο μάταιον·
Κωτίλλεις αἰεὶ, τοὔνεκά τοι μεθύεις.
Ἡ μὲν γὰρ φέρεται φιλοτήσιος, ἡ δὲ πρόκειται,
Τὴν δὲ θεοῖς σπένδεις, τὴν δ' ἐπὶ χειρὸς ἔχεις·
Ἀρνεῖσθαι δ' οὐκ οἶδας· ἀνίκητος δὲ τοιοῦτος,
Ὃς πολλὰς πίνων, μή τι μάταιον ἐρεῖ.
Ὑμεῖς δ' εὖ μυθεῖσθε παρὰ κρητῆρι μένοντες,
Ἀλλήλων ἔριδας δὴν ἀπερυκόμενοι,
Ἐς τὸ μέσον φωνεῦντες ὁμῶς ἑνὶ καὶ σὺν ἅπασι.
Χ' οὕτως συμπόσιον γίγνεται οὐκ ἄχαρι.

Ἄφρονος ἀνδρὸς ὁμῶς καὶ σώφρονος οἶνος, ὅταν δὴ
Πίνεθ' ὑπὲρ τὸ μέτρον, κοῦφον ἔθηκε νόον.

Ἐν πυρὶ μὲν χρυσόν τε καὶ ἄργυρον ἴδριες ἄνδρες
Γιγνώσκουσ' ἀνδρὸς δ' οἶνος ἔδειξε νόον,

πεῖ· τῷ δὲ βουλομένῳ πίνειν, παριστάμενός τις, οἰνοχοείτω· οὐ γὰρ διὰ πολλῶν νυκτῶν εὐθυμεῖν αὐτῷ ἔσται· Ἔγωγε δ' οὖν, ὡς μέτρῳ χρώμενος τῷ οἴνῳ, ἐπανελθὼν οἴκαδε, ἡδέως καθεύδω· οὕτω γὰρ δεικνύω, ὡς ὁ οἶνος χαριέστατός ἐστιν ἀνθρώποις πίνειν· εἴωθα γὰρ οὕτως αὐτῷ μετρίως χρῆσθαι, ὥστε μήτε λίαν ἄοινος εἶναι, μήθ' ὅλως κεκρατημένος· ὃς γὰρ ἂν τὸ μέτρον ὑπερβαίνῃ, οὐκέθ' οὗτος οὔτε γλώττης, οὔτε τοῦ νοὸς οἷός τ' ἂν εἴη κρατεῖν· ἐκλαλεῖ μὲν γάρ, ἃ νήφων οἶδεν αἰσχρὰ ὄντα· μεθύων δὲ, αἰσχύνεται ἐπ' οὐδενὶ, ὧν αἰσχρῶς πράττει, ὁπότε πρὸ τούτου ἦν σώφρων τε καὶ πρᾶος. Ταῦτ' οὖν γινώσκων αὐτὸς, τῆς τοῦ οἴνου ὑπερβολῆς ἀπόσχου· δεῖ γὰρ δυοῖν θάτερον ἢ προεξανίστασθαί σε πρὶν μεθύειν, μηδ' ὥσπερ δειλὸς Ἶρος καθ' ἑκάστην ἡττᾶσθαι τῆς γαστρὸς, ἢ καθήμενον, ἀπέχεσθαι τῆς πόσεως· καὶ ὅπως μὴ τηνάλλως ἀκούσῃς ταῦτα· σὺ δὲ μεθύεις τῷ τοὺς παρόντας θεραπεύειν, τὴν μὲν τῶν κυλίκων φέρων ἐπὶ φιλοτισίᾳ, τὴν δὲ παρακειμένην ἔχων, τὴν δὲ σπένδων τοῖς θεοῖς, τὴν δὲ ἐπὶ χειρὸς ἑτοίμην· ἀναίνεσθαι δὲ οὐκ οἶδας ὅλως· ὃς δ' ἂν οὖν πολλὰς ἐκπιὼν, οὐδὲν παραπαίει, οὗτος ἀνίκητος ἂν εἴη. Χρὴ δὲ ὑμᾶς, εἴγε παραμένοιτε τῷ κρατῆρι, εὖ χρῆσθαι τῇ γλώττῃ, ἀποφεύγοντας μὲν τὰς πρὸς ἀλλήλους ἔριδας, ὁμοφωνοῦντας δὲ, ἐν οἷς ἂν διαλέγησθε, ὁμοθυμαδόν· οὕτω γὰρ ἂν εἴη τὸ συμπόσιον χάριτος μεστὸν καὶ εὐθυμίας.

Οἶνος ὑπερβαλὼν τόν τε σώφρονα καὶ τὸν ἄφρονα ἐν ἴσῳ μέτρῳ ἀνοήτους ἀμφοτέρους ἀπέδειξε.

Ὁ μὲν χρυσὸς καὶ ἄργυρος ὑπὸ τῶν περὶ ταῦτα δεινῶν ἐν πυρὶ δοκιμάζεται· ἀνὴρ δὲ, καὶ εἰ τύχοι ὢν συνετὸς, ἐν οἴνῳ

Καὶ μάλα περ πινυτοῦ, τὸν ὑπὲρ μέτρον ἤρατο πίνων,
　Ὥστε καταισχύναι καὶ πρὶν ἐόντα σοφόν.

Οἰνοβαρέω κεφαλὴν, Ὀνομάκριτε, καί με βιᾶται
　Οἶνος, ἀτὰρ γνώμης οὐκέτ' ἐγὼ ταμίης
Ἡμετέρης, τὸ δὲ δῶμα περιτρέχει. ἀλλά γ' ἀναστὰς
　Πειρηθῶ, μή πως καὶ πόδας οἶνος ἔχῃ,
Καὶ νόον ἐν στήθεσσι. δέδοικα δὲ, μή τι μάταιον
　Ἕξω θωρηχθεὶς, καὶ μέγ' ὄνειδος ἔχω.

Οἶνος πινόμενος πουλὺς, κακόν· ἢν δέ τις αὐτὸν
　Πίνῃ ἐπισταμένως, οὐ κακὸν, ἀλλ' ἀγαθόν.

Ἦλθες δὴ, Κλεάριστε, βαθὺν διὰ πόντον ἀνύσσας,
　Ἐνθάδ' ἐπ' οὐδὲν ἔχοντ', ὦ τάλαν, οὐδὲν ἔχων.
Νηός τοι πλευρῇσιν ὑπὸ ζυγὰ θήσομεν ἡμεῖς,
Κλεάρισθ', οἷ' ἔχομεν, χ' οἷα διδοῦσι θεοί.
Τῶν δ' ὄντων τὰ ἄριστα παρέξομεν· ἢν δέ τις ἔλθῃ
　Σεῦ φίλος ὢν, κατάκεισ' ὡς φιλότητος ἔχεις.
Οὔτε τι τῶν ὄντων ἀποθήσομαι, οὔτε τι μεῖζον
　Σῆς ἕνεκα ξενίης ἄλλοθεν οἰσόμεθα.
Ἢν δέ τις εἰρωτᾷ τὸν ἐμὸν βίον, ὧδε οἱ εἰπεῖν,
　Ὡς εὖ μὲν, χαλεπῶς· ὡς χαλεπῶς δὲ, μάλ' εὖ·
Ὥσθ' ἕνα μὲν ξεῖνον πατρώϊον οὐκ ἀπολείπειν,
　Ξείνια δὲ πλεόνεσσ' οὐ δυνατὸς παρέχειν.

Οὔ σε μάτην, ὦ Πλοῦτε, βροτοὶ τιμῶσιν μάλιστα.
　Ἦ γὰρ ῥηϊδίως τὴν κακότητα φέρεις;
Καὶ γάρ τοι πλοῦτον μὲν ἔχειν, ἀγαθοῖσιν ἔοικεν·
　Ἡ πενίη δὲ, κακῷ σύμφορος ἀνδρὶ φέρειν.

διαγινώσκεται· εἰ γὰρ ὑπὲρ τὸ μέτρον πίῃ, καταισχυνεῖ ἑαυτὸν, ὡς σώφρονα πρότερον ὄντα.

Ἀλγῶ τὴν κεφαλὴν, ὦ Ὀνομάκριτε, ὑπὸ κραιπάλης, καὶ τῆς γνώμης τῆς ἐμαυτοῦ οὐκέτι κρατεῖν οἷός τ' ἂν εἴην· τὸ γὰρ δῶμα περιτρέχει· ἀναστὰς οὖν πειράσωμαι, εἰ καὶ τοὺς πόδας, ὡς τὸν νοῦν ὁ οἶνος σφάλλοι· δέδοικα γὰρ μὴ μεθυσθεὶς, ἀνάξιόν τι ἐμαυτοῦ πράξω· ἐξ οὗ μέγα μοὶ γένοιτο ὄνειδος.

Οἶνος πολὺς μὲν πινόμενος, κακὸν ἂν εἴη· ἐν μέτρῳ δὲ, ἀνθρώπου ηὔφρανε καρδίαν.

Ἦλθες δὴ, ὦ Κλεάριστε τάλαν, μέγα πέλαγος διαβαλὼν, ἐνθάδε, μηδὲν αὐτὸς ἔχων, πρὸς μηδὲν ἡμᾶς ἔχοντας. Οὐκοῦν θήσομεν παρὰ ταῖς πλευραῖς τῆς νεὼς ὑπὸ τὰ ζυγὰ, οἷα ἔχομεν, καὶ οἷα ἡμῖν διδόασιν οἱ θεοί· παρέξομεν δὲ τῶν ἡμῖν ὑπαρχόντων τὰ ἄριστα· ἢν δέ τις ἔλθῃ, φίλος σὸς ὢν, κατάκεισο καθ' ἣν ἔχεις φιλίαν· οὕτω γὰρ οὔτε τῶν ὄντων τι ἀποβαλῶ, οὔτ' ἄλλοθέν ποθεν μεῖζόν τι ληψόμεθα ἕνεκα τῆς σῆς φιλίας· ἢν δέ τις ἐρωτᾷ περὶ ἐμοῦ, ὅπως ἔχω βίου, ἀποκρινοῦμαι, ὡς μὲν ἐν εὐτυχέσι, χαλεπῶς· ὡς δὲ ἐν δυστυχέσιν, εὐτυχῶς· ὥστε ἕνα μὲν πατρῷον ξένον μὴ ἀπολιπεῖν πεινῶντα· πολλοῖς δὲ πολλὰ ξένια παρέχειν οὐκ ἂν δυναίμην.

Ὦ πλοῦτε, οὐκ ἄρα μάτην οἱ ἄνθρωποι τοσοῦτόν σε τιμῶσι· σὺ γὰρ ῥᾳδίως πάντων πᾶσαν ἀνακουφίζεις δυστυχίαν· ἡ δὲ πενία, ὅτῳ ἂν προσῇ, ὡς κακῷ ἀνδρὶ δοκεῖ προσεῖναι·

Πλήθει δ' ἀνθρώπων ἀρετὴ μία γίγνεται ἥδε,
  ΠΛΟΥΤΕΙΝ· τῶν δ' ἄλλων οὐδὲν ἄρ' ἦν ὄφελος.
Οὐδ' εἰ σωφροσύνην μὲν ἔχοις Ῥαδαμάνθυος αὐτοῦ,
  Πλείονα δ' εἰδείης Αἰολίδεω Σισύφου,
(Ὅς τε καὶ ἐξ Ἀΐδεω πολυϊδρείῃσιν ἀνῆλθε,
  Πείσας Περσεφόνην αἱμυλίοισι λόγοις,
Ἥ τε βροτοῖς παρέχει λήθην, βλάπτουσα νόημα·
  Ἄλλος δ' οὔπω τις τοῦτό γ' ἐπεφράσατο,
Ὅν τινα δὴ θανάτοιο μέλας νέφος ἀμφικαλύψοι,
  Ἔλθοι δ' ἐς κρυερὸν χῶρον ἀποφθιμένων,
Κυανέας τε πύλας παραμείψεται, αἵ τε θανόντων
  Ψυχὰς εἴργουσι, καίπερ ἀναινομένας.
Ἀλλ' ἄρα κἀκεῖθεν Σίσυφος πάλιν ἤλυθεν ἥρως
  Ἐς φάος ἠελίου, σφῇσι πολυφροσύναις.)
Οὐδ' εἰ ψεύδεα μὲν ποιοῖς ἐτύμοισιν ὁμοῖα,
  Γλῶσσαν ἔχων ἀγαθὴν Νέστορος ἀντιθέου,
Ὠκύτερος δ' εἴησθα πόδας ταχεῶν Ἁρπυιῶν,
  Καὶ παίδων Βορέου, τῶν ἄφαρ ἶσι πόδες.
Ἀλλά γε χρὴ πάντας γνώμην ταύτην καταθέσθαι,
  Ὡς πλοῦτος πλείστην πᾶσιν ἔχει δύναμιν.

Ὤι μοι ἐγὼν ἥβης καὶ γήραος οὐλομένοιο,
  Τοῦ μὲν ἐπερχομένου, τῆς δ' ἀπονισσομένης.

Οὔτε τινὰ προὔδωκα φίλον καὶ πιστὸν ἑταῖρον·
  Οὔτ' ἐν ἐμῇ ψυχῇ δούλιον οὐδὲν ἔνι.

Αἰεί μοι φίλον ἦτορ ἰαίνεται, ὁππότ' ἀκούσω
  Αὐλῶν φθεγγομένων ἱμερόεσσαν ὄπα.
Χαίρω δ' αὖ πίνων, καὶ ὑπ' αὐλητῆρος ἀείδων,
  Χαίρω δ' εὔφθογγον χερσὶ λύρην ὀχέων.

μία γὰρ ἀρετὴ παρὰ τοῖς πολλοῖς ὁμολογεῖται εἶναι, ΤΟ ΠΛΟΥΤΕΙΝ· τῶν δ᾽ ἄλλων ὄνησις οὐδεμία· οὔτε γὰρ εἰ τὴν Ῥαδαμάνθυος αὐτοῦ πλουτοίης σωφροσύνην· οὔτε εἰ πλείω εἰδείης Σισύφου τοῦ Αἰολίδου· (ὃς καὶ ἐξ Ἅδου αὐτοῦ ἀνῆλθε, συνέσει νοὸς καὶ γλώττης ἀρετῇ ἀναπείσας τὴν Περσεφόνην· ἣ τὸν τῶν ἀνθρώπων παραξλάπτουσα νοῦν ἐκεῖ, παρέχει αὐτοῖς τῶν ἄνω λήθην ἔχειν· οὐδὲ γὰρ ἴσμεν ἄλλον τοῦτό ποτε σεσοφισμένον τῶν ἅπαξ ἐς τὸ τοῦ Ἅδου σκότος καταβάντων, καὶ εἰς τὸν φρικτὸν χῶρον ἐλθόντων τῶν τεθνεώτων, παραμειψάντων τὰς κυανὰς πύλας, ὑφ᾽ ὧν αἱ τῶν ἀπελθόντων βίᾳ εἴργονται ψυχαί· ἀλλ᾽ οὖν, καὶ τούτων οὕτως ἐχόντων, Σίσυφος κᾀκεῖθεν ἦλθεν, ὡς λίαν σοφὸς ἀνὴρ γεγενημένος·) μήτε εἰ ψεύδεσθαι εἰδείης ἐπιτηδείως· μήτε εἴ σοι ἀπὸ γλώττης καὶ αὐτοῦ τοῦ Νέστορος αὐδὴ γλυκίων ῥέοι· μήτε εἰ ὠκύτερος τοὺς πόδας τῶν ταχίστων Ἁρπυιῶν καὶ τῶν Βοριάδων αὐτῶν, ὧν οἱ πόδες διαφέρουσι τῷ τάχει, ὑπάρχοις, οὐδέν σοι τούτων ὄφελος ἔσται· ἀνάγκη γὰρ πάντας ὁμολογεῖν, ὅτι πλούτου οὐδὲν ἰσχυρότερον.

Οἴμοι τῆς τε νεότητος αὐτῆς, καὶ τοῦ πολυμόχθου γήρως, τῆς μὲν ἀπερχομένης, τοῦ δὲ ἐπερχομένου.

Οὔτε φίλον τινὰ πώποτε προὔδωκα δόλῳ, οὔτ᾽ ἔνδον ἐν τῇ ἐμαυτοῦ ψυχῇ τρέφω διπλόην φρονημάτων.

Εἴ ποτε ἀκούσαιμι ἐναρμόνιον φωνὴν αὐλούντων, αἰσθάνομαι τὴν ἐμαυτοῦ ψυχὴν πραϋνομένην· χαίρω δὲ ἐν πότῳ πίνων, καὶ ὑπ᾽ αὐλὸν προσᾴδων, καὶ λύραν ἀνὰ χεῖρας φέρων, ἐναρμόνιον προϊεμένην φθόγγον.

Οὔποτε δουλείη κεφαλὴ εὐθεῖα πέφυκεν·
Ἀλλ' αἰεὶ σκολιὴ, καὐχένα λοξὸν ἔχει.
Οὔτε γὰρ ἐκ σκίλλης ῥόδα φύεται, οὔθ' ὑάκινθος·
Οὐδέ ποτ' ἐκ δούλης τέκνον ἐλευθέριον.

Οὔ τις ἀνὴρ, φίλε Κύρνε, πέδας χαλκεύεται αὐτῷ,
Εἰ μὴ ἐμὴν γνώμην ἐξαπατῶσι θεοί.

Δειμαίνω, μὴ τήνδε πόλιν, Πολυπαίδη, ὕβρις,
Ἥπερ Κενταύρους ὠμοφάγους, ὀλέσῃ.

Χρή με παρὰ στάθμην καὶ γνώμονα τήνδε δικάσσαι,
Κύρνε, δίκην, ἶσόν τ' ἀμφοτέροισι δόμεν,
Μάντεσιν, οἰωνοῖς τε, καὶ αἰθομένοις ἱεροῖσιν
Ὄφρα μὴ ἀμπλακίης αἰσχρὸν ὄνειδος ἔχω.

Μηδένα πω κακότητι βιάζεο· τῷ δὲ δικαίῳ
Τῆς εὐεργεσίης οὐδὲν ἀρειότερον.

Ἄγγελος ἄφθογγος πόλεμον πολύδακρυν ἐγείρει,
Κύρν', ἀπὸ τηλαυγοῦς φαινόμενος σκοπιῆς.
Ἀλλ' ἵπποις ἔμβαλλε ταχυπτέρνοισι χαλινούς·
Δηΐων γάρ σφ' ἀνδρῶν ἀντιάσειν δοκέω·
Οὐ πολλὴν τὸ μεσηγὺ διαπρήξουσι κέλευθον,
Εἰ μὴ ἐμὴν γνώμην ἐξαπατῶσι θεοί.

Χρὴ τολμᾶν χαλεποῖσιν ἐν ἄλγεσι κείμενον ἄνδρα,
Πρός τε θεῶν αἰτεῖν ἔκλυσιν ἀθανάτων.

Φράζεο· κίνδυνός τοι ἐπὶ ξυροῦ ἵσταται ἀκμῆς·
Ἄλλοτε πόλλ' ἕξεις, ἄλλοτε παυρότερα.
Ὥστε σε μήτε λίην ἀφνεὸν κτεάτεσσι γενέσθαι,
Μήτε σέ γ' ἐς πολλὴν χρημοσύνην ἐλάσαι.

Δουλία κεφαλὴ οὐ πέφυκεν ὀρθία εἶναι· ἀλλὰ σκολιὰ οὖσα, λοξὸν καὶ τὸν αὐχένα ἔχει· οὔτε γὰρ ῥόδα, οὔθ᾽ ὑάκινθος φύεται ἐκ σκίλλης, ὥσπερ οὐδ᾽ ἐκ δούλης ἐλευθέριον παιδίον.

Οὐδείς, ὦ φίλε Κύρνε, ἑαυτῷ χαλκεύει πέδας, εἰ μή τις τῶν θεῶν ἐξαπατᾷ με.

Δέδοικα, ὦ Πολυπαίδη, μήτις ὕβρις ἀπολέσῃ τὴν πόλιν ταύτην, καθάπερ τοὺς ὑβριστὰς Κενταύρους.

Χρή με, ὦ Κύρνε, ἐκ στάθμης καὶ γνώμονος, δικάσαι ταύτην τὴν δίκην, ἀμφοτέροις ἀπονέμοντα τὸ ἴσον, ἵνα μὴ παρὰ μάντεσιν ἅμα, οἰωνοῖς τε, καὶ τοῖς ἐμπυροσκόποις δόξω τὶ αἰσχρῶς ἡμαρτηκέναι.

Μηδένα μηδέποτε ἐνόχλει βίᾳ· τῷ γὰρ δικαίῳ οὐδὲν κρεῖττον εὐεργεσίας.

Ἄγγελος ἄφθογγος, ὦ Κύρνε, δοκεῖ μοι πόλεμον πολύδακρυν ἀπὸ περιόπτου σκοπιᾶς ἡμῖν ἐγείρειν· χαλινοὺς δὲ ἤδη τοῖς ταχύποσιν ἐνέβαλεν ἵπποις· καί μοι δοκῶ οὐκ ἐς μακρὰν ἐπ᾽ ἐχθροὺς ἐπιόντας ἐξιέναι· οὐ γὰρ δεῖ πολλοῦ χρόνου τὴν μεταξὺ ὁδὸν ἐφ᾽ ἡμᾶς διαδραμεῖν, εἰ μή τι τὸν ἐμὸν νοῦν βλάπτει θεός.

Ὃς ἂν τύχῃ κείμενος ἐν δυστυχίαις, φέρειν χρὴ γενναίως, πρὸς τῶν θεῶν αὐτῶν ἐξαιτούμενον τὴν λύσιν τούτων.

Λογίζου δέ (ἐπὶ ξυροῦ γὰρ ἀκμῆς τὰ πράγματά σοι κεῖται· νῦν μὲν γὰρ πολλά σοι ἔςαι, νῦν δ᾽ ὀλίγα·) ὥστε μήτε σφόδρα σε πλούσιον ἐν κτήμασι γενέσθαι, μήτ᾽ αὖ εἰς πολλὴν ἔνδειαν ἥκειν.

Εἴη μοι τὰ μὲν αὐτὸν ἔχειν, τὰ δὲ πόλλ' ἐπιδοῦναι
Χρήματα τῶν ἐχθρῶν τοῖσι φίλοισιν ἔχειν.

Κεκλῆσθαι δ' ἐς δαῖτα, παρέζεσθαι δὲ παρ' ἐσθλὸν
Ἄνδρα χρεὼν, σοφίην πᾶσαν ἐπιστάμενον,
Τοῦ συνίειν, ὁπόταν τι λέγῃ σοφὸν, ὄφρα διδαχθῇς,
Καὶ τοῦτ' εἰς οἶκον κέρδος ἔχων ἀπίῃς.

Ἥβῃ τερπόμενος παίζω. δηρὸν γὰρ ἔνερθε
Γῆς, ὀλέσας ψυχὴν, κείσομαι ὥστε λίθος
Ἄφθογγος, λείψω δ' ἐρατὸν φάος ἠελίοιο·
Ἔμπης δ' ἐσθλὸς ἐὼν, ὄψομαι οὐδὲν ἔτι.

Δόξα μὲν ἀνθρώποισι κακὸν μέγα· πεῖρα δ' ἄριστον.
Πολλοὶ ἀπείρητον δόξαν ἔχουσ' ἀγαθῶν.
Εἰς βάσανον δ' ἐλθὼν, παρατριβόμενός τε μολίβδῳ,
Χρυσὸς ἄπεφθος ἐὼν, καλὸς ἅπασιν ἔσῃ.

Εὖ ἔρδων, εὖ πρᾶσσε. τί δ' ἄγγελον ἄλλον ἰάλλεις;
Τῆς εὐεργεσίης ῥηδίη ἀγγελίη.

Οἵ με φίλοι προδιδοῦσιν, ἐπεὶ τόν γ' ἐχθρὸν ἀλεῦμαι,
Ὥστε κυβερνήτης χοιράδας εἰναλίας.

Ῥήδιον ἐξ ἀγαθοῦ θεῖναι κακὸν, ἢ 'κ κακοῦ ἐσθλόν·
Μή με δίδασκ'. οὔ τοι τηλίκος εἰμὶ μαθεῖν.

Ἐχθαίρω κακὸν ἄνδρα· καλυψαμένη δὲ πάρειμι,
Μικρῆς ὄρνιθος κοῦφον ἔχουσα νόον.
Ἐχθαίρω δὲ γυναῖκα περίδρομον, ἄνδρα τε μάργον,
Ὃς τὴν ἀλλοτρίην βούλετ' ἄρουραν ἀροῦν.

Εἴη δέ μοι τὰ μὲν ἐμαυτοῦ αὐτὸν ἔχειν· τὰ δὲ τῶν ἐχθρῶν λαβόντα, ἐπιδοῦναι ταῦτα τοῖς φίλοις ἔχειν.

Εἴ ποτε εἰς ἑςίασιν κληθείης, ἀνδρὶ ἀγαθῷ καὶ σοφῷ παρακαθέζου, ἵν᾽ ἐπαΐῃς ὅ,τι σοφόν ποτ᾽ ἂν εἴπῃ, ὅπως ἀπιὼν ἐκεῖθεν, τοῦτο κέρδος οἴκαδε ἀπίῃς ἔχων.

Παίζω τερπόμενος ἐν τῇ καθεστηκυίᾳ ἡλικίᾳ· λογίζομαι γὰρ, ὅτι μετὰ μικρὸν ἀποθανὼν, κείσομαι ὑπὸ τῷ λίθῳ ἄφωνος, ὥσπερ λίθος, τὴν τοῦ ἡλίου λιπὼν ἀκτῖνα· οὐκέτι γὰρ περιὼν ὄψομαι οὐδὲν ἐσθλόν.

Ἁπλῶς μὲν δοξάζειν περὶ ἀνθρώπων, σφόδρα σφαλερόν· ἐκ δὲ πείρας κρίνειν περὶ αὐτῶν, τοῦτο ἄριστον· πολλοὶ γὰρ ὡς περὶ ἀγαθῶν τινων δόξαν ἔχουσι σφαλερὰν ἐξ ἀπειρίας· σὺ δὲ εἰς βάσανον πρῶτον ἐλθὼν, καὶ δοκιμασθεὶς, ὥσπερ χρυσὸς καθαρὸς ἐν τῇ Λυδίᾳ λίθῳ, ἀγαθὸς δόξεις παρὰ πᾶσι.

Εἴ τινας εὖ ποιοίης, εὖ πράσσεις αὐτός· τί ποτε δ᾽ ἄλλως κηρύττεις τοῦτο; τὸ γὰρ εὖ ποιεῖν αὐτὸ ἀφ᾽ ἑαυτοῦ τὸ πρᾶγμ᾽ ἀγγέλει.

Ἐμὲ οἱ φίλοι προδιδόντες, βλάπτουσι μᾶλλον· τὸν γὰρ ἐχθρὸν φυλάττομαί γε, ὡς κυβερνήτης πόῤῥωθεν τὰς ὑφάλους.

Ῥᾷον ἐξ ἀγαθοῦ κακὸν ποιῆσαι, ἢ κακὸν εἰς ἀγαθὸν μεταβαλεῖν· ἐρεῖ γάρ σοι, μή με δίδασκε· οὐ γὰρ εἰμὶ οἷος ἐπαΐειν.

Μισῶ κακὸν ἄνδρα· διὸ καὶ πάρειμι καλυψαμένη, σμικρᾷ ὄρνιθι ταὐτὰ κούφως φρονοῦσα· Μισῶ γυναῖκά τε περιϊοῦσαν, καὶ ἄνδρα λάγνον, ὃς ἀντὶ τῆς ἑαυτοῦ ἀλλοτρίαν ἀρου-

Ἄλλα, τὰ μὲν προβέβηκεν, ἀμήχανόν ἐστι γενέσθαι
Ἔργα· τὰ δ' ἐξοπίσω τῇ φυλακῇ μελέτω.

Τολμᾷν χρὴ τὰ διδοῦσι θεοὶ θνητοῖσι βροτοῖσι,
Ῥηϊδίως δὲ φέρειν ἀμφότερον τὸ λάχος.
Μήτε κακοῖσι νοσῶν λυποῦ φρένα, μήτ' ἀγαθοῖσι
Τερφθῇς ἐξαπίνης, πρὶν τέλος ἄκρον ἰδεῖν.

Ἄνθρωπ', ἀλλήλοισιν ἀπόπροθεν ὦμεν ἑταῖροι.
Πλὴν τούτου, παντὸς χρήματός ἐστι κόρος.
Δὴν δὴ καὶ φίλοι ὦμεν, ἀτὰρ κείνοισιν ὁμιλεῖν
Ἀνδράσιν, οἳ τὸν σὸν μᾶλλον ἴσασι νόον.

Οὔ μ' ἔλαθες φοιτῶν κατ' ἀμαξιτὸν, ἣν ἄρα καὶ πρὶν
Ἠλάστρεις, κλέπτων ἡμετέρην φιλίην.
Ἔῤῥε, θεοῖσίν τ' ἐχθρὲ καὶ ἀνθρώποισιν ἄπιστε,
Ψυχρὸν ὃς ἐν κόλπῳ ποικίλῳ εἶχες ὄφιν.

Κύρνε, κύει πόλις ἥδε· δέδοικα δὲ, μὴ τέκῃ ἄνδρα
Εὐθυντῆρα κακῆς ὕβριος ὑμετέρης.
Τοιάδε καὶ Μάγνητας ἀπώλεσεν ἔργα καὶ ὕβρις,
Οἷα τανῦν ἱερὴν τήνδε πόλιν κατέχει.

Πολλῷ τοι πλέονας λιμοῦ κόρος ὤλεσεν ἤδη
Ἄνδρας, ὅσοι μοίρης πλεῖον ἔχειν ἔθελον.

Ἀρχῇ ἐπὶ ψεύδους μικρὴ χάρις· ἐς δὲ τελευτὴν
Αἰσχρὸν δὴ κέρδος· καὶ κακὸν ἀμφότερον
Γίγνεται. οὐδέ τι καλὸν ὅτῳ ψεῦδος προσομαρτεῖ
Ἀνδρὶ, καὶ ἐξῆλθε πρῶτον ἀπὸ στόματος.

ραν ἐθέλει σπείρειν· τῶν δ᾽ ἄλλων ἔργων, ἃ μὲν παρῆλθεν, ἀμήχανον γενέσθαι πάλιν· ἃ δ᾽ οὔπω γέγονε, τούτοις προσεκτέον σὺν φρονήσει.

Ἃ διδόασι θεοὶ ἀνθρώποις, ἀγαθά τε καὶ κακὰ, ταῦτα χρὴ ῥᾳδίως φέρειν, ἑκάτερα κατὰ τρόπον, μήτ᾽ ἐν τοῖς κακοῖς καταφερόμενον εἰς λύπην, μήτ᾽ ἐν τοῖς ἀγαθοῖς ἐπαιρόμενον εἰς τέρψιν, πρὶν ἂν ἴδῃς τὸ τέλος.

Ἄνθρωπε, πόῤῥωθεν, εἰ θέλοις, τρέφωμεν φιλίαν πρὸς ἀλλήλους· καὶ γὰρ πλὴν τούτου μόνου ἁπάντων τῶν πραγμάτων συμβαίνει γίγνεσθαι κόρος· διαρκῆ δὲ χρὴ γίγνεσθαι τὴν φιλίαν· ἀλλ᾽ ἐκείνοις μόνοις ὁμιλεῖν, οἳ τὸν σὸν ἐπίστανται μᾶλλον τρόπον.

Οἶδά σε κατὰ τὴν ἁμαξήλατον φοιτῶντα, ἣν καὶ πρὶν, τὴν ἡμῶν ἐξαπατῶν φιλίαν, ἐβάδιζες συνήθως· ἐκφθείρου, θεοῖς τε μισητὲ, καὶ ἄπιστε πᾶσιν ἀνθρώποις· ὃς ἐν ποικίλῳ κόλπῳ ψυχρὸν φυλάττεις ὄφιν.

Ὁρᾷς, ὦ Κύρνε, ὅπως ἡ πόλις αὕτη κύει; δέδοικα τοίνυν μὴ τύραννόν τινα τέκῃ ἀρχηγὸν ὕβρεως καὶ ἀδικίας· τοιαῦτα γὰρ ἔργα προϋπάρξαντα, οἷα τολμῶνται καὶ παρ᾽ ἡμῖν νυνὶ, ἀπώλεσαν τὴν Μαγνησίαν.

Πολλῷ πλείους ὁ κόρος, ἢ λιμὸς ἀνθρώπους ἀπώλεσεν, ὅσων ἐκράτησε μάλιστα τὸ πλέον ἔχειν·

Τὸ ψεύδεσθαι ἐν ἀρχῇ δόκει φέρειν τινὰ χάριν τοῖς ψευδομένοις· ἐς δὲ τὸ τέλος αἰσχρὸν ἐξαλέγχεται κέρδος εἶναι· μᾶλλον δ᾽ εἰπεῖν κατ᾽ ἄμφω αἰσχύνην φέρει· ὅς γὰρ εἴωθε ψεύδεσθαι, οὗτος καὶ ἅμα προκύψαντος τοῦ ψεύδους τῶν χειλέων, αἰσχύνην ὄφλει.

Οὐ χαλεπὸν ψέξαι τὸν πλησίον, οὐδὲ μὲν αὐτὸν
 Αἰνῆσαι. δειλοῖς ἀνδράσι ταῦτα μέλει.
Σιγᾷν δ' οὐκ ἐθέλουσι κακοὶ κακὰ λεσχάζοντες·
 Οἱ δ' ἀγαθοὶ πάντων μέτρον ἴσασιν ἔχειν.

Οὐδένα παμπήδην ἀγαθὸν καὶ μέτριον ἄνδρα
 Τῶν νῦν ἀνθρώπων ἠέλιος καθορᾷ.

Οὔτι μάλ' ἀνθρώποις καταθύμια πάντα τελεῖται.
 Πολλῷ γὰρ θνητῶν κρείσσονες ἀθάνατοι.

Πόλλ' ἐν ἀμηχανίῃσι κυλίνδομαι, ἀχνύμενος κῆρ.
 Ἄκρην γὰρ πενίην οὐχ ὑπερεδράμομεν.

Πᾶς τις πλούσιον ἄνδρα τίει, ἀτίει δὲ πενιχρόν.
 Πᾶσιν δ' ἀνθρώποις ὡὐτὸς ἔνεστι νόος.

Παντοῖαι κακότητες ἐν ἀνθρώποισιν ἔασι·
 Παντοῖαι δ' ἀρεταὶ, καὶ βιότου παλάμαι.

Ἀργαλέον φρονέοντα παρ' ἄφροσι πόλλ' ἀγορεύειν,
 Καὶ σιγᾷν αἰεί· τοῦτο γὰρ οὐ δυνατόν.

Αἰσχρόν τοι μεθύοντα παρ' ἀνδράσι νήφουσ' εἶναι·
 Αἰσχρὸν δ', εἰ νήφων πὰρ μεθύουσι μένοι.

Ἥβη καὶ νεότης ἐπικουφίζει νόον ἀνδρός·
 Πολλῶν δ' ἐξαίρει θυμὸν ἐς ἀμπλακίην.

Ὧιπερ μὴ θυμοῦ κρείσσων νόος, αἰὲν ἐν ἄταις,
 Κύρν', ὅ γε, καὶ μεγάλαις κεῖται ἐν ἀμπλακίαις.

Βουλεύου δὶς καὶ τρὶς ὅ τοι κ' ἐπὶ τὸν νόον ἔλθῃ.
 Ἀτηρὸς γὰρ ἀεὶ λάβρος ἀνὴρ τελέθει.

Κακοῖς ἀνθρώποις οὐδὲν ἂν εἴη ῥᾷον οὐ μᾶλλον ψέγειν, ἢ καὶ ἐπαινεῖν ἄλλους· Τοῖς γὰρ φαύλοις οὐδὲν μᾶλλον μέλει, ἢ κακῶς λέγειν, σιγᾷν μηδέποτε εἰδότας· οἱ δὲ ἀγαθοὶ ἀεὶ βαδίζουσι τὴν μέσην.

Οὐκ ἔστιν ἰδεῖν οὐδένα τῶν νῦν ὑπὸ τὸν ἥλιον ἀνθρώπων, ὃς ἂν εἴη ἀγαθὸς καὶ μέτριος τελέως.

Οὐκ ἂν πάνθ', ὅσα τὶς βούλοιτο, τελοῖντ' ἂν τοῖς ἀνθρώποις· θεῶν γὰρ μόνον τοῦτο, ὡς πολλῷ τῶν θνητῶν ὑπερεχόντων.

Πολλάκις περιΐσταμαι εἰς ἀμηχαγίαν, σφόδρα λελυπημένος· οὐ γὰρ δύναμαι τὴν τῆς πενίας ὑπερβαλεῖν ἀκμήν.

Πάντες μὲν ἄνθρωποι τὸν αὐτὸν κέκτηνται νοῦν· ἀλλ' ἕκαστος τιμᾷ μὲν τοὺς πλουσίους· τοὺς δὲ πένητας ἐν ἀτιμίᾳ τίθεται.

Πολλαὶ μὲν δυστυχίαι ὑπάρχουσι τοῖς ἀνθρώποις· ἀλλὰ καὶ ἕξεις πολλαί, καὶ δεξιότητες πρὸς τὸ ζῆν παντοῖαι.

Οὐ ῥᾴδιον πρὸς ἄφρονας μήτε πολλὰ λέγειν, αὐτὸν φρόνιμον ὄντα, μήτ' αὖ σιγᾷν τελέως· ἀδύνατον γὰρ τοῦτο.

Αἰσχρὸν μὲν ἀνδράσι νήφουσι μεθύοντα συνεῖναι· αἰσχρότερον δὲ πάντως, εἰ νήφων τις, μεθύουσι παραμένοι.

Ἥβη καὶ ἡλικία τὸν τῶν ἀνθρώπων νοῦν μετέωρον ποιοῦσαι, ἐπαίρουσι τὴν ψυχὴν πολλῶν ἐξαμαρτάνειν.

Ὃς ἂν μὴ κρατῇ θυμοῦ τῷ λόγῳ, Κύρνε, οὗτος δυστυχήσει, περιπεσὼν μεγίσταις ἀτοπίαις.

Βουλεύου δὶς καὶ τρὶς, ὁπότ' ἐπέλθῃ σοι ἐπιχειρῆσαί τῳ· ὅς γὰρ ἂν ῥαγδαῖος ἐπὶ τοῦτο ἔλθῃ ἀπροβουλεύτως, ἐπιβλαβὴς καὶ ὀλέθριος.

Ἀνδράσι τοῖς ἀγαθοῖς ἕπεται γνώμη τε καὶ αἰδώς·
Οὐ νῦν μὲν πολλοῖς, ἀτρεκέως δ' ὀλίγοις.

Ἐλπὶς καὶ κίνδυνος ἐν ἀνθρώποισιν ὁμοῖοι.
Οὗτοι γὰρ χαλεποὶ δαίμονες ἀμφότεροι.

Πολλάκι πὰρ δόξαν τε καὶ ἐλπίδα γίγνεται εὑρεῖν
Ἔργ' ἀνδρῶν· βουλαῖς δ' οὐκ ἐπέγεντο τέλος.

Οὔ τοι κήδει ὁ εἷς οὔτ' εὔνουν, οὔτε τιν' ἐχθρὸν,
Εἰ μὴ σπουδαίου πρήγματος ἀντιτύχοι.

Παύρους κηδεμόνας πιστοὺς εὕροις κεν ἑταίρους,
Κείμενος ἐν μεγάλῃ θυμοῦ ἀμηχανίῃ.

Ἤδη νῦν αἰδὼς μὲν ἐν ἀνθρώποισιν ὄλωλεν·
Αὐτὰρ ἀναιδείη γαῖαν ἐπιστρέφεται.

Ἆ δειλὴ πενίη, τί ἐμοῖς ἐπικειμένη ὤμοις
Σῶμα καταισχύνεις καὶ νόον ἡμέτερον,
Αἰσχρὰ δ' ἔμ' οὐκ ἐθέλοντα βίῃ καὶ πολλὰ διδάσκεις,
Ἐσθλὰ παρ' ἀνθρώπων καὶ καλ' ἐπιστάμενον;

Εὐδαίμων εἴην, καὶ θεοῖς φίλος ἀθανάτοισι,
Κύρν'· ἀρετῆς δ' ἄλλης οὐδεμιῆς ἔραμαι.

Σὺν σοὶ, Κύρνε, παθόντι κακῶς ἀνιώμεθα πάντες.
Ἀλλὰ τό γ' ἀλλότριον κῆδος, ἐφημέριον.

Μηδὲν ἄγαν χαλεποῖσιν ἀσῶ φρένα, μηδ' ἀγαθοῖσι
Χαῖρ', ἐπεί ἐστ' ἀνδρὸς πάντα φέρειν ἀγαθοῦ.

Οὐδ' ὀμόσαι χρὴ τοῦθ', ὅτι μήποτε πρῆγμα τόδ' ἔσται.
Θεοὶ καὶ γὰρ νεμεσῶσ', οἷσιν ἔπεστι τέλος.

Ἀνὴρ ἀγαθὸς ἀεὶ συζῇ φρονήσει καὶ αἰδοῖ· ὅπερ οὐκ ἂν ἴδοις πολλοῖς τῶν νῦν, ἀλλὰ καὶ σφόδρα παρεπόμενον ὀλίγοις.

Ἐλπὶς καὶ φόβος ὅμοια πάθη πρόσεστι τοῖς ἀνθρώποις· δύο γὰρ οὗτοι χαλεποὶ δαίμονες ἐν τῷ βίῳ.

Πολλάκις δὲ συμβαίνει ὑμῖν καὶ παρ' ἐλπίδα εὑρεῖν τι πρακτέον, ὅπερ βουλευομένοις οὐ φαίνεται.

Οὐδεὶς οὐδενὸς, οὔτ' εὐνοοῦντος, οὔτε δυσνοοῦντος ποιήσεται φροντίδα, εἰμήτι ἐκεῖθεν ἑαυτῷ προσδοκᾷ ἀγαθὸν ὑπάρξειν.

Εἴποτε περισταίης εἰς ἀμήχανον ψυχῆς λύπην, ὀλίγους εὑρήσεις τῶν φίλων πιστῶς φροντίδα σοῦ ποιησομένους.

Ἡ γὰρ αἰδὼς παρὰ τοῖς νῦν ἀνθρώποις ᾤχετ' ἀπιοῦσα· ἀντὶ δὲ ταύτης πλημμυρεῖ ἐπὶ γῆς ἡ ἀναίδεια.

Ὦ σχετλιωτάτη πενία, διὰ τί, τῶν ἐμῶν ἐπιβάσα ὤμων, τότε σῶμ' αὐτὸ καὶ τὸν νοῦν μου καταισχύνεις; βίᾳ γὰρ αὐτὴ αἰσχρὰ καὶ ἄκοντά με ποιεῖν διδάσκεις, ὅς πολλὰ ἐσθλὰ καὶ καλὰ ἔμαθον παρ' ἀνθρώπων.

Εἴη μοι, ὦ Κύρνε, εὐδαίμονά τε καὶ θεοῖς φίλον γενέσθαι· τῶν δ' ἄλλων ἀρετῶν οὐδεὶς ἔρως με ἔχει.

Συμπάσχομεν μὲν σοι, ὦ Κύρνε, δεινὰ παθόντι, πάντες, ἀλλ' ἡ ἀλλοτρία λύπη διάρκειαν οὐκ ἔχει.

Οὔτε τῶν ἀνιερῶν τὴν ἐμαυτοῦ ψυχὴν κορέσω· οὔτ' ἐν ἀφθόνοις ἀγαθοῖς αὖθις ἐθέλω χαίρειν· ἀνδρὸς γὰρ ἀγαθοῦ πάντα φέρειν μετρίως.

Οὐ δεῖ ὀμόσαι περὶ μέλλοντός τινος, ὅτι τόδε τὶ οὐκ ἂν ἔσοιτο· οἱ γὰρ θεοὶ, ἐφ' οἷς ἡ τῶν πραγμάτων κεῖται ἔκβασις, νεμεσῶσι τὰ τοιαῦτα.

Χρὴ πρῆξαι μέν τοί τι. καὶ ἐκ κακοῦ ἐσθλὸν ἔγεντο,
Καὶ κακὸν ἐξ ἀγαθοῦ. καί τε πενιχρὸς ἀνὴρ
Αἶψα μάλ' ἐπλούτησε, καὶ ὃς μάλα πολλὰ πέπαται,
Ἐξαπίνης πάντ' αὖ ὤλεσε νυκτὶ μιῇ.
Καὶ σώφρων ἥμαρτε, καὶ ἄφρονι πολλάκι δόξα
Ἕσπετο· καὶ τιμὴν καὶ κακὸς ὢν ἔλαχεν.

Εἰ μὲν χρήματ' ἔχοιμι, Σιμωνίδη, οἷά περ ᾔδειν,
Οὐκ ἂν ἀνιῴμην τοῖς ἀγαθοῖσι συνών.
Νῦν δ' ἐμὲ γιγνώσκοντα παρέρχεται· εἰμὶ δ' ἄφωνος
Χρημοσύνῃ, πολλῶν γνούς περ ἄμεινον ἔτι,
Οὕνεκα νῦν φερόμεσθα, καθ' ἱστία λευκὰ βαλόντες,
Μηλίου ἐκ πόντου νύκτα διὰ δνοφερήν.
Ἀντλεῖν δ' οὐκ ἐθέλουσιν, ὑπερβάλλει δὲ θάλασσα
Ἀμφοτέρων τοίχων, ἦ μάλα τις χαλεπῶς
Σώζεται· οἱ δ' εὕδουσι· κυβερνήτην μὲν ἔπαυσαν
Ἐσθλὸν γ', ὃς φυλακὴν εἶχεν ἐπισταμένως·
Χρήματα δ' ἁρπάζουσι βίῃ, κόσμος δ' ἀπόλωλε·
Δασμὸς δ' οὐκ ἔτ' ἴσος γίγνεται ἐς τὸ μέσον·
Φορτηγοὶ δ' ἄρχουσι, κακοὶ δ' ἀγαθῶν καθύπερθε.
Δειμαίνω μή πως ναῦν κατὰ κῦμα πίῃ.
Ταῦτ' ἐμοὶ ᾐνίχθω, κεκρυμμένα τοῖς ἀγαθοῖσι·
Γιγνώσκει δ' ἄν τις καὶ κακὸς, ἂν σοφὸς ᾖ.

Πολλοὶ πλοῦτον ἔχουσιν ἀΐδριες· οἱ δὲ τὰ καλὰ
Ζητοῦσιν, χαλεπῇ τειρόμενοι πενίῃ.

Χρὴ ἐνεργόν τινα εἶναι· ἔστι γὰρ καὶ ἐκ φαύλου ἀγαθὸν, καὶ ἐκ χρηστοῦ κακὸν γενέσθαι· δυνατὸν γὰρ καὶ τὸν ἐνδεῆ ἀπροσδοκήτως εὐθὺς πλουσιώτατον γενέσθαι, καὶ τὸν εὐπορώτατον αὖ ἐν μιᾷ νυκτὶ αἴφνης τὸν πάντα πλοῦτον ἀπολέσαι· ἴσμεν δὲ καὶ τῶν σωφρόνων πολλοὺς ἡμαρτηκότας, καὶ τῶν ἀφρόνων οὐκ ὀλίγους ἀπειληφότας δόξαν· εἴγε καὶ κακὸς πολλάκις τιμῆς ἔτυχε.

Εἰ μὲν οἷός τε εἴην χρήματα, ὦ Σιμωνίδη, ἔχειν, εἶπον ἂν, ἅπερ ᾔδειν, καὶ οὐκ ἂν ἐλυπούμην, ἐχεμυθῶν παρὰ τοῖς προεστῶσι τῶν πραγμάτων· νῦν δὲ πάντ' ἐκεῖνα, καί τοι εὖ φρονοῦντα, κατέλιπέ με· καὶ γὰρ ἀμήχανός με ἔνδεια καταλαβοῦσα, ἐμφράττει τὸ στόμα, καί τοι πολλῶν ἄμεινόν μου εἰδότος, ὅποι νῦν καταστείλαντες τὰ λευκὰ ἱστία, διαχειμαζόμεθα ἐκ τοῦ Μηλίου πελάγους διὰ νυκτὸς σκοτεινοτάτης· οἱ γὰρ ἐπὶ τῆς νεὼς ἀντλεῖν οὐκ ἐθέλουσι, τὸ δὲ κλυδώνιον ἑκατέρωθεν ὑπερκλύζει, ὅθεν μάλιστα χαλεπόν ἐστι διασωθῆναι· οἱ δὲ καθεύδουσιν ἀμερίμνως, παραλύσαντες τῆς ἀρχῆς καλὸν κἀγαθὸν Κυβερνήτην, ὃς ἐφύλαττε τὸ σκάφος ὡς μάλιστα ἐπισταμένως· καὶ τὰ μὲν κοινὰ ἄλλος ἄλλῃ ἁρπάζει βίᾳ· τάξις δὲ διέφθαρται πᾶσα· ὁ δὲ φόρος οὐκέτ' ἐστιν, ἢ δυνάμεως ἕκαστος ἀπὸ τοῦ ἴσου ἔχει· ἄρχουσι δὲ οἱ τὸν φόρτον μετακομίζοντες, καὶ οἱ τῶν πραγμάτων ἄπειροι κρατοῦσι τῶν πολλὴν πεῖραν ἐχόντων· Δέδοικα τοίνυν μὴ ἡ ναῦς ὑπερκλυσθεῖσα, ἀπολεσθῇ ἐν τοιούτοις διαύλοις τῶν κυμάτων· Ταῦτά μοι πρὸς σὲ ᾐνίχθω, ἃ σὺ ἀγαθοὶ οἷοί τ' ἂν εἶεν συνιέναι· καί τοι καὶ τῶν πενιχρῶν, εἴτις φρονοίη μόνον, δύναιτ' ἂν ταῦτ' εἰδέναι.

Οἱ μὲν ἀμαθεῖς πλουτοῦσι, οἱ δὲ σοφοὶ φιλοσοφοῦσι, δεινῇ ἀμφότεροι προσπαλαίοντες ἀμηχανίᾳ· οὐκοῦν ἑκάτεροι διαμαρ-

Ἔρδειν δ' ἀμφοτέροισιν ἀμηχανίη παράκειται.
Εἴργει γὰρ τοὺς μὲν χρήματα, τοὺς δὲ νόος.

Οὐκέτι θνητοῖσι πρὸς ἀθανάτους μαχέσασθαι,
Οὔτε δίκην εἰπεῖν. οὐδενὶ τοῦτο θέμις.

Οὐ χρὴ ποιμαίνειν ὅ,τι μὴ ποιμαντέον εἴη,
Οὐδ' ἔρδειν ὅ,τι μὴ λώϊον ᾖ τελέσαι.

Χαίρων εὖ τελέσειας ὁδὸν μεγάλου διὰ πόντου,
Καί σε Ποσειδάων χάρμα φίλοις ἀγάγοι.

Πολλούς τοι κόρος ἄνδρας ἀπώλεσεν ἀφρονέοντας.
Γνῶναι γὰρ χαλεπὸν μέτρον, ὅτ' ἐσθλὰ παρῇ.

Οὐ δύναμαί σοι, θυμὲ, παρασχεῖν ἄρμενα πάντα.
Τέτλαθι· τῶν δὲ καλῶν οὔ τι σὺ μοῦνος ἐρᾷς.

Εὖ μὲν ἔχοντος ἐμοῦ, πολλοὶ φίλοι· ἢν δέ τι δεινὸν
Ἐγκύρσῃ, παῦροι πιστὸν ἔχουσι νόον.

Φροντίδες ἀνθρώπων ἔλαχον πτερὰ, ποικίλ' ἔχουσαι,
Μειρόμεναι ψυχῆς εἵνεκα καὶ βιότου.

Ζεῦ πάτερ, εἴθε γένοιτο θεοῖς φίλα, τοῖς μὲν ἀλιτροῖς
Ὕβριν ἁδεῖν· καί σφιν τοῦτο γένοιτο φίλον
Θυμῷ· σχέτλια ἔργα μετὰ φρεσὶν ὅστις ἀπηνὴς
Ἐργάζοιτο, θεῶν μηδὲν ὀπιζόμενος,
Αὐτὸν ἔπειτα πάλιν τῖσαι κακά· μηδέ τ' ὀπίσσω
Πατρὸς ἀτασθαλίη παισὶ γένοιτο κακόν.
Παῖδες δ' οἵ τ' ἀδίκου πατρὸς τὰ δίκαια νοεῦντες
Ποιοῦσι, Κρονίδη, σὸν χόλον ἀζόμενοι,
Ἐξ ἀρχῆς τὰ δίκαια, μετ' ἀστοῖσιν φιλέοντες,
Μή τιν' ὑπερβασίην ἀντιτίνειν πατέρων.

τάνουσι τοῦ τέλους· οἱ μὲν, χρημάτων ἀποροῦντες· οἱ δὲ, νοὸς οὐκ εὐποροῦντες.

Θνητοῖς οὐκ ἔστι πρὸς θεοὺς ἄρασθαι πόλεμον· οὐδὲ μὴν δικάζεσθαι θέμις πρὸς ἐκείνους.

Οὐ χρὴ ποιμαίνειν ὅ,τι μὴ δεῖ ποιμαίνειν· οὔτε ποιεῖν δεῖ, ὅ,τι κάλλιον μὴ ποιεῖν.

Μέγα πέλαγος διαβαλὼν, διαπεραιωθείης χαίρων, καὶ προπέμψειέ σε Ποσειδῶν ἀσμένοις τοῖς φιλοῦσι.

Κόρος πολλοὺς ἀπώλεσεν ἄφρονας· πλούτου γὰρ παρόντος, οὐ ῥᾴδιον γνῶναι μέτρον.

Ἐπίσχες, ὦ θυμέ· οὐ γὰρ δύναμαί σοι πάντα ἀνεῖναι κάλων· εἰσὶ γὰρ καὶ ἄλλοι τῶν καλῶν ἐπιθυμοῦντες.

Ἐμοῦ μὲν εὐτυχοῦντος, πάντες ἂν εἶεν φίλοι· εἰδέ τι δεινὸν συμβαίη, οὐδένα εὕροιμ' ἂν πιστόν.

Αἱ τῶν ἀνθρώπων φροντίδες, πτερὰ λαχοῦσαι ποικίλα ἔχειν, ἀφωσίωνται πονεῖν περὶ ψυχῆς καὶ βίου.

Ζεῦ πάτερ, εἴθε παρὰ θεοῖς ποτὲ ἀρέσαι, ὥστε τοὺς φαύλους τῶν ἀνθρώπων χαίρειν ὑβρίζοντας τοὺς ἄλλους, καὶ τοῦτο φίλον αὐτοῖς εἶναι· ἀλλ' ὃς ἄδικος ὢν καὶ ἀλαζὼν, ἄδικα πράττει, μηδεμίαν θεῶν ποιούμενος φροντίδα, αὐτὸς αὖθις δίκην διδῴη τούτων· οἱ δὲ παῖδες αὐτοῦ τῆς τοῦ πατρὸς ἀφροσύνης ἔπειτα εἶεν ἀπηλλαγμένοι. Οὕτω γὰρ οὗτοι συνειδότες, ἃ πέπονθεν ὁ πατὴρ αὐτοῖς δικαίως, ποιοῖεν ἂν ἐν τοῖς πολίταις τὰ δίκαια προθύμως, δεδιότες,

Ταῦτ' εἴη μακάρεσσι θεοῖς φίλα· νῦν δ' ὁ μὲν ἔρδων
  Ἐκφεύγει· τὸ κακὸν δ' ἄλλος ἔπειτα φέρει.

Καὶ τοῦτ', ἀθανάτων βασιλεῦ, πῶς ἐστὶ δίκαιον,
  Ἔργων ὅστις ἀνὴρ ἐκτὸς ἔοι ἀδίκων,
Μή τιν' ὑπερβασίην κατέχων, μήθ' ὅρκον ἀλιτρὸν,
  Ἀλλὰ δίκαιος ἔοι, μὴ τὰ δίκαια παθεῖν;
Τίς δὴ καὶ βροτὸς ἄλλος ὁρῶν πρὸς τοῦτον, ἔπειτα
  Ἅζοιτ' ἀθανάτους; καὶ τίνα θυμὸν ἔχοι,
Ὁππότ' ἀνὴρ ἄδικος καὶ ἀτάσθαλος, οὔτε τι ἀνδρῶν
  Οὔτε τι ἀθανάτων μῆνιν ἀλευόμενος,
Ὑβρίζει, πλούτῳ κεκορημένος, οἱ δὲ δίκαιοι
  Τρύχονται, χαλεπῇ τειρόμενοι πενίῃ;

Ταῦτα μαθὼν, φίλ' ἑταῖρε, δικαίως χρήματα ποιοῦ,
  Σώφρονα θυμὸν ἔχων ἐκτὸς ἀτασθαλίης,
Αἰεὶ τῶνδ' ἐπέων μεμνημένος· ἐς δὲ τελευτὴν
  Αἰνήσεις, μύθῳ σώφρονι πειθόμενος.

Ζεὺς μὲν τῆσδε πόληος ὑπειρέχοι, αἰθέρι ναίων,
  Αἰεὶ δεξιτερὴν χεῖρ' ἐπ' ἀπημοσύνῃ,
Ἄλλοι τ' ἀθάνατοι μάκαρες θεοί· αὐτὰρ Ἀπόλλων
  Ἀρθρώσαι γλῶσσαν καὶ νόον ἡμέτερον.
Φόρμιγξ δ' αὖ φθέγγοιθ' ἱερὸν μέλος, ἠδὲ καὶ αὐλός.
  Ἡμεῖς δὲ σπονδὰς θεοῖσιν ἀρεσσάμενοι,
Πίνωμεν. χαρίεντα μετ' ἀλλήλοισι λέγοντες,
  Μηδὲν τὸν Μήδων δειδιότες πόλεμον
Ὧδ' εἶναι. καὶ ἄμεινον ὁμόφρονα θυμὸν ἔχοντας
  Νόσφι μεριμνάων εὐφροσύνως διάγειν
Τερπομένους, τηλοῦ δὲ κακὰς ἀπὸ κῆρας ἀμῦναι,
  Γῆράς τ' οὐλόμενον, καὶ θανάτοιο τέλος.

μὴ καὶ αὐτοὶ ὑπερβάντες, ταὐτὰ πάθοιεν τοῖς ἑαυτῶν πατράσι.

Ἀλλὰ κἀκεῖνο, ὦ Ζεῦ, πῶς ἂν εἴη δίκαιον, εἴτις ἀπέχεται μὲν πάμπαν ἀδίκων ἔργων, μήτε νόμους παραβαίνων, μήθ' ὅρκους ψευδεῖς δεχόμενος, δικαίως δὲ ζῇ πρὸς πάντας, τοῦτον πῶς ἂν εἴη δίκαιον μὴ τοῖς ἴσοις ἀμείβεσθαι; τίς δὲ καὶ ὁρῶν πρὸς τοῦτον, σέβοιτ' ἂν τοὺς ἀθανάτους; καὶ πῶς τις ἂν διατεθείη, ὁπότ' ἀνὴρ ἄδικος καὶ ἀλαζὼν, μήτ' ἀνθρώπων, μήτε θεῶν φοβούμενος ὀργὴν, ἐξυβρίζει, ἐπαιρόμενος τῷ πλούτῳ, οἱ δὲ δικαιοσύνῃ σώζοντες πάσχουσι, τρυχώμενοι ὑπὸ δεινῆς πενίας;

Ταῦτ' εἰδὼς αὐτὸς, ὦ φίλε, κτῶ, ὅ,τι ποτ' ἂν κτήσῃ, σὺν τῷ δικαίῳ, ἀπεχόμενος πάσης πλεονεξίας, τῶν ἐπῶν ἀεὶ μιμνισκόμενος τούτων· πειθόμενος δὲ, οἷς ἔφην, ἐμέ τ' αὐτὸν καὶ σεαυτὸν τελευτῶν ἐπαινέσεις.

Ζεὺς ὁ ἐν οὐρανῷ κατοικῶν, καὶ οἱ ἄλλοι μακάριοι θεοὶ πάντες σχοῖεν τὴν ἑαυτῶν δεξιὰν ἐπὶ τῆς πόλεως ταύτης ἐπὶ σωτηρίᾳ· ὁ δ' ἄναξ Ἀπόλλων διευθύνοι τήν τε γλῶσσαν, καὶ τὸν νοῦν ἡμῶν πρὸς τὸ ἀγαθόν· ἡ δὲ φόρμιξ καὶ ὁ αὐλὸς ἀκαταπαύστως ᾀδέτωσαν ἐν ὕμνοις· ἡμεῖς δὲ σπονδὰς ποιοῖμεν τοῖς θεοῖς σὺν ἁρμονίᾳ, τὰ βέλτιστα εὐχόμενοι πρὸς ἀλλήλους, μηκέτι μηδέποτε Μηδικὸν πόλεμον ἐνταῦθ' ὑπάρξαι· ἀλλὰ ζῆν ἀεὶ σὺν εὐθυμίᾳ τε, καὶ ἀμερίμνως, ταὐτὰ πάντες φρονοῦντες ἐν εὐφροσύνῃ· τὰ δὲ κακὰ γῆρας βαρὺ καὶ θάνατον ἀποδιοπομπεῖσθαι.

Χρὴ Μουσῶν θεράποντα καὶ ἄγγελον, εἴτι περισσὸν
  Εἰδείη σοφίης, μὴ φθονερὸν τελέθειν·
Ἀλλὰ τὰ μὲν μῶσθαι, τὰ δὲ δεικνύναι, ἄλλα δὲ ποιεῖν,
  Τί σφιν χρήσηται μοῦνος ἐπιστάμενος;

Φοῖβε ἄναξ, αὐτὸς μὲν ἐπύργωσας πόλιν ἄκρην,
  Ἀλκαθόῳ Πέλοπος παιδὶ χαριζόμενος·
Αὐτὸς δὲ στρατὸν ὑβριστὴν Μήδων ἀπέρυκε
  Τῆσδε πόλευς, ἵνα σοὶ λαοὶ ἐν εὐφροσύνῃ,
Ἦρος ἐπερχομένου, κλειτὰς πέμπωσ' ἑκατόμβας,
  Τερπόμενοι κιθάρῃ καὶ ἐρατῇ θαλίῃ,
Παιάνων τε χοροῖς, ἰαχαῖσί τε σὸν περὶ βωμόν.
  Ἦ γὰρ ἔγωγε δέδοικ', ἀφραδίην ἐσορῶν
Καὶ στάσιν Ἑλλήνων λαοφθόρον. ἀλλὰ σύ, Φοῖβε,
  Ἵλαος ἡμετέρην τήνδε φύλασσε πόλιν.
Ἦλθον μὲν γὰρ ἔγωγε καὶ ἐς Σικελήν ποτε γαῖαν,
  Ἦλθον δ' Εὐβοίης ἀμπελόεν πεδίον,
Σπάρτην τ' Εὐρώτα δονακοτρόφου ἀγλαὸν ἄστυ·
  Καί μ' ἐφίλευν προφρόνως πάντες ἐπερχόμενον.
Ἀλλ' οὔ τίς μοι τέρψις ἐπὶ φρένας ἦλθεν ἐκείνων.
  Οὕτως οὐδὲν ἄρ' ἦν φίλτερον ἄλλο πάτρης.

Μή ποτ' ἐμοὶ μελέδημα νεώτερον ἄλλο φανείη
  Ἀντ' ἐρατῆς σοφίης, ἀλλὰ τόδ' αἰὲν ἔχων
Τερποίμην φόρμιγγι καὶ ὀρχηθμῷ καὶ ἀοιδῇ,
  Καὶ μετὰ τῶν ἀγαθῶν ἐσθλὸν ἔχοιμι νόον.

Μήτε τινὰ ξεῖνον δηλεύμενος ἔργμασι λυγροῖς,
  Μήτε τιν' ἐνδήμων, ἀλλὰ δίκαιος ἐὼν
Τὴν σαυτοῦ φρένα τέρπε· δυσηλεγέων δὲ πολιτῶν
  Ἄλλος τίς σε κακῶς, ἄλλος ἄμεινον ἐρεῖ.

Χρὴ τὸν τῶν Μουσῶν θεράποντα καὶ ἱεροφάντην ὄντα, ὅ,τι σοφὸν πλέον ἐπίσταται τῶν ἄλλων, μὴ φθονεῖν τοῦτο κἀκείνοις κοινὸν ποιῆσαι, τὰ μὲν προθυμούμενον, τὰ δὲ δεικνύοντα, τὰ δὲ καὶ γράφοντα· εἰς τί γὰρ ἂν χρῷτο τούτοις, αὐτός τις ἐπιστάμενος ταῦτα μόνος;

Φοῖβε Ἄπολλον, αὐτὸς περιέβαλες τὴν πόλιν τείχοις, Ἀλκαθόῳ τῷ Πέλοπος χάριν φέρων· αὐτὸς καὶ τὸν τῶν Μήδων ὑβριστὴν στρατὸν ἀπόμεινον τῇ πόλει ταύτῃ, ἵν' οἱ πολῖταί σοι, ἦρος φανέντος, κλειτὰς εὐθύμως τελῶσιν ἑκατόμβας, χαίροντες κιθάρᾳ καὶ θυμήρει εὐωχίᾳ, παιάνων τε χοροὺς ἱστάντες, καὶ εὔφωνα περὶ τὸν σὸν βωμὸν μέλποντες μέλη· ἦ γὰρ δέδοικ' ἔγωγε νῦν, τὴν τῶν Ἑλλήνων νῦν λαοφθόρον καὶ ἀνόητον ὁρῶν στάσιν· ἀλλὰ σὺ, ὦ Ἄναξ, ἱλίκοις, τὴν πόλιν τήνδε φυλάσσων· καὶ γάρ ἀφικόμην ἔγωγε πρότερον εἰς Σικελίαν, κἀπὶ τὰ ἀμπελόφυτα πεδία τῆς Εὐβοίας, ὡς δ' αὔτως κἀπὶ τὴν Σπάρτην, παρ' ᾗ ῥεῖ Εὐρώτας ὁ δονακοτρόφος· καί με πάντες εὐμενῶς ὑποδεχόμενοι ἐφίλουν· ἀλλ' οὐδ' οὕτως ἠρεσκόμην τοῖς ἐκείνων. Οὕτως οὐδὲν ἂν εἴη αἱρετώτερον πατρίδος.

Μηδέν μοι μελέτω ἄλλο, ἢ ἡ τερπνὴ σοφία· τοῦτο γὰρ ἔχων, τερποίμην φόρμιγγι καὶ ὀρχήσει καὶ ᾠδῇ, μετὰ τῶν ἀγαθῶν σώφρονα βίον ἄγων.

Μήτε ξένον τινὰ, μήτε πολίτην κακῶς ποίει· ἀλλὰ δίκαιος ἐν πᾶσιν, οἷς ἂν πράττῃς γιγνόμενος, οὕτω χαῖρε τερπόμενος ἐν συνειδήσει· τῶν γὰρ ἀπηνῶν καὶ ἀμειλίκτων πολιτῶν ἄλλος ἄλλοτε καλῶς ἢ κακῶς ἐρεῖσε.

Τοὺς ἀγαθοὺς ἄλλος μάλα μέμφεται, ἄλλος ἐπαινεῖ·
Τῶν δὲ κακῶν μνήμη γίγνεται οὐδεμία.
Ἀνθρώπων δ' ἄψεκτος ἐπὶ χθονὶ γίγνεται οὐδείς·
Ἀλλ' ὡς λώϊον, οὗ μὴ πλεόνεσσι μέλει.

Οὐδεὶς ἀνθρώπων οὔτ' ἔσσεται, οὔτε πέφυκεν,
Ὅστις πᾶσιν ἁδὼν, δύσεται εἰς Ἀΐδου.
Οὐδὲ γὰρ ὃς θνητοῖσι καὶ ἀθανάτοισιν ἀνάσσει,
Ζεὺς Κρονίδης, θνητοῖς πᾶσιν ἁδεῖν δύναται.

Τόρνου καὶ στάθμης καὶ γνώμονος ἄνδρα θεωρὸν
Εὐθύτερον χρὴ μὲν, Κύρνε, φυλασσέμεναι,
Ὧ τινί κεν Πυθῶνι θεοῦ χρήσασ' ἱέρεια
Ὀμφὴν σημήνῃ πίονος ἐξ ἀδύτου.
Οὔτε τι γὰρ προσθεὶς οὐδὲν κέ τι φάρμακον εὕροις,
Οὔτ' ἀφελὼν πρὸς θεῶν ἀμπλακίην προφύγοις.

Χρῆμ' ἔπαθον θανάτου μὲν ἀεικέος οὔτι κάκιον,
Τῶν δ' ἄλλων πάντων, Κύρν', ἀνιηρότερον.
Οἵ με φίλοι προὔδωκαν· ἐγὼ δ' ἐχθροῖσι πελασθεὶς,
Εἰδήσω καὶ τῶν, ὅν τιν' ἔχουσι, νόον.

Βοῦς μοι ἐπὶ γλώσσης κρατερῷ ποδὶ λὰξ ἐπιβαίνων
Ἴσχει κωτίλλειν, καίπερ ἐπιστάμενον.
Κύρν', ἔμπης δ' ὅ,τι μοῖρα παθεῖν, οὐκ ἔσθ' ὑπαλύξαι.
Ὅττι δὲ μοῖρα παθεῖν, οὔτι δέδοικα παθεῖν.
Ἐς πολὺ ἄρρητον κακὸν ἥκομεν, ἔνθα μάλιστα,
Κύρνε, συναμφοτέρους μοῖρα λάβοι θανάτου.

Οἳ δ' ἀπογηράσκοντας ἀτιμάζουσι τοκῆας,
Τούτων τοι χώρη, Κύρν', ὀλίγη τελέθει.

Τοὺς μὲν ἀγαθοὺς ἄλλος μὲν ψέγει, ἄλλος δὲ ἐπαινεῖ· περὶ δὲ τῶν κακῶν οὐδεὶς λόγος· οὐδεὶς δ' ἐπὶ γῆς ἂν εἴη ἀπηλλαγμένος μώμου· κάλλιον δὲ παρ' αὐτοῖς, οὗ ὡς ἐλάχιστον ποιοῦνται φροντίδα.

Οὐδεὶς τῶν ἀνθρώπων, οὔτ' ἔσται, οὔτε φύσιν ἔστιν ἔχων, ὃς καταβήσεταί ποτε ἐς Ἅδου, πᾶσιν ἀρεστὰ ποιήσας· οὐδὲ γὰρ αὐτὸς ὁ Ζεὺς ὁ θνητῶν καὶ ἀθανάτων βασιλεύων, οἷός τ' ἂν εἴη πᾶσιν ἑξῆς ἀρέσαι.

Ἀνὴρ θεωρὸς, Κύρνε, τόρνου καὶ στάθμης καὶ γνώμονος εὐθύτερος ὀφείλει εἶναι, φυλάσσων ἐπ' ἀκριβὲς, ὃν αὐτῷ ἡ Πυθία ἀνεῖλε χρησμὸν ἐκ τῶν τοῦ θεοῦ ἀδύτων· οὔτε γὰ ἀφελόντι, οὔτ' αὖ προσθέντι ἴαμά σοι εἴη ἂν παρὰ τῶν θεῶν, ὥστ' ἀποφυγεῖν τὴν παρ' ἐκείνου τίσιν.

Ἔπαθόν τι κακὸν, ὦ Κύρνε, θανάτου μὲν μετριώτερον, τῶν δ' ἄλλων ἁπάντων ἀνιερώτερον· οἱ γὰρ φίλοι προὔδωκάν με· ἔγνων δὲ νῦν προσελθεῖν αὐτοῖς τοῖς ἐχθροῖς, ἵνα μάθοιμι, οἷα καὶ οὗτοι φρονοῦσιν.

Βοῦς μοι ἐπὶ γλώττης κρατερῷ ἐπιβαίνων ποδὶ, ἐπέχει με θωπεύειν ἑτέρους, καίπερ εἰδότα τοῦτο.

Ὅ,τι μὲν πέπρωται, Κύρνε, παθεῖν ἑκάστῳ, τοῦτο πάντως οὐκ ἔστιν ἀποφυγεῖν· ἀλλὰ τοῦτ' ἔγωγε οὐ δέδοικα μήτι πάθω· πολλῷ γὰρ μείζω κακόν ἐστιν, ἔνθα συναμφοτέρους ἡμᾶς ἡ μοῖρα κατάξει τοῦ θανάτου.

Ὅσοι τοὺς ἑαυτῶν τοκέας ἀτιμάζουσιν ἐν γήρᾳ, τούτων Κύρνε, ὀλίγη ἐστὶ τιμὴ παρὰ ἀνθρώποις.

Μήτε τιν' αὖξε τύραννον ἐπ' ἐλπίσι κέρδεος εἵνεκ',
Μήτε κτεῖνε, θεῶν ὅρκια συνθέμενος.

Πῶς ἡμῖν τέτληκεν ὑπ' αὐλητῆρος ἀείδειν
Θυμός; γῆς δ' οὖρος φαίνεται ἐξ ἀγορῆς,
Ἥ τε τρέφει καρποῖσιν ἐν εἰλαπίναις φορέοντας
Ξανθῇσίν τε κόμαις πορφυρέους στεφάνους.
Ἀλλ' ἄγε δή, Σκύθα, κεῖρε κόμην, ἀπόπαυε δὲ κῶμον,
Πένθει δ' εὐώδη χῶρον ἀπολλύμενον.

Πίστει χρήματ' ὄλεσσα, ἀπιστίῃ δ' ἐσάωσα·
Γνώμη δ' ἀργαλέη γίγνεται ἀμφοτέρων.
Πάντα τάδ' ἐν κοράκεσσι καὶ ἐν φθορᾷ· οὐδέ τις ἡμῖν
Αἴτιος ἀθανάτων, Κύρνε, θεῶν μακάρων·
Ἀλλ' ἀνδρῶν τε βίη, καὶ κέρδεα πολλά, καὶ ὕβρις
Πολλῶν ἐξ ἀγαθῶν ἐς κακότητ' ἔβαλον.

Δισσαί τοι πόσιος κῆρες δειλοῖσι βροτοῖσι,
Δίψα τε λυσιμελής, καὶ μέθυσις χαλεπή.
Τούτων δ' εἰ τὸ μέσον στρωφήσομαι, οὐδ' ἐμὲ πείσεις,
Οὔτε τι μὴ πίνειν, οὔτε λίην μεθύειν.
Οἶνος ἐμοὶ τὰ μὲν ἄλλα χαρίζεται· ἓν δ' ἀχάριστος,
Εὖτ' ἂν θωρήξας μ' ἄνδρα πρὸς ἐχθρὸν ἄγῃ.
Ἀλλ' ὁπόταν καθύπερθεν, ἐὼν ὑπένερθε, γένηται,
Τουτάκις οἴκαδ' ἴμεν, παυσάμενοι πόσιος.

Εὖ μὲν κείμενον ἄνδρα κακῶς θέμεν εὐμαρές ἐστιν·
Εὖ δὲ θέμεν τὸ κακῶς κείμενον, ἀργαλέον.

Τύραννον μηδένα μήτ' αὔξανε ἐπ' ἐλπίδι κέρδους, μήτε μὴν κτεῖνε, εἴτινας πρὸς αὐτοὺς συνέθου θεῶν ὅρκους.

Πῶς ὑπομένει ἡμῖν ἔνδοθεν ὁ θυμὸς, ὥστε ᾄδειν ὑπ' αὐλητῆρα; ἰδοὺ τῆς γῆς ἡ εὐφορία ἀπὸ τῆς ἀγορᾶς ὁρᾶται· αὕτη δὲ τρέφει τοῖς ἑαυτῆς καρποῖς ἐν εὐωχίαις τοὺς ἐπὶ τῶν ξανθῶν κομῶν πορφυροῖς στεφάνοις ἐστεμμένους· Οὐκοῦν δεῦρο δὴ αὐτὸς, ὦ Σκύθη, κεῖρε τὴν κόμην, παῦσον δὲ καὶ τὸν κῶμον· πένθει δὲ τὴν εὐώδη χώραν ἐκείνην ἀπολλυμένην.

Οἷς μὲν πιστεύσας, παρέδωκα χρήματα, ταῦτ' ἀπώλεσα πάντα· οἷς δ' ἐπιστήσας, οὐκ ἔδωκα, ταῦτα διέσωσα· ὅ,τι δὲ δεῖ φρονεῖν περὶ τούτων ἀμφοτέρων οὐ πάνυ ῥᾴδιον. Ἀλλ' ἴτω πάντα ταῦτ ἐς κόρακας καὶ φθοράν· οὐδὲ γὰρ γνώμῃ τῶν μακάρων θεῶν, ὦ Κύρνε, γίγνεται ταῦτα· πλεονεξία δὲ καὶ ὕβρις ἀνθρώπων ἀδίκων ἐκ πολλῆς εὐπορίας μετέβαλον εἰς ἀπορίαν.

Διττὸν κακὸν τοῖς ἀνθρώποις φαίνεται ἐν τῇ πόσει, δίψη προηγουμένη, παραλύουσα τὰ τοῦ σώματος μέλη, καὶ μέθη ἑπομένη, πολλῶν κακῶν αἰτία γιγνομένη· τούτων δὲ εἰ τεμῶ τὸ μέσον, οὐκ ἄν με παραπείσειας οὔτε μὴ πίνειν ὅλως, οὔτε πίνοντα ἄγαν μεθύειν· οἶνος μὲν γὰρ ἔμοιγε χαρίεις ἐν ἅπασιν· ἓν δὲ μόνον ἄχαρι ἔχει· ὁπότε ὑποθερμάνας, ἐπ' ἐχθρὸν ἐπαίρει ἄνδρα· ἀλλ' ὅταν ἀπὸ τοῦ στομάχου, κάτωθεν ἀνιὼν, ἐπὶ τὸν ἐγκέφαλον ἄνω γένηται, τότ' ἀναστάντες, ἥκωμεν οἴκαδε, παυσάμενοι τοῦ πίνειν.

Τὸ μὲν εὖ ἔχον εἰς κακὸν περιτρέψαι, εὐχερές· τὸ δὲ κακῶς διακείμενον εὖ διαθεῖναι, καὶ πάνυ τι δυσχερές.

Λὰξ ἐπίβα δήμῳ κενεόφρονι, τύπτε δὲ κέντρῳ
 Ὀξέϊ, καὶ ζεύγλην δύσλοφον ἀμφιτίθει.
Οὐ γὰρ ἔθ᾽ εὑρήσεις δῆμον φιλοδέσποτον ὧδε
 Ἀνθρώπων, ὁπόσους ἠέλιος καθορᾷ.

Ζεὺς ἄνδρ᾽ ἐξολέσειεν Ὀλύμπιος, ὃς τὸν ἑταῖρον
 Μαλθακὰ κωτίλλων ἐξαπατᾷν ἐθέλει.

Ἄνδρα τοι ἔστ᾽ ἀγαθὸν χαλεπώτατον ἐξαπατῆσαι,
 Ὡς ἐν ἐμῇ γνώμῃ, Κύρνε, πάλαι κέκριται.
Ἥδεα μὲν καὶ πρόσθεν, ἀτὰρ πολὺ λώϊον ἤδη,
 Οὕνεκα τοῖς δειλοῖς οὐδεμί᾽ ἐστὶ χάρις.

Πολλάκις ἡ πόλις ἥδε δι᾽ ἡγεμόνων κακότητα,
 Ὥσπερ κεκλιμένη ναῦς, παρὰ γῆν ἔδραμε.

Τῶν δὲ φίλων εἰ μέν τις ὁρᾷ μέ τι δεινὸν ἔχοντα,
 Αὐχέν᾽ ἀποστρέψας, οὐδ᾽ ἐσορᾷν ἐθέλει.
Ἢν δέ τί μοι ποθὲν ἐσθλὸν, ἃ πολλάκι γίγνεται ἀνδρὶ,
 Πολλοὺς ἀσπασμοὺς καὶ φιλότητας ἔχω.

Οἵ με φίλοι προδιδοῦσι, καὶ οὐκ ἐθέλουσί τι δοῦναι,
 Ἀνδρῶν φαινομένων· ἀλλ᾽ ἐγὼ αὐτομάτη
Ἑσπερίη τ᾽ ἔξειμι, καὶ ὀρθρίη αὖθις ἔσειμι,
 Ἦμος ἀλεκτρυόνων φθόγγος ἐγειρομένων.

Πολλοῖς ἀχρήστοισι θεὸς διδοῖ ἀνδράσιν ὄλβον
 Ἐσθλὸν, ὃς οὐθ᾽ αὐτῷ βέλτερος οὐδὲν ἐὼν,
Οὔτε φίλοις· ἀρετῆς δὲ μέγα κλέος οὔποτ᾽ ὀλεῖται.
 Αἰχμητὴς γὰρ ἀνὴρ γῆν τε καὶ ἄστυ σάοι.

Δήμῳ ἀνοήτῳ τε καὶ ἀχαλίνῳ ἐπιπήδησον κρατερῶς, κέντρῳ τε ὀξεῖ νύττων, καὶ ζυγῷ βαρυλόφῳ ἀποπνίγων· οὕτω γὰρ οὐκέθ' εὑρήσεις οὕτω φιλοδέσποτον δῆμον ἐν ἀνθρώποις, ὅσους ἂν ἥλιος βλέπῃ.

Ζεὺς Ὀλύμπιος ἐξώλη καὶ προώλη ποιήσειεν, ὃς ἂν ἐκ θωπείας ἀνελευθέρου προσιὼν τοῖς φίλοις, ἐξαπατᾷν ἐθέλῃ.

Ἄνδρα ἀγαθὸν, ὡς ἐγὼ κρίνω, Κύρνε, χαλεπὸν ἐστὶν ἐξαπατῆσαι· ᾔδειν γὰρ καὶ πρόσθεν τοῦτο· ἀλλὰ νῦν πολλῷ μᾶλλον πεπαίδευμαι, ὅτι παρὰ τοῖς πονηροῖς οὐδεμία μένει χάρις.

Πολλάκις ἡ πόλις αὕτη κακίᾳ τῶν διοικούντων ἔπλευσε παρὰ τὴν γῆν, ὥσπερ ναῦς ἑτεροκλινὴς καὶ σαθρά.

Ὅτε μέν τις τῶν φίλων ὁρᾷ με πάσχοντα τὶ δεινὸν, ςρέψας τὰ νῶτα, οὐδὲ βλέπειν με ὑπομένει· ἢν δέ ποτε γένηταί μοι τὶ ἀγαθὸν, ἃ συνήθως παραγίνεται τοῖς ἀνθρώποις, πολλοὺς ἀσπασμοὺς καὶ προσηγορίας παρ' ἐκείνου λαμβάνω.

Οἱ ἐμοὶ φίλοι προδιδόντες με, οὐκ ἐθέλουσί μοι τὶ διδόναι, παρόντων ἄλλων· ἀλλ' ἐγὼ ἑκοῦσα ἀφ' ἑσπέρας ἔξειμι, καὶ αὖθις ὄρθρου βαθέως ἐπ' ἀλεκτροφωνίας εἴσιμι πάλιν.

Πολλοῖς τῶν ἀμεταδότων καὶ ἀχρείων ὁ θεὸς πολὺν δίδωσι πλοῦτον· ἀλλ' οὐδ' αὐτοῖς, οὐδὲ τοῖς φίλοις αὐτῶν χρήσιμος γίγνεται· τὸ δὲ κλέος τῆς ἀρετῆς μόνον ἐστὶν ἀθάνατον· ἀνὴρ γὰρ πολεμικὸς χώραν καὶ πόλιν σώζει.

Ἐν μοι ἔπειτα πέσοι μέγας οὐρανὸς εὐρὺς ὕπερθε
Χάλκεος. ἀνθρώπων δεῖμα πελαιγενέων,
Εἰ μὴ ἐγὼ τοῖσιν μὲν ἐπαρκέσω, οἵ με φιλεῦσι,
Τοῖς δ᾽ ἐχθροῖς ἀνίη καὶ μέγα πῆμ᾽ ἔσομαι.

Οἶνε, τὰ μέν σ᾽ αἰνῶ, τὰ δὲ μέμφομαι· οὐδέ σε πάμπαν
Οὔτε ποτ᾽ ἐχθαίρειν, οὔτε φιλεῖν δύναμαι.
Ἐσθλὸς καὶ κακός ἐσσί. τίς ἄν σέ γε μωμήσαιτο,
Τίς δ᾽ ἂν ἐπαινήσαι, μέτρον ἔχων σοφίης;

Ἥβάοις, φίλε θυμέ· τάχ᾽ ἄν τινες ἄλλοι ἔσοιντο
Ἄνδρες· ἐγὼ δὲ θανὼν γαῖα μέλαιν᾽ ἔσομαι.
Πῖν᾽ οἶνον, τὸν ἐμοὶ κορυφῆς ἄπο Τηϋγέτοιο
Ἄμπελοι ἤνεγκαν, τὰς ἐφύτευσ᾽ ὁ γέρων
Οὔρεος ἐν βήσσησι θεοῖσι φίλος Θεότιμος,
Ἐκ πλατανιστοῦντος ψυχρὸν ὕδωρ ἐπάγων.
Τοῦ πίνων, ἀπὸ μὲν χαλεπὰς σκεδάσεις μελεδῶνας,
Θωρηχθεὶς δ᾽, ἔσεαι πολλὸν ἐλαφρότερος.

Εἰρήνη καὶ πλοῦτος ἔχοι πόλιν, ὄφρα μετ᾽ ἄλλων
Κωμάζοιμι· κακοῦ δ᾽ οὐκ ἔραμαι πολέμου.
Μηδὲ λίην κήρυκος ἀν᾽ οὖς ἔχε μακρὰ βοῶντος.
Οὐ γὰρ πατρῴας γῆς πέρι μαρνάμεθα.
Ἀλλ᾽ αἰσχρὸν, παρεόντα καὶ ὠκυπόδων ἐπιβάντα
Ἵππων, μὴ πόλεμον δακρυόεντ᾽ ἐσιδεῖν.

Οἴ μοι ἀναλκείης. ἀπὸ μὲν Κήρινθος ὤλωλε,
Ληλάντου δ᾽ ἀγαθὸν κείρεται οἰνόπεδον·
Οἱ δ᾽ ἀγαθοὶ φεύγουσι, πόλιν δὲ κακοὶ διέπουσιν.
Ὡς κυψελλίζον Ζεὺς ὀλέσειε γένος.

Ἐμπέσοι μοι ὁ μέγας οὗτος καὶ εὐρὺς οὐρανὸς ἄνωθεν, ὁ χαλκοῦς, τὸ φοβερὸν δεῖμα τῶν ἀρχαίων, εἰ μὴ ἐγὼ τοῖς μὲν με φιλοῦσι ἐπαρκέσω, τοῖς δὲ μισοῦσι μὴ ἐπηρεάσω, ὅσον ἂν οἷός τε ᾧ.

Ὦ οἶνε, ἔστι μὲν ἐν οἷς ἐπαινῶ σε, ἐν οἷς δὲ καὶ μέμφομαι· οὐ γὰρ ἔχω οὔτε μισεῖν σε πάμπαν, οὔτε φιλεῖν ὅλως, οὕτω χρηστὸν καὶ κακὸν ἅμα γιγνόμενον· τὶς γὰρ, μέτριος ὢν, δύναιτ' ἂν ἢ ψέξαι σε, ἢ ἐπαινέσαι ὅλως;

Ἔῤῥωσο, ὦ φίλη ψυχή· εἰ γὰρ ἐγὼ τεθναίην, ταχέως ἀναστήσονται ἄλλοι· νῦν δὲ πῖνε οἶνον, ὃν ἀπὸ τῆς κορυφῆς τοῦ Τηϋγέτου ἤνεγκαν αἱ ἄμπελοι, ἃς Θεότιμος ὁ γέρων καὶ θεοφιλὴς ἐκεῖνος ἐφύτευσεν ἐν ταῖς τοῦ ὄρους βύσσαις, ψυχρὸν ὕδωρ ἐκ πλατανῶνος αὐταῖς παροχετεύσας· Τούτου οὖν πίνων, ἀποσκεδάσεις τὰς ἐπαχθεῖς φροντίδας καὶ μεθυσθεὶς, πολλῷ κουφότερος γενήσῃ.

Ἐν εἰρήνῃ καὶ πλούτῳ εὐδαιμονοίη πόλις, ἵνα κωμάζοιμι σὺν ἄλλοις· πόλεμον δὲ, τὸν πολλῶν κακῶν γιγνόμενον αἰτίαν, φρίττω· μὴ οὖν σφόδρα ἄεχε τὸ οὖς πρὸς τὸν κήρυκα, μέγα βοῶντα· οὐ γὰρ πατρῴας προμαχούμεθα χώρας· Ἀλλ' αἰσχρὸν αὖθις πόλεμον πολύμοχθον ἐπιόντα, καὶ μονονυχὶ ὠκυπόδων ἐπιβάντα ἵππων ἰδόντας, μὴ θέλειν ἀμύνεσθαι.

Οἴμοι τῆς δειλίας καὶ ἀνανδρίας! ἡ μὲν Κήρινθος ἀπόλωλεν ἤδη· τὸ δὲ Ληλάντου οἰνόφυτον πεδίον δῃοῦται πάμπαν· οἱ δὲ ἀγαθοὶ τῶν πολιτῶν εἰσι φυγάδες· τὴν δὲ πόλιν διοικοῦσι κάκιστοι καὶ ἐξώλεις· ὀλέσειεν οὖν ὁ Ζεὺς γένος τυραννοῦν δίκην Κυψέλλου.

Γνώμης οὐδὲν ἄμεινον ἀνὴρ ἔχει ἔν γε ἑαυτῷ,
Οὐδ' ἀγνωμοσύνης, Κύρν', ἀνιηρότερον.

Μὴ πάντ' ἀνδράσι, Κύρνε, καταθνητοῖς χαλεπαίνειν,
Γιγνώσκων, ὡς νοῦν οἷον ἕκαστος ἔχει
Αὐτὸς ἐνὶ στήθεσσι, καὶ ἔργματα τῷ τε δικαίῳ,
Τῷ τ' ἀδίκῳ, μέγα κεν πῆμα βροτοῖσιν ἐπῇ.
Ἔστι τὸ μὲν χεῖρον, τὸ δ' ἄμεινόν γ' ἔργον ἑκάστου·
Οὐδεὶς δ' ἀνθρώπων αὐτὸς ἅπαντα σοφός.

Ὅς τις ἀνάλωσιν τηρεῖ, κατὰ χρήματα θηρῶν,
Κυδίστην ἀρετὴν τοῖς συνιεῖσιν ἔχει.
Εἰ μὲν γὰρ κατιδεῖν βιότου τέλος ἦν, ὁπόσον τις
Ἤμελλ' ἐκτελέσας εἰς Ἀΐδαο περᾶν,
Εἰκὸς ἂν ἦν, ὃς μὲν πλείω χρόνον αἶσαν ἔμιμνε,
Φείδεσθαι μᾶλλον τοῦτον, ὃν εἶχε βίον.
Νῦν δ' οὐκ ἔστιν· ὅ δὴ καὶ ἐμοὶ μέγα πένθος ὄρωρε,
Καὶ δάκνομαι ψυχὴν, καὶ δίχα θυμὸν ἔχω.
Ἐν τριόδῳ δ' ἕστηκα· δύ' εἰσὶ πρόσθεν ὁδοί μοι·
Φροντίζω τούτων ἥν τιν' ἴω προτέρην·
Ἢ μηδὲν δαπανῶν, τρύχω βίον ἐν κακότητι,
Ἢ ζώω τερπνῶς, ἔργα τελῶν ὀλίγα;
Εἶδον μὲν γὰρ ἔγωγ', ὃς ἐφείδετο, κοὔ ποτε γαστρὶ
Σῖτον ἐλευθέριον πλούσιος ὢν, ἐδίδου·
Ἀλλὰ πρὶν ἐκτελέσαι, κατέβη δόμον Ἄϊδος εἴσω,
Χρήματα δ' ἀνθρώπων οὑπιτυχὼν ἔλαβεν,
Ὥστ' ἐς ἄκαιρα πονεῖν, καὶ μὴ δόμεν, ὧς κ' ἐθέλοι τις·
Εἶδον δ' ἄλλον, ὃς ἦν γαστρὶ χαριζόμενος·
Χρήματα μὲν διέτριψεν, ἔφη δ'· Ὑπάγω φρένα τέρψας·
Πτωχεύει δὲ φίλους πάντας, ὅπου τιν' ἴδῃ.

Γνώμης ἀγαθῆς, Κύρνε, ἄμεινον οὐδέν ἐστιν ἀνθρώπῳ, καθάπερ αὖ οὐδ᾽ ἀγνωμοσύνης καὶ ἀνοίας λυπηρότερον.

Μὴ σφόδρα, ὦ Κύρνε, ὀργίζου τοῖς ἀνθρώποις, εἰδὼς, ὡς ἕκαστος αὐτῶν ὑποκρύπτει ἑαυτῷ φρόνημά τι ἴδιον· κἀπειδὰν συμβῇ κακὸν τῇ πόλει, εἰσὶν ἴδια ἔργα τῷ τε δικαίῳ καὶ ἀδίκῳ· οὐδεὶς γὰρ τῶν ἁπάντων εὐδοκιμεῖ ἐν πᾶσιν· ἀλλ᾽ ἔσθ᾽ ὅτε μὲν κατορθοῦται, ὅτε δὲ καὶ πάνυ ἀποτυγχάνει·

Εἴ τις φιλοχρήματος ὢν ἄγαν, φυλάττοιτ᾽ ἀναλῶσαί τι τῶν ὑπαρχόντων, μεγάλην ἀρετὴν δείκνυσι τοῖς εὖ φρονοῦσιν· εἰ γὰρ ἑκάστῳ ἐξῆν εἰδέναι, πόσον αὐτῷ πέπρωται διαβιῶναι, ὃ διελθὼν, καταβήσεται ἐς Ἅδου, ἦν ἂν ἄλλως περὶ τούτου διαιτᾶσθαι· Ὅς μὲν γὰρ ἂν πλείω χρόνον διαρκέσῃ ἐν τῷ βίῳ, τοῦτον μᾶλλόν τι χρὴ φείδεσθαι τῶν ἑαυτοῦ χρημάτων· νῦν δὲ οὐκ ἔστι τοῦτο· ὃ κἀμοῦ τὴν ψυχὴν ἔδακε μέσην· καὶ πενθῶ, ὁπότ᾽ ἐν τριόδῳ γενόμενος, ἀπορῶν, ὁποτέραν τράπωμαι τῶν ἐμπροσθίων, τὴν ἐπίπονον καὶ τραχεῖαν, ἢ τὴν ἄνετον καὶ ὁμαλήν· οἷον πότερον, ἐπιπόνῳ καὶ καματερῷ χρήσωμαι βίῳ, πολλὰ μὲν πονῶν, ὀλίγα δὲ ἀναλίσκων· ἢ ζῆν ἐν εὐθυμίαις, πονῶν ὀλίγα; ἑώρακα γὰρ ἔγωγ᾽ ἄνδρα σφόδρα μὲν πλούσιον ὄντα, λίαν δὲ φειδομένως τῇ γαστρὶ χαριζόμενον, ἀλλὰ πρὶν ἐκτελέσαι, ὃ ἐσκόπει, καταβάντα αἴφνης εἰς τὰς τοῦ Ἅδου πύλας, ἃ δ᾽ ἐκέκτητο, ἕρμαιον ἐγένετο τῷ τυχόντι· ὥστε μάταιον τὸ πονεῖν οὕτω, μὴ ἀναλίσκοντα, ὅπῃ τις ἂν ἐθέλῃ· Εἶδον δὲ καὶ ἕτερον αὖθις, ὃς σφόδρα θεραπεύων τὴν γαστέρα, κατέτριψεν ἐν ἡδοναῖς τὸν πάντα βίον, λέγων τάδε· Ἄπειμι νῦν, τρυφῆς πλησθεὶς παντοίας· ἐπαιτεῖ δὲ παρὰ τῶν φίλων, ὅτῳ ἂν περιιὼν ἐν-

Οὕτω, Δημόκλεις, κατὰ χρήματ' ἄριστον ἁπάντων·
Τὴν δαπάνην θέσθαι καὶ μελέτην ἐχέμεν.
Οὔτε γὰρ ἂν προκαμὼν, ἄλλῳ κάματον μεταδοίης,
Οὔτ' ἂν πτωχεύων, δουλοσύνην τελέοις.
Οὐδ', εἰ γῆρας ἵκοιτο, τὰ χρήματα πάντ' ἀποδραίη·
Ἐν δὲ τοιῷδε γένει χρήματ' ἄριστον ἔχειν.
Εἰ μὲν γὰρ πλουτεῖς, πολλοὶ φίλοι· ἢν δὲ πένηαι,
Παῦροι· οὐκ ἔθ' ὁμῶς ωὐτὸς ἀνὴρ ἀγαθός.

Φείδεσθαι μὲν ἄμεινον, ἐπεὶ οὐδὲ θανόντ' ἀποκλαίει
Οὐδεὶς, ἢν μὴ ὁρᾷ χρήματα λειπόμενα.

Παύριος ἀνθρώπων ἀρετὴ καὶ πλοῦτος ὀπηδεῖ.
Ὄλβιος, ὃς τούτων ἀμφοτέρων ἔλαχε.
Πάντες μιν τιμῶσιν· ὁμῶς ἴσοι οἵ τε κατ' αὐτὸν
Εἴκουσιν χώρης, οἵ τε παλαιότεροι.

Οὐ δύναμαι φωνῇ λιγύρ' ἀειδέμεν, ὥσπερ ἀηδών.
Καὶ γὰρ τὴν προτέρην νύκτ' ἐπὶ κῶμον ἔβην.
Οὐδὲ τὸν αὐλητὴν προφασίζομαι· ἀλλά μ' ἑταῖρος
Ἐκλείπει, σοφίης οὐκ ἐπιδευόμενος.
Ἐγγύθεν αὐλητῆρος ἀείσομαι, ὧδε καταστὰς
Δεξιὸς, ἀθανάτοις θεοῖσιν ἐπευχόμενος.

Εἶμι παρὰ στάθμην ὀρθὴν ὁδὸν, οὐδετέρωσε
Κλινόμενος· χρὴ γάρ μ' ἄρτια πάντα νοεῖν.
Πατρίδα κοσμήσω, λιπαρὴν πόλιν, οὔτ' ἐπὶ δήμῳ
Τρέψας, οὔτ' ἀδίκοις ἀνδράσι πειθόμενος.

τύχῃ· Οὕτως, ὦ Διόκλεις, ἄριστον ἂν εἴη δαπανᾷν ἕκαστον, καθ' ὅσον χρημάτων εὐποροίη, καὶ περὶ τοῦ μέλλοντος μελέτην ἔχων· οὕτω γὰρ οὔτ' ἀποθανὼν, ἃ ἐκτήσω σὺν πόνῳ, ἑτέροις καταλείψεις· οὔτ' αὖ ἐπαιτῶν, δουλείας ἔργον πράξεις· εἰδέποθ' ὑστέρῳ χρόνῳ καὶ γῆρας ἥκοι, τὰ χρήματα οὐκ ἂν ἐκλίποι πάντα· ἐν δὲ τοιαύτῃ καταστάσει ἄριστον χρήματα ἔχειν. πλουτῶν μὲν γὰρ, πολλοὺς ἂν ἔχοις φίλους· πενόμενος δὲ, ὡς ἐλαχίστους· ὁ γὰρ αὐτὸς ἀνὴρ οὐκέτ' ἂν εἴη ὁμοίως ἀγαθὸς, τῶν πραγμάτων μεταβαλόντων.

Ἄμεινον φειδωλὸν εἶναι, ἢ δαπανηρόν· ὅς γὰρ ἂν ἀποθανὼν, μὴ ἀπολείπῃ χρήματα, τοῦτον οὐδεὶς κλαύσεται ἀποθανόντα.

Ἀρετὴν καὶ πλοῦτον ἅμα τῷ αὐτῷ συνελθεῖν σπάνιον· εἰδὲ γένοιτό τῳ ἀμφοτέρων κύριον γενέσθαι, εὐδαίμων οὗτος· πάντες γὰρ αὐτὸν τιμῶσιν· οἵτε γὰρ τὴν αὐτὴν αὐτῷ ἔχοντες ἡλικίαν καὶ οἱ πρεσβύτεροι ὁμοίως τῆς τιμῆς αὐτῷ ὑποχωροῦσι.

Οὐ δύναμαι λιγυρῶς κατ' ἀηδόνα ᾄδειν· ἢ γὰρ ἂν τῇ παρελθούσῃ νυκτὶ εἰς κῶμον ἦλθον· οὐδ' αὐλεῖν αὖθις ὑποκρίνομαι· ἀλλ' ἐκλελοιπότος ἤδη μοι ἑταίρου, οὗ λόγος πολὺς ἐπὶ σοφίᾳ, οὕτω παρ' αὐλητῆρι καθήμενος, δεξιὸς ὢν τούτῳ, ᾄσω, θεοῖς ἀθανάτοις εὐχόμενος.

Εἶμι, τὴν μέσην ὁδὸν τέμνων κατ' εὐθεῖαν, μηδὲν ἐπὶ θάτερα παρεκτρεπόμενος· δεῖ γάρ με πάντα νοεῖν ἐναργῶς· διοικήσω γὰρ τὴν πόλιν λιπαρῶς, μήτ' ἐπὶ τῷ δήμῳ ταύτην παραχωρῶν γενέσθαι, μήτε τοῖς ἀδικῶσιν εἴκων.

Νεβρὸν ὑπ' ἐξ ἐλάφοιο, λέων ὣς ἀλκὶ πεποιθὼς,
Ποσσὶ καταμάρψας, αἵματος οὐκ ἔπιον.
Τειχέων δ' ὑψηλῶν ἐπιϐὰς, πόλιν οὐκ ἀλάπαξα·
Ζευξάμενος δ' ἵππους, ἅρματος οὐκ ἐπέϐην·
Πρήξας δ' οὐκ ἔπρηξα, καὶ οὐκ ἐτέλεσσα τελέσσας·
Δρήσας δ' οὐκ ἔδρησ'· ἥνυσα δ' οὐκ ἀνύσας.

Δειλοὺς εὖ ἔρδοντι δύω κακά. τῶν τε γὰρ αὐτοῦ
Χηρεύσει πολλῶν, καὶ χάρις οὐδεμία.

Εἴ τι παθὼν ὑπ' ἐμοῦ ἀγαθὸν μέγα, μὴ χάριν οἶδας,
Χρήζων ἡμετέρους αὖτις ἵκοιο δόμους.

Ἔς τε μὲν αὐτὸς ἔπινον ἀπὸ κρήνης μελανύδρου,
Ἡδύ τί μοι ἐδόκει καὶ καλὸν εἶμεν ὕδωρ·
Νῦν δ' ἤδη τεθόλωται, ὕδωρ δ' ἀναμίσγεται ὕδει·
Ἄλλης δὲ κρήνης πίομαι, ἢ ποταμοῦ.

Μή ποτ' ἐπαινήσῃς, πρὶν ἂν εἰδῇς ἄνδρα σαφηνῶς,
Ὀργὴν, καὶ ῥυθμὸν, καὶ τρόπον, ὅστις ἂν ᾖ,
Πολλοί τοι κίϐδηλον ἐπίκλοπον ἦθος ἔχοντες,
Κρύπτουσ', ἐνθέμεναι θυμὸν ἐφημέριον.
Τούτων δ' ἐκφαίνει πάντων χρόνος ἦθος ἑκάστου.
Καὶ γὰρ ἐγὼ γνώμης πολλὸν ἄρ' ἐκτὸς ἔϐην.
Ἔφθην δ' αἰνήσας πρὶν σοῦ κατὰ πάντα δαῆναι
Ἤθεα· νῦν δ' ἤδη, ναῦς ἅθ', ἑκὰς διέχω.

Τίς δ' ἀρετὴ πίνοντ' ἐπιοίνιον ἆθλον ἑλέσθαι;
Πολλάκι τοι νικᾷ καὶ κακὸς ἄνδρ' ἀγαθόν.

Νεβρὸν ὑπεξελὼν ἐκ τῆς ἐλάφου, ἐπιπηδήσας αὐτῷ, ὡς λέων, καὶ τοῖς ποσὶν αὐτὸν καταλωήσας, τῶν σαρκῶν οὐκ ἐγευσάμην· ἀναπηδήσας δὲ κἀπὶ τὰ τῶν πολεμίων τείχη, καὶ κρατήσας, ἐφεισάμην τῆς πόλεως, ὥστε μὴ ἐξαλαπάξαι· ζευξάμενος δὲ καὶ ἵππους, ἀλλὰ τοῦ ἅρματος πρὸς δρόμον οὐκ ἐπέβην· ὥστε πράξας ταῦτ', οὐκ ἔπραξα· καὶ τελέσας, οὐκ ἐτέλεσα· οὐδ' ἔδρασά τι, δράσας· οὐδ' ἤνυσα, ἀνύσας.

Τῷ ἀγνώμονας εὖ ποιοῦντι διπλῆ ἔσται ζημία· τά τε γὰρ ἑαυτοῦ, ἃ ἂν δῷ, ἀπολέσει, καὶ χάρις αὐτῷ παρ' ἐκείνοις ἀποκείσεται οὐδεμία.

Εἴτι παρ' ἐμοῦ εὖ παθὼν, χάριν μὴ ὁμολογοίης, εἴθε πρὸς τὸν ἐμὸν οἶκον αὖθις καταφύγοις, μείζονός σε κατεπειγούσης χρείας.

Ἕως μὲν ἀπὸ βαθείας καὶ καθαρᾶς κρήνης ἀρυόμενος ἔπινον, ἐδόκει μοι καλὸν καὶ ἡδὺ πίνειν ὕδωρ· νῦν δὲ τεθόλωται τοῦθ', ἑτέρῳ ἀναμιγνύμενον· οὐκοῦν ἐξ ἑτέρας κρήνης, ἢ ποταμοῦ ἀρυσάμενος, πίομαι.

Μηδένα ἐπαινέσῃς, πρὶν καταμάθῃς, ὅπως ἔχει ὀργῆς καὶ τρόπου καὶ βίου παντός· πολλοὶ γὰρ, πονηροὶ ὄντες, καὶ ἀλλοπρόσαλλον ὑποκρύπτοντες ἦθος, πρὸς τὰ καθ' ἡμέραν συμβαίνοντα τὴν προαίρεσιν βάλλουσιν· ἀλλ' ὁ χρόνος, ἐξεταστὴς πάντων γιγνόμενος ἀκριβὴς, οὐκ ἐς μακρὰν ἐξελέγξει ἑκάστου τὸ φρόνημα· ἐγὼ δὲ τοῦτ' ἀγνοῶν, καὶ τῆς γνώμης τῆσδε ἀφαμαρτάνων, ἔφθην σε ἐπαινέσας πρὶν ἐς τέλος βασανίσαι τὸ σὸν ἦθος· νῦν δ' οὖν, ὥσπερ ναῦς, πόῤῥωθεν ἀνακωχεύω.

Πῶς ἂν εἴη ἀρετὴ πίνοντα, τὸ ἐπὶ οἴνῳ ἑλέσθαι ἆθλον; ἐν τούτῳ γὰρ καὶ κακὸς ἂν ἀγαθὸν πολλάκις νικήσειε.

Οὐδεὶς ἀνθρώπων, ὃν ἐπὶ ποτε γαῖα καλύψει,
Εἴς τ' ἔρεβος καταβῇ, δῶμά τε Περσεφόνης,
Τέρπεται, οὔτε λύρης, οὔτ' αὐλητῆρος ἀκούων,
Οὔτε Διωνύσου δῶρ' ἐπαειράμενος.
Ταῦτ' ἐσορῶν, κραδίῃ εὖ πείσομαι, ὄφρα τ' ἐλαφρὰ
Γούνατα καὶ κεφαλὴν ἀτρομέων προφέρω.

Μή μοι ἀνὴρ εἴη γλώσσῃ φίλος, ἀλλὰ καὶ ἔργῳ,
Χερσίν τε σπεύδοι χρήμασί τ' ἀμφότερα.
Μηδὲ παρὰ κρατῆρσι λόγοισιν ἐμὴν φρένα τέρποι,
Ἀλλ' ἔρδων φαίνοιτ', εἴ τι δύνατ' ἀγαθόν.

Ἡμεῖς δ' ἐν θαλίῃσι φίλον καταθώμεθα θυμὸν,
Ὄφρ' ἔτι τερπωλῆς ἔργ' ἐρατεινὰ φέρῃ,
Αἶψα γὰρ, ὥστε νόημα, παρέρχεται ἀγλαὸς ἥβη·
Οὐδ' ἵππων ὁρμὴ γίγνεται ὠκυτέρη,
Αἵτε περ ἄνδρα φέρουσι δορυσσόον ἐς πόνον ἀνδρῶν
Λάβρως, πυροφόρῳ τερπόμεναι πεδίῳ.

Πῖνε, ὅταν πίνωσιν· ὅταν δέ τι θυμὸν ἀσηθῇς,
Μηδεὶς ἀνθρώπων γνῷ σε βαρυνόμενον·
Ἄλλοτέ τοι πάσχων ἀνιήσεαι, ἄλλοτέ τ' ἔρδων
Χαιρήσειν δύνασαι, ἄλλοτέ τ' ἄλλος ἀνήρ.

Εἴθ' εἴη σ', Ἀκάδημε, ἐφίμερον ὕμνον ἀείδειν,
Ἆθλον δ' ἐν μέσσῳ παῖς καλὸν ἄνθος ἔχων
Σοί τ' εἴη καὶ ἐμοὶ σοφίης πέρι δηρίσωσι,
Γνοίης χ' ὅσσον ὄνων κρείσσονες ἡμίονοι.

Οὐδεὶς τῶν ἀνθρώπων, ἐπειδὰν ἅπαξ τῇ γαίᾳ παραδοθεὶς, ἐς τὸ τῆς Περσεφόνης δῶμα καταβῇ ὑπὸ σκότος, τέρψιν ἔχει καὶ ἡδονήν· οὐδὲ γὰρ λύρας ἔτι κλύει, οὔτ' αὐλητῆρος ἀκούει, οὔτε μὴν ποτήριον ἀράμενος, τοῦτο δὴ τὸ τοῦ Βάκχου δῶρον, προπίνει. Ταῦτ' οὖν ὁρῶν, πείσομαι τῇ τοῦ κέαρος ἐπιθυμίᾳ, μέχρις ἂν γόνατα ἐλαφρὰ καὶ κεφαλὴν ἥσυχον φέρω.

Μή μοι γένοιτο φίλος ἐκ λόγων μόνων· ἀλλ' ὃς ἂν ἐξ ἔργων χερσί τε καὶ χρήμασιν ἐπικουρῇ ἅμα, ἄριστος ἂν εἴη· μήτ' εἴτις ἐν πότῳ, πολλὰ ὑποσχόμενος, τὴν ἐμὴν θεραπεύει καρδίαν· ἀλλ' εἴη ἀγαθόν τι πράττων με, εἴτι δύναιτο.

Ἡμεῖς δὲ, μέχρις οὗ ἡ ἡλικία, ἐξ ὧν ἐργάζεται, τέρψιν ἔχει, εὐφραινώμεθα ἐν θυμηδίαις καὶ θαλίαις· ἡ γὰρ θαλερὰ ἥβη, ὥσπερ νόημα, παρέρχεται, ὠκυτέρα καὶ αὐτῶν τῶν ταχυπόδων ἵππων γιγνομένη· αἳ λίαν ῥαγδαίως φέρουσι τοὺς ἀναβάτας διὰ τῶν σιτοφόρων πεδίων κατὰ τῶν πολεμίων ἐν ταῖς μάχαις.

Πίνουσι συνὼν, πῖνε· κορεσθεὶς δὲ τοῦ οἴνου, πειρῶ λανθάνειν, κατωφερὴς γεγεννημένος· ὡς γὰρ ἐν πολλαῖς τοῦ βίου μεταβολαῖς ἄλλοτε μὲν, ἐφ' οἷς ἂν πάσχῃς, λυπηθήσῃ· ἄλλοτε δὲ χαιρήσεις ἐν οἷς ἂν πράττῃς· ἄλλοτε γὰρ ἄλλος ἕκαστός ἐστι.

Εἴθε, ὦ Ἀκάδημε, ἐρωτικὸν ᾄδοις ᾆσμα· ἤδη γὰρ σοί τε κἀμοὶ, περὶ σοφίας φιλονεικοῦσι, παῖς καλὸς ἆθλον κεῖται ἐν τῷ μέσῳ· ἐνταῦθα γὰρ γνοίης ἂν, ὅτον οἱ ἡμίονοί εἰσι τῶν ὄνων κρείττους.

Ἦμος δ' ἠέλιος μὲν ἐν αἰθέρι μώνυχας ἵππους
Ἄρτι παραγγέλει μέσσατον ἦμαρ, ἔχων,
Δείπνου δὴ μνησαίμεθ', ὅσον τινὰ θυμὸς ἀνώγοι,
Παντοίων ἀγαθῶν γαστρὶ χαριζόμενοι·
Χέρνιβα δ' αἶψα θύραζε φέροι, στεφανώματα δ' εἴσω
Εὐειδὴς ῥαδινῇς χερσὶ Λάκαινα κόρη.

Ξυνὸν δ' ἀνθρώποις ὑποθήσομαι, ὄφρα τις ἥβης
Ἀγλαὸν ἄνθος ἔχῃ, καὶ φρεσὶν ἐσθλὰ νοῇ,
Τῶν αὐτοῦ κτεάνων εὖ πασχέμεν. οὐ γὰρ ἀνηβᾶν
Δὶς πέλεται πρὸς θεῶν, οὐδὲ λύσις θανάτου
Θνητοῖς ἀνθρώποισι· κακὸν δ' ἐπὶ γῆρας ἐπείγει
Οὐλόμενον, κεφαλῆς δ' ἅπτεται ἀκροτάτης.

Ὡς μάκαρ, εὐδαίμων τε καὶ ὄλβιος, ὅστις ἄπειρος
Ἄθλων εἰς Ἅδου δῶμα μέλαν κατέβῃ,
Πρίν τ' ἐχθροὺς πτῆξαι, καὶ ὑπερβῆναί περ ἀνάγκῃ,
Ἐξετάσαι τε φίλους, ὅν τιν' ἔχουσι νόον.

Οὔ ποτε τοῖς ἐχθροῖσιν ὑπὸ ζυγὸν αὐχένα θήσω
Δύσλοφον. οὐδ' εἴ μοι Τμῶλος ἔπεστι κάρῃ.

Δειλοῖς τοι κακότητι ματαιότεροι νόοι εἰσί.
Τῶν δ' ἀγαθῶν αἰεὶ πρήξιες ἰθύτεραι.

Ῥηϊδίη τοι πρῆξις ἐν ἀνθρώποις κακότητος·
Τοῦ δ' ἀγαθοῦ χαλεπή, Κύρνε, πέλει παλάμη.

Τόλμα, θυμὲ, κακοῖσιν, ὅμως ἄτλητα πεπονθώς.
Δειλῶν τοι κραδίη γίγνεται ὀξυτέρη·
Μηδὲ σύ γ' ἀπρήκτοισιν ἐπ' ἔργμασιν ἄλγος ἀέξων,
Ἔχθει, μηδ' ἄχθου, μηδὲ φίλους ἀνία,

Ἐπειδὰν ὁ ἥλιος περιϊππεύων τὸν αἰθέρα, ἐν μεσουρανήματι γενόμενος, σημαίνει μεσημβρίαν, τότε δὴ ἀριστεύοιμεν, ὅσον ἑκάστῳ ἡ γαστὴρ χωροίη, ἐκ παντὸς ἀγαθοῦ αὐτῇ χαριζόμενοι· ἡ δὲ καλὴ Λάκαινα κόρα χέρνιβα μὲν ἔξω, στεφάνους δὲ εἴσω ἐφ' ἁπαλῶν χειρῶν φερέτω.

Γνώμην ἐμὴν κοινῇ πᾶσιν ἀνθρώποις εἰπεῖν βούλομαι: ἕως ἂν ἕκαστος ἀκμάζῃ ἡλικίᾳ, καὶ εὖ φρονῇ, ἀπολαυέτω τῶν ἑαυτῷ ἀγαθῶν· οὐ γάρ ἐστι γηράσαντας ἀνηβᾶν, τῶν θεῶν μὴ δεδωκότων τοῦτο· οὐδὲ θανάτου ἐστὶν ἀποφυγὴ τοῖς θνητῆς φύσεως εἰληχόσι· τὸ δὲ γῆρας ἐπείγει βαρέως, ἀπ' αὐτῆς κεφαλῆς ἀρχόμενον ἄνωθεν.

Ὡς μακάριος, ὡς εὐδαίμων, καὶ ὄλβιός ἐστιν, ὃς πρὶν πειραθῆναι κακῶν, κατέβη εἰς τὸν ἐν Ἅδου ζόφον, μήθ' ὑπερβῆναί τι ἀναγκασθείς, μήτ' ἐχθρῶν πειραθείς, μήτε φίλους δοκιμάσας, οἷά ποτε φρονοῦσιν.

Οὐκ ἂν ὑπὸ βαρὺν ζυγὸν τῶν ἐχθρῶν ὑποκλίνοιμι τὸν αὐχένα, μήτ' ἂν Τμῶλον ὅλον φέρω ἐπὶ τῆς κεφαλῆς.

Δειλαὶ δειλῶν ἐν τοῖς ἀνιαροῖς εἰσιν αἱ γνῶμαι· τῶν δ' ἀγαθῶν αἱ πράξεις ἀεὶ εὐοδοῦνται.

Ἡ πρὸς τὴν κακίαν ὁδὸς ῥᾳδία, Κύρνε, γίνεται τοῖς ἀνθρώποις· πρὸς δὲ τὴν ἀρετὴν λίαν ἀνωφερής τε καὶ χαλεπή.

Φέρε, ὦ θυμὲ, ἐν δυστυχίαις, καίτοι ἀνοίπιστα πεπονθώς· τῶν γὰρ δειλῶν ἡ καρδία ἐν τούτοις λίαν σφαδάζει· σὺ δὲ μήτε ἐπὶ ἀπράκτοις τισὶν ἔργοις ἔχθραν τρέφε, μήτε ἀχθόμενος, λύπει φίλους, μήτε ἐχθροὺς εὔφραινε τούτοις· ἃ γὰρ

Μηδ' ἐχθροὺς εὔφρανε· θεῶν δ' εἱμαρμένα δῶρα
 Οὐκ' ἂν ῥηϊδίως θνητὸς ἀνὴρ προφύγοι,
Οὔτ' ἂν πορφυρέης καταδὺς ἐς πυθμένα λίμνης,
 Οὔθ' ὅταν αὐτὸν ἔχῃ τάρταρος ἠερόεις.

Ἄφρονες ἄνθρωποι καὶ νήπιοι, οἵ τινες οἶνον
 Μὴ πίνουσ', ἄστρου καὶ κυνὸς ἀρχομένου,

Δεῦρο σὺν αὐλητῆρι παρὰ κλαίοντι γελῶντες
 Πίνωμεν, κείνου κήδεσι τερπόμενοι.
Εὕδωμεν· φυλακὴ δὲ πόλευς φυλάκεσσι μελήσει
 Ἀστυφέλης ἐρατῆς πατρίδος ἡμετέρης.
Ναὶ μὰ Δί', εἴ τις τῶνδε καὶ ἐγκεκαλυμμένος εὕδει,
 Ἡμέτερον κῶμον δέξεται ἁρπαλέως.
Νῦν μὲν πίνοντες τερπώμεθα, καλὰ λέγοντες·
 Ἅσσα δ' ἔπειτ' ἔσται, ταῦτα θεοῖσι μέλει.

Σοὶ δή, οἷά τε παιδὶ φίλῳ, ὑποθήσομαι αὐτὸς
 Ἐσθλά· σὺ δ' ἐν θυμῷ καὶ φρεσὶ ταῦτα βάλε.
Μή ποτ' ἐπειγόμενος πρήξῃς κακόν, ἀλλὰ βαθείῃ
 Σῇ φρεσὶ βούλευσαι, σῷ ἀγαθῷ τε νόῳ·
Τῶν γὰρ μαινομένων πέτεται θυμός τε νόος τε·
 Βουλὴ δ' εἰς ἀγαθὸν καὶ νόον ἐσθλὸν ἄγει.

Ἀλλὰ λόγον μὲν τοῦτον ἐάσομεν· αὐτὰρ ἐμοὶ σὺ
 Αὔλει, καὶ Μουσῶν μνησόμεθ' ἀμφότεροι.
Αὗται γὰρ τάδ' ἔδωκαν ἔχειν κεχαρισμένα δῶρα
 Σοὶ καὶ ἐμοί, καὶ μὴν ἀμφιπερικτίοσι.

Τιμαγόρα, πολλῶν ὀργὴν ἀπάτερθεν ὁρῶντι
 Γιγνώσκειν χαλεπόν, καίπερ ἐόντι σοφῷ.

διώρισται παρὰ τῶν θεῶν τοῖς ἀνθρώποις ἀγαθὰ καὶ κακὰ, οὐκ ἄν τις ἐκ προνοίας ἀποφύγοι, μήτ' ἂν εἰς τὸν πυθμένα καταδύηται τῆς θαλάσσης, μήτ' ἂν ἐς τὸ σκότος καταβῇ τοῦ Ταρτάρου.

Ἄφρονες καὶ νήπιοι, οἳ, τοῦ κυνὸς ἐπιτέλλοντος, μὴ πίνουσιν οἶνον.

Δεῦθ' ἡμεῖς, παρακαθήμενοι τοῖς κλαίουσι, χαίροντες πίνωμεν ὑπ' αὐλὸν, καὶ ταῖς ἐκείνων τερπόμενοι χαλεποῖς, θεύδωμεν ἀμερίμνως· τῆς δὲ φίλης καὶ πιμελοῦς πατρίδος τοῖς φύλαξι μελέτω· Ναὶ μὰ Δία εἴτις τούτων καὶ ἐγκεκαλυμμένως καθεύδει, προθύμως τὸν ἡμέτερον δέξεται κῶμον· νῦν οὖν τερπώμεθα ἐν οἴνῳ, πάνθ' ἡδέα προφέροντες ἐν λόγοις· ὅ,τι δὲ ἐν ὑστέρῳ ἔσται, ταῦτ' ἐν γούνασι θεῶν κεῖται.

Ἐγὼ μὲν νουθετήσω σε, οἷα παῖδά μοι φίλον, ἅπερ οἶδα συνοίσειν ἑλομένῳ, σὺ δὲ δέξαι ταῦτα προθύμως· μηδέποτε κακὸν, ὑπὸ θυμοῦ κατεπειγόμενος, πράξῃς, πρὶν ἂν βουλεύσῃ βραδέως καὶ βαθέως ἐν τῇ σεαυτοῦ ψυχῇ· τῶν μὲν γὰρ μαχομένων καὶ παλαιόντων ὁ θυμὸς μάχεται πρὸς τὸν νοῦν· τὸ δὲ βουλεύεσθαι ἀεὶ πρὸς τὸ ἀγαθὸν τὸν χρηστὸν νοῦν ἐπανάγει.

Ἀλλὰ ταῦτα μὲν, ἃ λέγεται ἡμῖν, ἐῶμεν χαίρειν· νῦν δὲ καιρὸς μεμνῆσθαι τῶν Μουσῶν, σοῦ αὐλοῦντος· παρ' ἐκείνων γὰρ ταῦθ' ὑπάρχει δεδωρημένα ἀμφοτέροις θ' ἡμῖν, καὶ τοῖς περιοικοῦσι κεχαρισμένα.

Χαλεπὸν, ὦ Τιμαγόρα, πόῤῥωθεν διαγινώσκειν προαίρεσιν ἀνθρώπων, κἂν σοφός τις ᾖ· οἱ μὲν γὰρ αὐτῶν τὴν

Οἱ μὲν γὰρ κακότητα κατακρύψαντες ἔχουσι
Πλούτῳ, τοὶ δ' ἀρετὴν οὐλομένη πενίη.

Ἐν δ' ἥβῃ παρὰ μὲν συνομήλικι κάλλιον εὕδειν,
Ἱμερτῶν ἔργων ἐξ ἔρον ἱέμενον·
Ἔστι δὲ κωμάζοντα μετ' αὐλητῆρος ἀείδειν.
Τούτων οὐδέν τοι ἄλλ' ἐπιτερπνότερον
Ἀνδράσιν ἠδὲ γυναιξί· τί μοι πλοῦτός τε καὶ αἰδώς;
Τερπωλὴ νικᾷ πάντα σὺν εὐφροσύνῃ.

Ἄφρονες ἄνθρωποι καὶ νήπιοι, οἵ τε θανόντας
Κλαίουσ', οὐδ' ἥβης ἄνθος ἀπολλύμενον.

Πρήγματος ἀπρήκτου χαλεπώτατόν ἐστι τελευτὴν
Γνῶναι, ὅπως μέλει τοῦτο θεὸς τελέσαι.
Ὀρφνὴ γὰρ τέταται. πρὸ δὲ τοῦ μέλλοντος ἔσεσθαι
Οὐ ξυνετὰ θνητῆς πείρατ' ἀμηχανίης.

Οὐδένα τῶν ἐχθρῶν μωμήσομαι ἐσθλὸν ἐόντα·
Οὐδὲ μὲν αἰνήσω δειλὸν ἐόντα φίλον.

Δεῖ μέν σ' ἄξια πολλὰ φέρειν βαρέ· οὐ γὰρ ἐπίστῃ
Τοῦτ' ἔρδειν, ὅ τι σοι μὴ καταθύμιον ᾖ.

Κάστορ καὶ Πολύδευκες, οἳ ἐν Λακεδαίμονι δίῃ
Ναίετ' ἐπ' Εὐρώτα καλλιρόῳ ποταμῷ,
Εἴ ποτε βουλεύσαιμι φίλῳ κακὸν, αὐτὸς ἔχοιμι·
Εἰ δέ τι κεῖνος ἐμοὶ, δὶς τόσον αὐτὸς ἔχοι.

Ἀργαλέως μοι θυμὸς ἔχει περὶ σῆς φιλότητος·
Οὔτε γὰρ ἐχθαίρειν, οὔτε φιλεῖν δύναμαι,

κακίαν ὑπὸ πλούτῳ, οἱ δὲ τὴν ἀρετὴν ὑπὸ φθοροποιᾷ πενίᾳ παραχώσαντες ἔχουσιν.

Ἐν ἀκμῇ τῆς ἡλικίας ἥδιςον ὁμήλικι συγκαθεύδειν· ἔξεςι γὰρ οὕτω τοὺς ἔρωτας προσαναπαύειν· οὐχ ἧττον δὲ καὶ κωμάζοντα ᾄδειν ὑπ' αὐλητῆρα· οὐδὲν γὰρ τούτου οὔτ' ἀνδράσιν, οὔτε γυναιξὶν ἂν εἴη τερπνότερον· τί γάρ μοι χρήσιμος ὁ πλοῦτος; τί δὲ καὶ αἰδὼς πρὸς σωφροσύνην; ἓν ἐκεῖνο κρατεῖ τῶν πάντων, ἡδονὴ σὺν εὐφροσύνῃ.

Ἄφρονες καὶ ἀνόητοί εἰσιν, ὅσοι κλαίουσι τοὺς τεθνηκότας, ἀλλ' οὐχὶ τὴν νεότητ', ἀρχομένην τὸ ἄνθος ἀποβάλλειν.

Οὐδὲν ἂν εἴη χαλεπὸν τοσοῦτον, ὅσον τελευτὴν πράγματος μήπω γεγενημένου προγνῶναι, ὅπως ὁ θεὸς μέλλει τελέσειν τοῦτο· σκότῳ γάρ ἐστι κεκαλυμμένον· ἡ δὲ τῶν ἀνθρώπων ἄγνοια περὶ τῶν μελλόντων οὐκ ἔχει πέρας πρὶν τούτων τι γενέσθαι.

Οὐδὲ τῶν ἐχθρῶν ἔσθ' ὅντιν' ἀγαθὸν, ψέξω, οὔτε τῶν φίλων, εἴτινα εἰδοίην κακὸν ὄντα, ἐπαινέσω.

Πολλά σε δεῖ φέρειν βαρέως· ἀγνοεῖς γὰρ, ὅπως δεῖ πράττειν πᾶν, ὃ μή σοι θυμῆρες εἴη.

Ὦ Κάστωρ καὶ Πολύδευκες, οἱ ἐν εὐδαίμονι τῇ Σπάρτῃ κατοικεῖτε παρὰ τῷ καλλιῤῥόῳ ποταμῷ Εὐρώτᾳ· εἰ μὲν ἐγὼ βουλεύσαιμι φίλῳ τῳ κακόν τι δρᾶσαι, ἐπὶ τὴν ἐμὴν κεφαλὴν τοῦτο στραφείη· εἰ δ' ἄλλος τι ἐπ' ἐμὲ βούλοιτο ἐπιτοξεῦσαι, δὶς τοσοῦτον γένοιτο ἐκείνῳ ἀποτῖσαι.

Ἐν ἀμηχανίᾳ περὶ τῆς σῆς φιλίας κεῖμαι· οὐ γὰρ ἂν δυναίμην οὔτε μισεῖν, οὔτε φιλεῖν, συνειδὼς χαλεπὸν ὂν καὶ

Γιγνώσκων χαλεπὸν μὲν, ὅταν φίλος ἀνδρὶ γένηται,
  Ἐχθαίρειν, χαλεπὸν δ' οὐκ ἐθέλοντα φιλεῖν.
Σκέπτεο δὴ νῦν ἄλλον· ἔμοιγε μὲν οὔ τις ἀνάγκη
  Τοῦτ' ἔρδειν. τῶν μοι πρόσθε χάριν τίθεσο.

Ἤδη καὶ πτερύγεσσιν ἐπαίρομαι, ὥστε πετεινὸν,
  Ἐκ λίμνης μεγάλης ἄνδρα κακὸν προφυγὼν,
Βρόχον ἀποῤῥήξας· σὺ δ' ἐμῆς φιλότητος ἁμαρτὼν,
  Ὕστερον αὖ ἑτέρου γνώσῃ ἐπιφροσύνην,
Ὅς τις σοι βούλευσεν ἐμοῦ πέρι, καί σ' ἐκέλευσεν
  Οἴχεσθαι προλιπόνθ' ἡμετέρην φιλίην.

Ὕβρις καὶ Μάγνητας ἀπώλεσε, καὶ Κολοφῶνα,
  Καὶ Σμύρνην· πάντως, Κύρνε, καὶ ὔμμας ὀλεῖ.

Ὤι μοι ἐγὼ δειλὸς, καὶ δὴ κατάχαρμα μὲν ἐχθροῖς,
  Τοῖς δὲ φίλοισι πόνος, δεινὰ παθὼν, γενόμην.

Κύρν', οἱ πρόσθ' ἀγαθοὶ νῦν αὖ κακοί· οἱ δὲ κακοὶ πρὶν
  Νῦν ἀγαθοί· τίς κεν ταῦτ' ἀνέχοιτ' ἐσορῶν,
Τοὺς ἀγαθοὺς μὲν ἀτιμοτέρους, κακίους δὲ λαχόντας
  Τιμῆς; μνηστεύει δ' ἐκ κακοῦ ἐσθλὸς ἀνήρ.
Ἀλλήλους δ' ἀπατῶντες ἐπ' ἀλλήλοισι γελῶσιν,
  Οὔτ' ἀγαθῶν μνήμην εἰδότες, οὔτε κακῶν.

Χρήματ' ἔχων, πενίην μ' ὠνείδισας. ἀλλὰ τὰ μέν μοι
  Ἔστι, τὰ δ' ἐργάσομαι, θεοῖσιν ἐπευξάμενος.

Πλοῦτε, θεῶν κάλλιστε καὶ ἱμεροέστατε πάντων,
  Σὺν σοί, καὶ κακὸς ὢν, γίγνομαι ἐσθλὸς ἀνήρ.

Ἥβης μέτρον ἔχοιμι, φιλοῖ δ' ἐμὲ Φοῖβος Ἀπόλλων
  Λητοΐδης, καὶ Ζεὺς ἀθανάτων βασιλεὺς,

μισεῖν, ὃν ἄν τις ποιήσηται φίλον· καὶ φιλεῖν, ὃν ἄν τις μὴ ἐθέλῃ· σκόπει τοίνυν ἕτερόν τιν' ἤδη· ἐμοὶ γὰρ οὐδεμία ἀνάγκη πράττειν τοῦτο, οὗ μοι καὶ πρὶν γενέσθαι χάριν ἔχεις.

Ἤδη ἔπεστί μοι, ὥσπερ πτέρυξιν, ἐπαίρεσθαι, ἄνδρα κακὸν ἐκ λίμνης ἀποφυγὼν μεγάλης, καθάπερ ὄρνις, τὸν δεσμὸν διαῤῥήξας· σὺ δὲ τὴν ἐμὴν ἀποσεισάμενος φιλίαν, ὑστέρῳ χρόνῳ εἴσῃ τὴν συμβουλὴν ἐκείνου, ὅστις ἔπεισέ σε τὴν ἐμὴν καταλιπόντα φιλίαν, τραπέσθαι ἐφ' ἑτέρους.

Ὕβρις τήν τε Μαγνησίαν, καὶ Κολοφῶνα καὶ αὐτὴν ἀπώλεσε τὴν Σμύρνην· οὐκοῦν καὶ ἡμᾶς, ὦ Κύρνε, ἡ αὐτὴ προσαπολέσει νόσος.

Οἴμοι τῷ ταλαιπώρῳ· καὶ γὰρ οἱ μὲν ἐχθροὶ ἐφήδονταί μοι δυστυχοῦντι, οἱ δὲ φίλοι συμπάσχοντες, λυποῦνται.

Οἳ πρὶν ἀγαθοὶ ἦσαν, ὦ Κύρνε, νῦν εἰσὶ κακοί· οἱ δὲ πρὶν κακοὶ ἀγαθῶν ἔχουσι τόπον· τίς οὖν ἀνάσχοιτο ταῦθ' ὁρῶν, τοὺς μὲν ἀγαθοὺς ἀτίμους γενομένους, τοὺς δ' ἀτίμους τιμῆς μεταλαχόντας; καὶ νῦν χρηστὸς ἐκ κακοῦ γυναῖκα ἄγει· πάντες διεφθάρησαν, ἀλλήλους ἀπατῶντες, ἀλλήλοις ἐγγελῶντες, οὔτε κακὸν, εἴτι ποτ' αὐτοῖς ἐγένετο, μεμνημένοι.

Πλούσιος ὢν, πενίαν μοι προφέρεις· ἀλλὰ κἀμοὶ τούτων τὰ μὲν ἔστι, τὰ δ' ἀναλώσω, θεοῖς ἐπευχόμενος.

Ὦ Πλοῦτε, κάλλιστε καὶ ἐρασμιώτατε ἁπάντων, μετὰ σοῦ καὶ κακὸς ὤν, ἄριστος ἀναφαίνομαι πάντων.

Εἴθε μοι ἦν τὸ μέσον ἔχειν τῆς ἡλικίας, φιλούμενον ὑπό τε Ἀπόλλωνος, ὃν θεὰ τέκε Λητὼ, καὶ ὑπὸ Διὸς τοῦ πάντων

Ὄφρα βίον ζώοιμι κακῶν ἔκτοσθεν ἁπάντων,
Ἥβῃ καὶ πλούτῳ θυμὸν ἰαινόμενος.

Μή με κακῶν μίμνησκε. πέπονθά τοι, οἷά τ' Ὀδυσσεὺς,
Ὅς τ' Ἀΐδου μέγα δῶμ' ἤλυθεν ἐξαναδὺς,
Ὃς δὴ καὶ μνηστῆρας ἀνείλετο νηλέϊ χαλκῷ
Πηνελόπης ἔμφρων κουριδίης ἀλόχου,
Ἥ μὲν δῆθ' ὑπέμεινε, φίλῳ πρὸς παιδὶ μένουσα,
Ὄφρα τε γῆς ἐπέβη, δειμαλέους τε μυχούς.

Εἰ πίομαι, πενίης θυμοφθόρου οὐ μελεδαίνω,
Οὔτ' ἀνδρῶν ἐχθρῶν, οἵ με λέγουσι κακῶς.
Ἀλλ' ἥβην ἐρατὴν ὀλοφύρομαι, ἥ μ' ἐπιλείπει·
Κλαίω δ' ἀργαλέον γῆρας ἐπερχόμενον.

Κύρνε, παροῦσι φίλοισι κακοῦ καταπαύσομεν ἀρχήν·
Ζητῶμεν δ' ἕλκει φάρμακα φυομένῳ.

Ἐλπὶς ἐν ἀνθρώποισι μόνη θεὸς ἐσθλὴ ἔνεστιν·
Ἄλλοι δ' Ὄλυμπόνδ', ἐκπρολιπόντες, ἔβαν.
Ὤχετο μὲν Πίστις, μεγάλη θεός· ᾤχετο δ' ἀνδρῶν
Σωφροσύνη· Χάριτές τ', ὦ φίλε, γῆν ἔλιπον.
Ὅρκοι δ' οὐκέτι πιστοὶ ἐν ἀνθρώποισι δίκαιοι,
Οὐδὲ θεοὺς οὐδεὶς ἅζεται ἀθανάτους.
Εὐσεβέων δ' ἀνδρῶν γένος ἔφθιτο, οὐδὲ θέμιστας
Οὐκέτι γιγνώσκουσ', οὐδὲ μὲν εὐσεβίας.
Ἀλλ' ὄφρα τις ζώῃ καὶ ὁρᾷ φάος ἠελίοιο,
Εὐσεβέων περὶ θεοὺς, Ἐλπίδα προσμενέτω·

ἀνάσσοντος τῶν ἀθανάτων, ἵν' οὕτως διάγοιμι βίον κακότητος ἄμικτον, νεότητι καὶ πλούτῳ τὴν ἐμαυτοῦ ψυχὴν μαλάσσων.

Μὴ ἐπιμνησθῇς πρός με τῶν κακῶν, ἃ τυγχάνω πεπονθὼς, ὡς ἄλλος Λαερτιάδης· ὃς καὶ εἰς Ἅδην καταδὺς, ἀνελήλυθε πάλιν, καὶ τοὺς τῆς Πηνελόπης τῆς ἑαυτοῦ φίλης γυναικὸς μνηστῆρας διεχρήσατο πάντας ξίφει· ἐκείνη δὲ, σὺν φίλῳ Τηλεμάχῳ, μένουσα οἴκοι, ὑπέμεινε τοὺς ἀλαζόνας, μέχρις οὗ ἐκεῖνος ἐπανῆλθεν ἐκ τῆς Τροίας.

Ὅτε πίνω οἶνον, οὐδεμίαν φροντίδα ποιοῦμαι τῆς πενίας οὐδ' εἴτις τῶν ἐχθρῶν κακῶς με λέγει, ἐπιστρέφομαι· ἐκεῖνο δὲ κλαίω μόνον, ὅτι ὁρῶ τὴν μὲν ἀγλαὸν ἥβην κατὰ μικρὸν ἐκλείπουσάν με, τὸ δὲ ἀργαλέον γῆρας ἤδη ἐπερχόμενον.

Οὐ δεῖ, Κύρνε, κακοῦ τινος φίλοις ὑπάρχουσιν ἀρχὴν ποιεῖσθαι· γενομένης δὲ ἀρχῆς, πειρᾶσθαι δεῖ φάρκα εὑρεῖν, ὥπερ ἕλκει ἀναφανέντι.

Μία θεὸς, ὦ φίλε, ἀγαθὴ ἤδη πάρεστι τοῖς ἀνθρώποις, ἡ Ἐλπίς· οἱ δ' ἄλλοι, καταλιπόντες ἡμᾶς, ᾤχοντο ἀπιόντες εἰς Ὄλυμπον· ἥτε γὰρ Πίστις, μεγάλη ὑπάρχουσα θεὸς, καὶ ἡ Σωφροσύνη, καὶ πρὸς ταύταις αἱ Χάριτες ἀπέλιπον τὴν γῆν· Ὅθεν οὐκ ἔστιν οὔτε ὅρκους ὁρᾷν πιστοὺς ἔτι σωζομένους τοῖς ἀνθρώποις, οὔτε θεοὺς αὐτοὺς τῆς προσηκούσης ἀξιουμένου; εὐλαβείας· τὸ γὰρ γένος τῶν εὐσεβῶν ἐξέλιπεν ἤδη, ὡς μήτε θέμιστας, μήτ' εὐσέβειαν γινωσκόντων τῶν παρόντων· Ἀλλὰ μέχρις ἂν πνέῃ τις τὸν ὑπὲρ γῆς ἀέρα, καὶ ὁρᾷ τὴν ἀκτῖνα τοῦ ἡλίου, εὐσεβῶν πρὸς τοὺς

Εὐχόμενος δὲ θεοῖσι, καὶ ἀγλαὰ μηρία καίων,
Ἐλπίδι τε πρώτῃ καὶ πυμάτῃ θυέτω.
Φραζέσθω δ' ἀδίκων ἀνδρῶν σκολιὸν λόγον αἰεί,
Οἳ θεῶν ἀθανάτων μηδὲν ὀπιζόμενοι,
Αἰὲν ἐπ' ἀλλοτρίοις κτεάνοις ἐπέχουσι νόημα,
Αἰσχρὰ κακοῖς ἔργοις σύμβολα θηκάμενοι.

Μήποτε τὸν παρεόντα μεθεὶς φίλον, ἄλλον ἐρεύνα,
Δειλῶν ἀνθρώπων ῥήμασι πειθόμενος.

Εἴη μοι πλουτεῦντι κακῶν ἀπάτερθε μεριμνῶν
Ζώειν ἀβλαβέως, μηδὲν ἔχοντι κακόν.

Οὐκ ἔραμαι πλουτεῖν, οὐδ' εὔχομαι· ἀλλ' ἐμοὶ εἴη
Ζῆν ἀπὸ τῶν ὀλίγων, μηδὲν ἔχοντι κακόν.

Πλοῦτος καὶ σοφίη θνητοῖς ἀμαχώτατον αἰεί·
Οὔτε γὰρ ἂν πλούτου θυμὸν ὑπερκορέσαις·
Ὡς δ' αὔτως σοφίην ὁ σοφώτατος οὐκ ἀποφεύγει,
Ἀλλ' ἔραται, θυμὸν δ' οὐ δύναται τελέσαι.

Ὀφθαλμοὶ καὶ γλῶσσα καὶ οὔατα καὶ νόος ἀνδρῶν
Ἐν μέσσῳ στηθῶν ἐν συνετοῖς φύεται.

Τοῖς ἀγαθοῖς σύμμισγε· κακοῖσι δὲ μή ποθ' ὁμάρτει,
Εὖτ' ἂν ὁδοῦ τελέῃς, τέρματά τ' ἐμπορίης.
Τῶν ἀγαθῶν ἐσθλὴ μὲν ἀπόκρισις, ἐσθλὰ δὲ ἔργα·
Τῶν δὲ κακῶν ἄνεμοι δειλὰ φέρουσιν ἔπη.
Ἐκ κακεταιρείης κακὰ γίγνεται· εὖ δὲ καὶ αὐτὸς
Γνώσῃ, ἐπεὶ μεγάλους ἤλιτες ἀθανάτους.

θεοὺς, ἀναμενέτω τὴν Ἐλπίδα· εὐχόμενος δέ τις θεοῖς, καὶ περὶ θυσίας ἐνασχολούμενος, θυέτω πρώτῃ καὶ ὑστάτῃ τῇ Ἐλπίδι· φυλάττεσθαι δὲ δεῖ τὰς σκευωρίας τῶν ἀδίκων καὶ πονηρῶν· οἵτινες, μηδὲν τῶν ἀθανάτων φροντίζοντες θεῶν, ἐπιβουλεύουσι τοῖς κτήμασι τῶν ἄλλων, αἰσχρὰ ἐπ' αἰσχροῖς ἔργοις συνθέμενοι σύμβολα.

Μηδέποτε, καταλιπὼν τὸν ὑπάρχοντα φίλον, ζήτει ἄλλον, πονηροῖς πονηρῶν πειθόμενος λόγοις.

Εἴη μοι πλουτοῦντα, μακρὰν τῶν χαλεπῶν διαβιῶναι φροντίδων ἀβλαβῶς, παντὸς κακοῦ ἀπηλλαγμένος.

Οὐκ ἔρως με κατέχει πλούτου, οὔτ' εὔχομαι τούτου τυχεῖν· Εἴη δέ μοι ὁ βίος ἀπὸ μετρίων ἄνευ κακῶν φροντίδων.

Πλοῦτος καὶ σοφία ἀκαταμάχητα δοκεῖ εἶναι· μήτε γὰρ πλούτου ὁ πλούσιος ἂν κόρον λάβοι· μήτε σοφίας ὁ σοφὸς τὶ πλέον ἔχειν ἀποφύγοι· ἀλλὰ φύσει ὀρέγεται πάντα εἰδέναι, καὶ οὐκ ἂν οἷόστε εἴη τὴν ἑαυτοῦ ψυχὴν ἐμπλῆσαι.

Ὀφθαλμοὶ καὶ γλῶσσα καὶ ὦτα, καὶ νοῦς παρὰ τοῖς σοφοῖς ἐν τῇ καρδίᾳ τὴν ἕδραν ἔχει.

Τοῖς μὲν ἀγαθοῖς τῶν ἀνθρώπων ἀεὶ ὁμίλει, τῶν δὲ κακῶν ἀπέχου, οὐ μᾶλλον ἐν ὁδοῖς, ἀλλὰ κἀν ἐμπορείαις· τῶν μὲν γὰρ ἀγαθῶν ὅ,τε λόγος, ὃν ἂν εἴπῃ, καὶ τὰ ἔργα, ἃ ἂν πράττῃ, χρηστά ἐστι· τῶν δὲ κακῶν, εἴτι ἐροῦσιν, ἀνεμώλια ταῦτ' ἐστὶν, ἐς τὸν αἰθέρα σκεδασθέντα· ἐκ γὰρ τῆς τῶν κακῶν συνουσίας ἀεὶ κακὰ γίγνεται· γνοίης δ' ἂν τοῦτο κἀυτὸς οὐκ ἐς μακρὰν, ὡς πεπλημμεληκὼς πρὸς τοὺς τοὺς θεούς.

Γνώμην, Κύρνε, θεοὶ θνητοῖσι διδοῦσιν ἀρίστην.
Ἀνθρώπου γνώμη πείρατα παντὸς ἔχει.
Ὦ μάκαρ, ὅστις δή μιν ἔχει φρεσίν· ἦ πολὺ κρείσσων
Ὕβριος οὐλομένης, λευγαλέου τε κόρου,
(Ἔστι κακὸν δὲ βροτοῖσι κόρος) τῶν οὔ τι κάκιον.
Πᾶσα γὰρ ἐκ τούτων, Κύρνε, πέλει κακότης.

Εἴθ' εἴης ἔργων αἰσχρῶν ἀπαθὴς καὶ ἀεργός,
Κύρνε, μεγίστην κεν πεῖραν ἔχοις ἀρετῆς.

Κύρνε· θεοὺς αἰδοῦ καὶ δείδιθι· τοῦτο γὰρ ἄνδρα
Εἴργει μήτ' ἔρδειν μήτε λέγειν ἀσεβῆ.

Δημοφάγον δὲ τύραννον, ὅπως ἐθέλεις, κατακλῖναι
Οὐ νέμεσις πρὸς θεῶν γίγνεται οὐδεμία.

Νοῦς ἀγαθὸς καὶ γλῶσσα τά τ' ἐν παύροισι πέφυκεν
Ἀνδράσιν, οἳ τούτων ἀμφοτέρων ταμίαι.

Οὔ τις ἄποινα διδοὺς θάνατον φύγοι, οὐδὲ βαρεῖαν
Δυστυχίαν, εἰ μὴ Μοῖρ' ἐπὶ τέρμα βάλοι·
Οὐδ' ἂν δυσφροσύνας, ὅτε δὴ θεὸς ἄλγεα πέμπει,
Θνητὸς ἀνὴρ δώροις βουλόμενος προφύγοι.

Οὐκ ἔραμαι κλισμῷ βασιληΐῳ ἐγκατακεῖσθαι
Τεθνεώς, ἀλλά τι μοι ζῶντι γένοιτ' ἀγαθόν.
Ἀσπάλαθοί γε τάπησιν ὁμοῖον στρῶμα θανόντι.
Τὸ ξύλον ἢ σκληρὸν γίγνεται, ἢ μαλακόν.

Μή με θεοὺς ἐπίορκον ἀπόμνυθι. οὐ γὰρ ἀνεκτὸν
Ἀθανάτους κρύψαι χρεῖος ὀφειλόμενον.

Γνώμη παρὰ τῶν θεῶν, Κύρνε, παραγίγνεται ἀνθρώποις δῶρον· δι' ἧς πάντα τέλος αὐτοῖς λαμβάνει· καὶ μακάριος, ὅςτις αὐτὴν ἐν κόλποις ἔχει· πολλῷ γὰρ κρείσσων ἐςὶν ὕβρεως ὀλεθρίου καὶ κόρου ἀπολουμένου· (ἔστι γὰρ κακὸν καὶ ὁ κόρος τοῖς ἀνθρώποις) ὧν οὐδὲν ἂν εἴη κάκιον ἐν τῷ βίῳ, ὡς ἐκ τούτων φυομένων τῶν ἀτόπων ἁπάντων.

Γένοιτό σοι, ὦ Κύρνε, μήτε παθεῖν, μήτε ποιῆσαί τι τῶν αἰσχρῶν· τοῦτο γὰρ δείξει σε μεγίστης ἀρετῆς πεπειραμένον.

Σέβου θεοὺς, ὦ Κύρνε· ὁ γὰρ φόβος τούτων κωλύει ἕκαστον μήτε λέγειν τι ἀσεβὲς καὶ ἀνόσιον ἔργον.

Τύραννον δημοβόρον καθελεῖν, ὅπως ἄν τις ἐθέλῃ, οὐ νεμεσᾷ τὸ θεῖον.

Νοῦς ἀγαθὸς καὶ λόγος, ἐλαχίστοις πέφυκεν ἐνυπάρχειν, ὅσοις ἐγένετο προαίρεσις ἐναποθέσθαι ταῦτα.

Οὐδεὶς δὲ μήτε θάνατον, μήτε βαρεῖαν δυστυχίαν δώροις ἂν διαφύγοι, εἰμὴ ἡ μοῖρα τέλος αὐτοῖς ἐπιθείη· μήτ' αὖ ἀφροσύνην τις δώροις ἂν ἀποφύγοι, ἐπειδὰν ὁ θεὸς βούληται τοῦτον βλάψαι.

Ζῶν μὲν, εὔχομαι τοῖς θεοῖς ἀγαθόν τί μοι παρ' αὐτῶν γενέσθαι· ἀποθανὼν δὲ, οὔτοι βούλομαι βασιλικῷ κλισμῷ ἐγκατακεῖσθαι· τῷ γὰρ θανόντι στρῶμα τὸ ἐκ ταπήτων μαλακῶν οὐδὲν ἂν διαφέροι τοῦ ἐξ ἀκανθωτῶν ἀσπαλάθων πεποιημένου· τὸ ξύλον ἢ σκληρὸν γίγνεται, ἢ μαλακόν.

Θεοὺς μὴ ἐπιόρκει· ἀδύνατον γὰρ τούτους κρύψαι, ὅ,τι τὶς ὀφείλει ἄλλῳ.

Ὄρνιθος φωνὴν Πολυπαΐδη, ὀξὺ βοώσης
　Ἤκουσ', ἥ τε βροτοῖς ἄγγελος ἦλθ' ἀρότου
Ὡραίου· καί μοι κραδίην ἐπάταξε μέλαιναν,
　Ὅττι μοι εὐανθεῖς ἄλλοι ἔχουσιν ἀγρούς,
Οὐδ' ἐμοὶ ἡμίονοι κύφων' ἕλκουσιν ἀρότρου,
　Τῆς ἄλλης μνηστῆς εἵνεκα ναυτιλίης.

Οὐκ' εἰμ', οὐδ' ὑπ' ἐμοῦ κεκλαύσεται, οὐδ' ἐπὶ τύμβῳ
　Οἰμωχθεὶς ὑπὸ γῆν εἶσι τύραννος ἀνήρ.
Οὐδ' ἂν ἐκεῖνος, ἐμοῦ τεθνηότος, οὔτ' ἀνιῷτο,
　Οὔτε κατὰ βλεφάρων θερμὰ βάλοι δάκρυα.

Οὔτε σε κωμάζειν ἀπερύκομαι, οὔτε καλοῦμαι.
　Ἀργαλέος γὰρ ἐών, καὶ φίλος, εὖτ' ἂν ἀπῇς.

Αἴθων μὲν γένος εἰμί· πόλιν δ' εὐτείχεα Θήβην
　Οἰκῶ, πε .ρώας γῆς ἀπεργυκόμενος.
Μή μ' ἀφελῶς παίζουσα, φίλους δέννάζε τοκῆας,
　Ἄργυρι. σοὶ μὲν γὰρ δούλιον ἦμαρ ἔπι·
Ἡμῖν δ' ἄλλα μέν ἐστι, γύναι, κακὰ πόλλ', ἐπεὶ ἐκ γῆς
　Φεύγομεν· ἀργαλέη δ' οὐκ ἔπι δουλοσύνη,
Οὔθ' ἡμᾶς περνᾶσι· πόλις δὲ μέν ἐστι καὶ ἡμῖν
　Καλή, Ληθαίῳ κεκλιμένη πεδίῳ.

Μήποτε πὰρ κλαίουσι καθεζόμενοι γελάσωμεν,
　Τοῖς αὐτῶν ἀγαθοῖς, Κύρν', ἐπιτερπόμενοι.

Ἐχθρὸν μὲν χαλεπὸν καὶ δυσμενῆ ἐξαπατῆσαι,
　Κύρνε· φίλον δὲ φίλῳ ῥάδιον ἐξαπατᾶν.

Πολλὰ φέρειν εἴωθε λόγος θνητοῖσι βροτοῖσι
　Πταίσματα, τῆς γνώμης, Κύρνε, ταρασσομένης.

Ὄρνιθος φωνὴ, ὦ Πολυπαίδη, εἰς τὸ οὖς εἰσῆλθέ μοι Ὀξεῖα, καιρὸν τοῦ ἀρότου καταγγέλλουσα πᾶσιν ἀνθρώποις· καί μοι τὴν μέλαιναν ἐκέντησε καρδίαν, ἐνθυμηθέντι, ὅτι τοὺς ἐμοὺς εὐανθεῖς ἀγροὺς ἕτεροι κατέχουσιν· οἱ δ' ἐμοὶ ἡμίονοι οὐχ ἕλκουσι τὸν τοῦ ἀρότρου ζυγὸν, τῆς ἄλλης μνηστῆς ἕνεκα ναυτιλίας.

Εἴτις τῶν τυράννων ἀποθανὼν, παραδοθείη τάφῳ, οὐκ εἶμι ἔγωγε κλαύσων ἐπὶ τούτῳ· οὐ γὰρ καλὸν τύραννον θρηνεῖσθαι· οὐδὲ γὰρ αὐτὸς ἐκβάλοι δάκρυ, οὐδ' ἂν ἄλλως ἀνιῷτο, ἐμοῦ ἀποθανόντος.

Οὔτε κωλύομαι χλευάζειν σε, οὔτ' ἄλλως παρακαλοῦμαι, ἐχθρὸς καὶ φίλος ὢν, μέχρις ἂν αὐτὸς οὐ παραγίνῃ.

Δεινὸς καὶ ὀξύῤῥοπος ἐγενόμην· κατοικῶ δὲ τὰς ἰσχυρῷ τείχει ὠχυρωμένας Θήβας, φυγὰς ὢν τῆς πατρίδος· σὺ δὲ, ὦ Ἄργυρι, μὴ ὕβριζε τοὺς φίλους μοι τοκέας, οὕτως ἐξ ἀφελείας παίζουσά με· σὺ μὲν γὰρ, ὦ γύναι, δουλεύεις ἤδη· ἐμοὶ δ' ἄλλα πρόσεστι χαλεπὰ, οἷα εἰκὸς τῷ φεύγοντι τὴν ἑαυτοῦ πατρίδα· ἀλλ' οὖν ἔξω ἐσμὲν δουλείας· οὐδὲ γὰρ δέος ἔτι, μή τις ἡμᾶς πωλήσῃ· ἡ δὲ πόλις ἡμῖν καλὴ, ἐπὶ τοῦ Ληθαίου πεδίου κεκλιμένη.

Μὴ γένοιθ' ἡμῖν, Κύρνε, κλαίουσι παρακαθήμενοι γελᾷν, τοῖς ἑαυτῶν τερπόμενοι ἀγαθοῖς.

Ἐχθρὸν μὲν, ὦ Κύρνε, καὶ δυσμενῆ χαλεπόν ἐστιν ἐξαπατῆσαι· φίλον δὲ καὶ πάνυ ῥάδιον.

Πολλὰ χαλεπὰ, ὦ Κύρνε, ἐκ λόγου συμβαίνει τοῖς ἀνθρώποις, ὁπότε ταράσσεται ἡ γνώμη.

Οὐδὲν, Κύρν', ὀργῆς ἀδικώτερον, ἣ τὸν ἔχοντα
Πημαίνει, θυμῷ δειλὰ χαριζομένη.

Οὐδὲν, Κύρν', ἀγαθῆς γλυκερώτερόν ἐστι γυναικός.
Μάρτυς ἐγὼ, σὺ δ' ἐμοὶ γίγνου, ἀληθοσύνης.

. . . . . . Ἀληθείη δὲ παρέστω
Σοὶ καὶ ἐμοὶ, πάντων χρῆμα δικαιότατον.

Ἤδη γάρ με κέκληκε θαλάσσιος οἴκαδε νεκρὸς,
Τεθνηκὼς ζωῷ φθεγγόμενος στόματι.

ΤΕΛΟΣ ΤΩΝ ΘΕΟΓΝΙΔΟΣ ΠΑΡΑΙΝΕΣΕΩΝ.

---

Χρὴ Μουσῶν θεράποντα καὶ ἄγγελον, εἴτι περιττὸν
Εἰδείη σοφίης, μὴ φθονερὸν τελέθειν·
Ἀλλὰ τὰ μὲν μῶσθαι, τὰ δὲ δεικνύναι, ἄλλα δὲ ποιεῖν·
Τί σφὶν χρήσεται, μοῦνος ἐπιστάμενος;

Οὐδὲν ἂν εἴη, Κύρνε, βιαστικώτερον ὀργῆς· αὕτη γὰρ κακῶς τῷ θυμῷ χαριζομένῃ, παρέλκει τὸν ἔχοντα, ὅποι βούλοιτο.

Γυναικὸς φρονίμου, Κύρνε, οὐδὲν ἂν εἴη ὀλβιώτερον· μάρτυς δ' ἐγώ σοι, καὶ σὺ ἐμοὶ τῆς ἀληθείας ταύτης.

Ἐμοί τε καὶ σοὶ ἀλήθεια ἀεὶ παρέστω, δῶρον τοῦτο δικαιότατον πάντων.

Ἤδη νεκρὸς ἐν θαλάσσῃ τεθνηκὼς, ἐκάλεσέ με οἴκαδε, ζῶντος χρησάμενος φωνῇ.

ΤΕΛΟΣ ΤΩΝ ΘΕΟΓΝΙΔΟΣ ΠΑΡΑΙΝΕΣΕΩΝ.

---

Χρὴ τὸν τῶν Μουσῶν θεράποντα καὶ ἱεροφάντην ὄντα ὅ,τι σοφὸν πλέον ἐπίσταται τῶν ἄλλων, μὴ φθονεῖν τοῦτο, κἀκείνοις κοινὸν ποιῆσαι, τὰ μὲν προθυμούμενον, τὰ δὲ δεικνύοντα, τὰ δὲ καὶ γράφοντα· εἰς τί γὰρ ἂν χρῷτο τούτοις, αὐτός τις μόνος ἐπιστάμενος ταῦτα;

# ΣΟΛΩΝΟΣ ΑΘΗΝΑΙΟΥ.

Πρὸς Μίμνερμον εἰπόντα,

ΕΞΗΚΟΝΤΑΕΤΗ ΜΟΙΡΑ ΚΙΧΟΙ ΘΑΝΑΤΟΥ.

Ἀλλ' εἴ μοι κἂν νῦν ἔτι πείσεαι, ἔξελε τοῦτο·
Μηδὲ μέγαιρ', ὅτι σεῦ λώϊον ἐφρασάμην,
Καὶ μεταποίησον λιγέως ταδὶ, ὧδε δ' ἄειδε·
ΟΓΔΩΚΟΝΤΑΕΤΗ ΜΟΙΡΑ ΚΙΧΟΙ ΘΑΝΑΤΟΥ.
Μηδ' ἐμοὶ ἄκλαυστος θάνατος μόλοι, ἀλλὰ φίλοισι
Καλλείποιμι θανὼν ἄλγεα καὶ στοναχάς.
Ἔργα δὲ Κυπρογενοῦς νῦν μοι φίλα, καὶ Διονύσου,
Καὶ Μουσέων, ἃ τίθησ' ἀνδράσιν εὐφροσύνας.
Ὄλβιος, ᾧ παῖδές τε φίλοι, καὶ μώνυχες ἵπποι,
Καὶ κύνες ἀγρευταὶ, καὶ ξένος ἀλλοδαπός.
Ἔσθ' ἥβης ἐρατοῖσιν ἐπ' ἄνθεσι παιδοφιλήσεις,
Μηρῶν ἱμείρων καὶ γλυκεροῦ στόματος.
Μνημοσύνης καὶ Ζηνὸς Ὀλυμπίου ἀγλαὰ τέκνα,
Μοῦσαι Πιερίδες, κλῦτέ μοι εὐχομένῳ.
Ὄλβον ἐμοὶ πρὸς θεῶν μακάρων δότε, καὶ πρὸς ἁπάντων
Ἀνθρώπων αἰεὶ δόξαν ἔχειν ἀγαθήν.
Εἶναι δὲ γλυκὺν ὧδε φίλοις, ἐχθροῖσι δὲ πικρόν·
Τοῖσι μὲν αἰδοῖον, τοῖσι δὲ δεινὸν ἰδεῖν.

Χρήματα δ' ἱμείρω μὲν ἔχειν, ἀδίκως δὲ πεπᾶσθαι
Οὐκ ἐθέλω. πάντως ὕστερον ἦλθε δίκη.
Πλοῦτον δ' ὃν μὲν δῶσι θεοὶ, παραγίγνεται ἀνδρὶ
Ἔμπεδος ἐκ νεάτου πυθμένος ἐς κορυφήν·
Ὃν δ' ἄνδρες τιμῶσιν, ὑφ' ὕβριος οὐ κατὰ κόσμον
Ἔρχεται· ἀλλ' ἀδίκοις ἔργμασι πειθόμενος,
Οὐκ ἐθέλων ἕπεται· ταχέως δ' ἀναμίσγεται ἄτη.
Ἀρχὴ δ' ἐξ ὀλίγου γίγνεται, ὥστε πυρὸς,
Φλαύρη μὲν τὸ πρῶτον, ἀνιηρὴ δὲ τελευτᾷ.
Οὐ γὰρ δὴν θνητοῖς ὕβριος ἔργα πέλει.
Ἀλλὰ Ζεὺς πάντων ἐφορᾷ τέλος. ἐξαπίνης δὲ
Ὥστ' ἄνεμος νεφέλας αἶψα διεσκέδασεν
Ἠρινὸς, ὃς πόντου πολυκύμονος ἀτρυγέτοιο
Πυθμένα κινήσας, γῆν κατὰ πυροφόρον
Δῃώσας καλὰ ἔργα, θεῶν ἕδος, αἰπὺν ἱκάνει
Οὐρανὸν, αἰθρίην δ' αὖθις ἔθηκεν ἰδεῖν,
Λάμπει δ' ἠελίοιο μένος κατ' ἀπείρονα γαῖαν
Καλὸν, ἀτὰρ νεφέων οὐδὲν ἔτ' ἐστὶν ἰδεῖν·
Τοιαύτη Ζηνὸς πέλεται τίσις, οὐδ' ἐφ' ἑκάστῳ,
Ὥσπερ θνητὸς ἀνὴρ, γίγνεται ὀξύχολος.
Αἰεὶ δ' οὔ τι λέληθε διαμπερὲς, ὅς τις ἀλιτρὸν
Θυμὸν ἔχει· πάντως δ' ἐς τέλος ἐξεφάνη.
Ἀλλ' ὁ μὲν αὐτίκ' ἔτισεν, ὁ δ' ὕστερον· ἣν δὲ φύγωσιν
Αὐτοὶ, μηδὲ θεῶν Μοῖρ' ἐπιοῦσα κίχῃ,
Ἤλυθε πάντως. αὖτις ἀναίτιοι ἔργα τίνουσιν
Ἢ παῖδες τούτων, ἢ γένος ἐξοπίσω.
Θνητοὶ δ' ὧδε νοεῦμεν, ὁμῶς ἀγαθός τε κακός τε·
Ἐσθλὴν δ' εἰς αὐτοῦ δόξαν ἕκαστος ἔχει,

Πρίν τι παθεῖν· τότε δ' αὖτις ὀδύρεται. ἄχρι δὲ τούτου
Χάσκοντες, κούφαις ἐλπίσι τερπόμεθα.
Χ' ὅστις μὲν νούσοισιν ὑπ' ἀργαλέης ἐπιέσθη,
Ὡς ὑγιὴς ἔσται, τοῦτο κατεφράσατο.
Ἄλλος δειλὸς ἐὼν, ἀγαθὸς δοκεῖ ἔμμεναι ἀνὴρ,
Καὶ καλὸς, μορφὴν οὐ χαρίεσσαν ἔχων·
Εἰ δέ τις ἀχρήμων, πενίης δέ μιν ἔργα βιᾶται,
Κτήσασθαι πάντως χρήματα πολλὰ δοκεῖ.
Σπεύδει δ' ἄλλοθεν ἄλλος. ὁ μὲν κατὰ πόντον ἀλᾶται
Ἐν νηυσὶ, χρήζων οἴκαδε κέρδος ἄγειν,
Ἰχθυόεντ', ἀνέμοισι φορεύμενος ἀργαλέοισι,
Φειδωλὴν ψυχῆς οὐδεμίην θέμενος.
Ἄλλος γῆν τέμνων πολυδένδρεον, εἰς ἐνιαυτὸν
Λατρεύει, τοῖσι καμπύλ' ἄροτρα μέλει.
Ἄλλος Ἀθηναίης τε καὶ Ἡφαίστου πολυτέχνεω
Ἔργα δαεὶς, χειροῖν ξυλλέγεται βίοτον.
Ἄλλος Ὀλυμπιάδων Μουσέων παρὰ δῶρα διδάχθη,
Ἱμερτῆς σοφίης μέτρον ἐπιστάμενος.
Ἄλλον μάντιν ἔθηκεν ἄναξ ἑκάεργος Ἀπόλλων·
Ἔγνω δ' ἀνδρὶ κακὸν τηλόθεν ἐρχόμενον,
Ὧ συναμαρτήσουσι θεοί· τὰ δὲ μόρσιμα πάντως
Οὔτε τις οἰωνὸς ῥύσεται, οὔθ' ἱερὰ,
Οὔθ' οἱ Παιῶνος πολυφαρμάκου ἔργον ἔχοντες
Ἰητροὶ, καὶ τοῖς οὐδὲν ἔπεστι τέλος.
Πολλάκι δ' ἐξ ὀλίγης ὀδύνης μέγα γίγνεται ἄλγος,
Κοὐκ ἄν τις λύσαι ἤπια φάρμακα δούς.

Τὸν δὲ κακαῖς νούσοισι κυκώμενον ἀργαλέαις τε
    Ἁψάμενος χειροῖν, αἶψα τίθησ' ὑγιῆ.
Μοῖρα δέ τοι θνητοῖσι κακὸν φέρει, ἠδὲ καὶ ἐσθλόν·
    Δῶρα δ' ἄφυκτα θεῶν γίγνεται ἀθανάτων.
Πᾶσι δέ τοι κίνδυνος ἐπ' ἔργμασιν, οὐδέ τις οἶδε,
    Ποῖ σχήσειν μέλλει, χρήματος ἀρχομένου.
Ἀλλ' ὁ μὲν εὐδοκιμεῖν πειρώμενος, οὐ προνοήσας,
    Ἐς μεγάλην ἄτην καὶ χαλεπὴν ἔπεσε·
Τῷ δὲ καλῶς ἔρδοντι θεὸς περὶ πάντα τίθησι
    Συντυχίην ἀγαθὴν, ἔκλυσιν ἀφροσύνης.
Πλούτου δ' οὐδὲν τέρμα πεφασμένον ἀνθρώποισιν.
    Οἳ γὰρ νῦν ἡμέων πλοῖστον ἔχουσι βίον,
Διπλάσιον σπεύδουσι· τίς ἂν κορέσειεν ἅπανπας;
    Κέρδεά τοι θνητοῖς ὤπασαν ἀθάνατοι·
Ἄτη δ' ἐξ αὐτῶν ἀναφαίνεται, ἣν ὁπόταν Ζεὺς
    Πέμψῃ τισομένην, ἄλλοτέ κ' ἄλλος ἔχοι.

Οὐδὲ μάκαρ οὐδεὶς πέλεται βροτός· ἀλλὰ πόνηροι
    Πάντες, ὅσους θνητοὺς ἠέλιος καθορᾷ.

Ἔργμασιν ἐν μεγάλοις πᾶσιν ἁδεῖν χαλεπόν.

Γνωμοσύνης δ' ἀφανὲς χαλεπώτατόν ἐστι νοῆσαι,
    Μέτρον, ὃ δὴ πάντων πείρατα μοῦνον ἔχει.

Γηράσκω δ' αἰεὶ πολλὰ διδασκόμενος.

Πάμπαν δ' ἀθανάτων ἀφανὴς νόος ἀνθρώποισι.

Τίκτει γὰρ κόρος ὕβριν, ὅταν πολὺς ὄλβος ἕπηται.

Ἶσόν τοι πλουτοῦσιν, ὅτῳ πολὺς ἄργυρός ἐστι
Καὶ χρυσὸς, καὶ γῆς πυροφόρου πεδία,
Ἵπποι θ', ἡμίονοί τε, καὶ ᾧ μόνα ταῦτα πάρεστι,
Γαστρί τε καὶ πλευραῖς καὶ ποσὶν ἁβρὰ παθεῖν,
Παῖδές τ', ἠδὲ γυναῖκες· ὅταν δέ γε τῶνδ' ἐφίκηται
Ὥρη, σὺν δ' ἥβη γίγνεται ἁρμοδία,
Ταῦτ' ἄφενος θνητοῖσι. τὰ γὰρ περιώσια πάντα
Χρήματ' ἔχων, οὐδεὶς ἔρχεται εἰς Ἀΐδην.
Οὐδ' ἂν ἄποινα διδοὺς θάνατον φύγοι, οὐδὲ βαρείας
Νούσους, οὐδὲ κακὸν γῆρας ἐπερχόμενον.

Πολλοὶ μὲν πλουτοῦσι κακοὶ, ἀγαθοὶ δὲ πένονται.
Ἀλλ' ἡμεῖς αὐτοῖς οὐ διαμειψόμεθα
Τῆς ἀρετῆς τὸν πλοῦτον· ἐπεὶ τὸ μὲν ἔμπεδον αἰεὶ,
Χρήματα δ' ἀνθρώπων ἄλλοτε ἄλλος ἔχει.

Παῖς μὲν ἄνηβος ἐὼν, ἔτι νήπιος ἕρκος ὀδόντων
Φύσας, ἐκβάλλει πρῶτον ἐν ἕπτ' ἔτεσι.
Τοὺς δ' ἑτέρους ὅτε δὴ τελέσει θεὸς ἕπτ' ἐνιαυτοὺς,
Ἥβης ἐκφαίνει σήματα γιγνομένης.
Τῇ τριτάτῃ δὲ γένειον ἀεξομένων ἐπὶ γυίων
Λαχνοῦται, χροιῆς ἄνθος ἀμοιβομένης.
Τῇ δὲ τετάρτῃ πᾶς τις ἐν ἑβδομάδ' ἐστὶν ἄριστος
Ἰσχὺν, οἵ τ' ἄνδρες σήματ' ἔχουσ' ἀρετῆς.
Πέμπτῃ δ' ὥριον ἄνδρα γάμου μεμνημένον εἶναι,
Καὶ παίδων ζητεῖν εἰσοπίσω γενεήν.
Τῇ δ' ἕκτῃ περὶ πάντα καταρτύεται νόος ἀνδρὸς,
Οὐδ' ἔρδειν ἔθ' ὁμῶς ἔργ' ἀπάλαμνα θέλει.

Ἑπτὰ δὲ νοῦν καὶ γλῶσσαν ἐν ἑβδομάσι μέγ' ἄριστος,
Ὀκτώ τ'· ἀμφοτέρων τέσσαρα καὶ δέκ' ἔτη.
Τῇ δ' ἐνάτῃ δύναται μὲν ἔτι, μαλακώτερα δ' αὐτοῦ,
Πρὸς μεγάλην ἀρετὴν σώματι καὶ σοφίῃ.
Τῇ δεκάτῃ δ', ὅτε δὴ τελέσει θεὸς ἑπτ' ἐνιαυτούς,
Οὐκ ἂν ἄωρος ἐὼν, μοῖραν ἔχοι θανάτου.

Ἡμετέρη δὲ πόλις κατὰ μὲν Διὸς οὔ ποτ' ὀλεῖται
Αἶσαν, καὶ μακάρων θεῶν φρένας ἀθανάτων.
Τοίη γὰρ μεγάθυμος ἐπίσκοπος ὀβριμοπάτρη
Παλλὰς Ἀθηναίη χεῖρας ὕπερθεν ἔχει.
Αὐτοὶ δὲ φθείρειν μεγάλην πόλιν ἀφραδίῃσιν
Ἀστοὶ βούλονται, χρήμασι πειθόμενοι,
Δήμου θ' ἡγεμόνων ἄδικος νόος, οἶσιν ἑτοῖμον
Ὕβριος ἐκ μεγάλης ἄλγεα πολλὰ παθεῖν.
Οὐ γὰρ ἐπίστανται κατέχειν κόρον, οὐδὲ παρούσας
Εὐφροσύνας κοσμεῖν δαιτὸς ἐν ἡσυχίῃ.
* * * * * * * * *

Πλουτοῦσιν δ' ἀδίκοις ἔργμασι πειθόμενοι.
* * * * * * * * *

Οὔθ' ἱερῶν κτεάνων, οὔτε τι δημοσίων
Φειδόμενοι, κλέπτουσιν ἐφ' ἁρπαγῇ ἄλλοθεν ἄλλος,
Οὐδὲ φυλάσσονται σεμνὰ Δίκης θέμεθλα,
Ἣ σιγῶσα σύνοιδε τὰ γιγνόμενα, πρό τ' ἐόντα,
Τῷ δὲ χρόνῳ πάντως ἦλθ' ἀποτισομένη.
Ταύτῃ τοι πάσῃ πόλει ἔρχεται ἕλκος ἄφυκτον,
Εἰς δὲ κακὴν ταχέως ἤλυθε δουλοσύνην,

Ἠ στάσιν ἔμφυλον, πόλεμόν θ' εὕδοντ' ἐπεγείρει,
Ὃς πολλῶν ἐρατὴν ὤλεσεν ἡλικίην.
Ἐκ γὰρ δυσμενέων ταχέως πολυήρατον ἄστυ
Τρύχεται ἐν συνόδοις τοῖς ἀδικοῦσι φίλους·
Ταῦτα μὲν ἐν δήμῳ στρέφεται κακά· τῶν δὲ πενιχρῶν
Ἱκνοῦνται πολλοὶ γαῖαν ἐς ἀλλοδαπὴν,
Πραθέντες, δεσμοῖσί τ' ἀεικελίοισι δεθέντες.
* * * * * * * * * * * * * *
Οὕτω δημόσιον κακὸν ἔρχεται οἴκαδ' ἑκάστῳ.
Αὔλειοι δ' ἔτ' ἔχειν οὐκ ἐθέλουσι θύραι·
Ὑψηλὸν δ' ὑπὲρ ἕρκος ὑπέρθορεν, εὗρε δὲ πάντας,
Εἴ κέ τις ᾖ φεύγων ἐν μυχῷ, ἢ θαλάμῳ.
Ταῦτα διδάξαι θυμὸς Ἀθηναίους με κελεύει,
Ὡς κακὰ πολλὰ πόλει δυσνομία παρέχει·
Εὐνομία δ' εὔκοσμα καὶ ἄρτια πάντ' ἀποφαίνει,
Καὶ θαμὰ τοῖς ἀδίκοις ἀμφιτίθησι πέδας,
Τραχέα λειαίνει, παύει κόρον, ὕβριν ἀμαυροῖ,
Αὐαίνει δ' ἄτης ἄνθεα φυόμενα,
Εὐθύνει δὲ δίκας σκολιὰς, ὑπερήφανά τ' ἔργα
Πραΰνει, παύει δ' ἔργα διχοστασίης,
Παύει δ' ἀργαλέης ἔριδος χόλον· ἔστι δ' ὑπ' αὐτῆς
Πάντα κατ' ἀνθρώπους ἄρτια καὶ πινυτά.
Αὐτὸς κήρυξ ἦλθον ἀφ' ἱμερτῆς Σαλαμῖνος,
Κόσμον ἐπέων ᾠδὴν ἀντ' ἀγορῆς θέμενος.
* * * * * * * * * * * * * *
Εἴην δὴ τότ' ἐγὼ Φολεγάνδριος, ἢ Σικινίτης
Ἀντί γ' Ἀθηναίου, πατρίδ' ἀμειψάμενος.

Αἶψα γὰρ ἂν φάτις ἥδε μετ' ἀνθρώποισι γένοιτο,
Ἀττικὸς οὗτος ἀνὴρ τῶν Σαλαμῖν' ἀζέντων.

* * * * * * * * * * * * * *

Ἴομεν εἰς Σαλαμῖνα, μαχησόμενοι περὶ νήσου
Ἱμερτῆς, χαλεπόν τ' αἶσχος ἀπωσόμενοι.

Δείξει δὴ μανίην μὲν ἐμὴν βαιὸς χρόνος ἀστοῖς.
Δείξει, ἀληθείης ἐς μέσον ἐρχομένης.

Ἐκ νεφέλης φέρεται χιόνος μένος ἠδὲ χαλάζης.
Βροντὴ δ' ἐκ λαμπρᾶς γίγνεται ἀστεροπῆς·
Ἐξ ἀνέμων δὲ θάλασσα ταράσσεται· ἣν δέ τις αὐτὴν
Μὴ κινῇ, πάντων ἐστὶ δικαιοτάτη·
Ἀνδρῶν δὲ ἐκ μεγάλων πόλις ὄλλυται· εἰς δὲ μονάρχου
Δῆμος, ἄϊδρις ἐών, δουλοσύνην ἔπεσε.

Εἰ δὲ πεπόνθατε δεινὰ δι' ὑμετέρην κακότητα,
Μή τι θεοῖς τούτων μοῖραν ἐπαμφέρετε.
Αὐτοὶ γὰρ τούτους ηὐξήσατε, ῥύσια δόντες,
Καὶ διὰ ταῦτα κακὴν ἴσχετε δουλοσύνην·
Ὑμέων δ' εἷς μὲν ἕκαστος ἀλώπεκος ἴχνεσι βαίνει,
Ὕμμι δὲ σύμπασι χαῦνος ἔνεστι νόος.
Εἰς γὰρ γλῶσσαν ὁρᾶτε, καὶ εἰς ἔπη αἱμύλου ἀνδρός·
Εἰς ἔργον δὲ οὐδὲν γιγνόμενον βλέπετε.

Δήμῳ μὲν γὰρ ἔδωκα τόσον κράτος, ὅσσον ἐπαρκεῖν,
Τιμῆς οὔτ' ἀφελὼν, οὔτ' ἐπορεξάμενος·
Οἳ δ' εἶχον δύναμιν, καὶ χρήμασιν ἦσαν ἀγητοὶ,
Καὶ τοῖς ἐφρασάμην μηδὲν ἀειιὲς ἔχειν·

ἔστην δ' ἀμφιβαλὼν κρατερὸν σάκος ἀμφοτέροισι·
Νικᾶν δ' οὐκ εἴασ' οὐδετέρους ἀδίκως.
Ὧδ' ἂν δῆμος ἄριστα σὺν ἡγεμόνεσσιν ἕποιτο,
Μήτε λίην ἀνεθεὶς, μήτε πιεζόμενος·

Νείλου ἐπὶ προχοῇσι, Κανωβίδος ἐγγύθεν ἀκτῆς.

## ΠΡΟΣ ΦΙΛΟΚΥΠΡΟΝ, ΕΝΑ ΤΩΝ ΕΝ ΚΥΠΡΩ ΒΑΣΙΛΕΩΝ.

Νῦν δὲ σὺ μὲν, Σολίοισι πολὺν χρόνον ἐνθάδ' ἀνάσσων,
Τὴν πόλιν εὖ ναίοις, καὶ γένος ὑμέτερον.
Αὐτὰρ ἐμὲ ξὺν νηῒ θοῇ κλεινῆς ἀπὸ νήσου
Ἀσκηθῆ πέμποι Κύπρις ἰοστέφανος·
Οἰκισμῷ δ' ἐπὶ τῷδε χάριν καὶ κῦδος ὀπάζοι
Ἐσθλὸν, καὶ νόστον πατρίδ' ἐς ἡμετέρην.

Πρῶτα μὲν εὐχώμεσθα Διῒ Κρονίδῃ βασιλῆϊ,
Θεσμοῖς τοῖσδε τύχην ἀγαθὴν καὶ κῦδος ὀπάσσαι.

Οὐκ ἔφυ Σόλων βαθύφρων, οὐδὲ βουλήεις ἀνήρ·
Ἐσθλὰ γὰρ θεοῦ διδόντος, αὐτὸς οὐκ ἐδέξατο·
Περιβαλὼν δ' ἄγραν, ἀγασθεὶς, οὐκ ἀνέσπασεν μέγα
Δίκτυον, θυμοῦ θ' ἁμαρτῇ καὶ φρενῶν ἀποσφαλείς.
Ἤθελον γάρ κεν κρατήσας, πλοῦτον ἄφθονον λαβὼν,
Καὶ τυραννήσας Ἀθηνῶν μοῦνον ἡμέραν μίαν,
Ἀσκὸς ὕστερον δεδάρθαι, κἀπιτετρίφθαι γένος.

Χαῦνα μὲν τότ' ἐφράσαντο· νῦν δ' ἐμοὶ χολούμενοι,
Λοξὸν ὀφθαλμοῖς ὁρῶσι πάντες, ὥστε δήϊον,

Εἰ δὲ γῆς ἐφεισάμην
Πατρίδος, τυραννίδος δὲ καὶ βίης ἀμειλίχου
Οὐ καθηψάμην, μιάνας καὶ καταισχύνας κλέος,

Οὐδὲν αἰδοῦμαι· πλέον γὰρ ὧδε νικήσειν δοκῶ
πάντας ἀνθρώπους.

Συμμαρτυροίη ταῦτ' ἂν ἐν δίκῃ χρόνου
Μήτηρ μεγίστη δαιμόνων Ὀλυμπίων
Ἄριστα, Γῆ μέλαινα, τῆς ἐγώ ποτὲ
Ὅρους ἀνεῖλον πολλαχῆ πεπηγότας,
Πρόσθεν δὲ δουλεύσασα, νῦν ἐλευθέρα.
Πολλοὺς δ' Ἀθήνας, πατρίδ' εἰς θεόκτιτον,
Ἀνήγαγον πραθέντας, ἄλλον ἐκδίκως,
Ἄλλον δικαίως, τοὺς δ' ἀναγκαίης ὕπο
Χρησμὸν λέγοντας, γλῶσσαν οὐκέτ' Ἀττικὴν
Ἱέντας, ὡς ἂν πολλαχῆ πλανωμένους·
Τοὺς δ' ἐνθάδ' αὐτοῦ δουλοσύνην ἀεικέα
Ἔχοντας, ἤδη δεσπότας τρομευμένους,
Ἐλευθέρους ἔθηκα· ταῦτα μὲν κράτει,
Ὁμοῦ βίαν τε καὶ δίκην συναρμόσας,
Ἔρεξα, καὶ διῆλθον ὡς ὑπεσχόμην.
Θεσμοὺς δ' ὁμοίως τῷ κακῷ τε κἀγαθῷ,
Εὐθεῖαν εἰς ἕκαστον ἁρμόσας δίκην,
Ἔγραψα. κέντρον δ' ἄλλος, ὡς ἐγὼ, λαβὼν,
Κακοφραδής τε καὶ φιλοκτήμων ἀνὴρ,
Οὐκ ἂν κατέσχε θυμὸν, οὔτ' ἐπαύσατο,
Πρὶν ἂν ταράξας, πῖαρ ἐξέλῃ, γάλα.

* * * * * * *

Εἰ γὰρ ἤθελον
Ἃ τοῖς ἐναντίοισιν ἥνδανεν τότε,

Αὖθις δ' ἃ τοῖσιν ἁτέροις, δρᾶσαι κακὰ,
Πολλῶν ἂν ἀνδρῶν ἥδ' ἐχηρώθη πόλις.
Τῶν οὕνεκ' ἀρχὴν πάντοθεν κυκεύμενος,
Ὡς ἐν κυσὶν πολλαῖσιν ἐστράφην λύκος·

Ἅμα γὰρ ἄελπτα σὺν θεοῖσιν ἤνυσα,
Ἅμα δ' οὐ μάτην ἔρδον.
Πίνουσι, καὶ τρώγουσιν, οἱ μὲν ἴτρια,
Οἱ δ' ἄρτον αὐτῶν, οἱ δὲ συμμεμιγμένους
Γούρους φακοῖσι· κεῖθι δ' οὔτε πεμμάτων
Ἄπεστιν οὐδὲν, ἅσσ' ἂν ἀνθρώποισι γῆ
Φέρει μέλαινα· πάντα δ' ἀφθόνως πάρα.

Πεφυλαγμένος ἄνδρα ἕκαστον,
Ὅρα μὴ κρυπτὸν ἔγχος ἔχων
Κραδίῃ, φαιδρῷ
Προσενέπῃ προσώπῳ,
Γλῶσσα δὲ οἱ διχόμυθος
Ἐκ μελαίνης φρενὸς γεγωνῇ.

## ΤΕΛΟΣ ΤΩΝ ΣΟΛΩΝΟΣ.

# ΦΩΚΥΛΙΔΟΥ

## *Η ΨΕΥΔΩΝΥΜΟΥ.*

### ΠΟΙΗΜΑ ΝΟΥΘΕΤΙΚΟΝ.

ΜΗΤΕ γαμοκλοπέειν, μήτ' ἄρσενα Κύπριν ὀρίνειν,
Μήτε δόλους ῥάπτειν, μήθ' αἵματι χεῖρα μιαίνειν.
Μὴ πλουτεῖν ἀδίκως, ἀλλ' ἐξ ὁσίων βιοτεύειν.
Ἀρκεῖσθαι παρεοῦσι, καὶ ἀλλοτρίων ἀπέχεσθαι.
Ψεύδεα μὴ βάζειν, τὰ δ' ἐτήτυμα πάντ' ἀγορεύειν.
Πρῶτα θεὸν τίμα, μετέπειτα δὲ σεῖο γονῆας.
Πᾶσι δίκαια νέμειν, μηδὲ κρίσιν ἐς χάριν ἕλκειν.
Μὴ ῥίψῃς πενίην· ἀδίκως μὴ κρῖνε πρόσωπον.
Ἢν σὺ κακῶς δικάσῃς, σὲ θεὸς μετέπειτα δικάσσει.
Μαρτυρίαν ψευδῆ φεύγειν· τὰ δίκαι' ἀγορεύειν.
Παρθενίην τηρεῖν· ἀγάπην δ' ἐν πᾶσι φυλάσσειν.
Μέτρα νέμειν τὰ δίκαια, καλὸν δ' ἐπίμετρον ἅπασι.
Σταθμὸν μὴ κρούειν ἑτερόζυγον, ἀλλ' ἴσον ἕλκειν.
Μήτ' ἐπιορκεῖν, μήτ' ἀγνοίῃ, μήτε ἑκοντί·
Ψεύδορκον στυγέει θεὸς ἄμβροτος, ὅστις ὀμόσσει.
Σπέρματα μὴ κλέπτειν· ἐπαράσιμος, ὅστις ἕληται.
Μισθὸν μοχθήσαντι δίδου· μὴ θλῖβε πένητα.
Γλώσσῃ νοῦν ἐχέμεν· κρυπτὸν λόγον ἐν φρεσὶν ἴσχειν.

Μήτ' ἀδικεῖν ἐθέλῃς, μήτ' οὖν ἀδικοῦντα ἐάσῃς.
Πτωχῷ δ' εὐθὺ δίδου, μηδ' αὔριον ἐλθέμεν εἴπῃς.
Πληρώσας σέο χεῖρ', ἔλεον χρῄζοντι παράσχου.
Ἄστεγον εἰς οἶκον δέξαι, καὶ τυφλὸν ὁδήγει.
Ναυηγοὺς οἴκτειρον, ἐπεὶ πλόος ἐστὶν ἄδηλος·
Χεῖρα πεσόντι δίδου· σῶσον δ' ἀπερίστατον ἄνδρα.
Κοινὰ πάθη πάντων, ὁ βίος τροχὸς, ἄστατος ὄλβος.
Πλοῦτον ἔχων, σὴν χεῖρα πενητεύουσιν ὄρεξον·
Ὧν σοι ἔδωκε θεὸς, τούτων χρῄζουσι παράσχου.
Ἔστω κοινὸς ἅπας ὁ βίος, καὶ ὁμόφρονα πάντα.
Τὸ ξίφος ἀμφιβαλοῦ, μὴ πρὸς φόνον, ἀλλ' ἐς ἄμυναν·
Εἴθε δὲ μὴ χρῄζοις μήτ' ἔννομα, μήτ' ἀδίκως γε.
Ἢν γὰρ ἀποκτείνῃς ἐχθρὸν σέο, χεῖρα μιαίνεις.
Ἀγροῦ γειτονέοντος ἀπόσχεο, μηδ' ἄρ' ὑπερβῇς.
Μηδέ τιν' αὐξόμενον καρπὸν λώβησον ἀρούρης.
Ἔστωσαν ὁμότιμοι ἐπήλυδες ἐν πολιήταις.
Πάντες γὰρ πενίης πειρώμεθα τῆς πολυπλάγκτου.
Χώρη δ' οὔ τι βέβαιον ἔχει πέδον ἀνθρώποισι.
Ἡ φιλοχρημοσύνη μήτηρ κακότητος ἁπάσης.
Χρυσὸς ἀεὶ δόλος ἐστὶ καὶ ἄργυρος ἀνθρώποισι.
Χρυσὲ, κακῶν ἀρχηγὲ, βιοφθόρε, πάντα χαλέπτων,
Εἴθε σε μὴ θνητοῖσι γενέσθαι πῆμα ποθεινόν.
Σοῦ γὰρ ἕκητι μάχαι τε, λεηλασίαι τε, φόνοι τε,
Ἐχθρὰ δὲ τέκνα γονεῦσιν, ἀδελφειοί τε συναίμοις.
Μηδ' ἕτερον κεύθοις κραδίῃ νόον, ἄλλ' ἀγορεύων·
Μηδ', ὡς πετροφυὴς πολύπους, κατὰ χῶραν ἀμείβου.
Ὅστις ἑκὼν ἀδικεῖ, κακὸς ἀνήρ· ἀλλ' ὑπ' ἀνάγκης,

Οὐκ ἐρέω τὸ τέλος· βουλὴ δ' εὐθύνεθ' ἑκάστου.
  Μὴ γαυροῦ σοφίῃ, μήτ' ἀλκῇ, μήτ' ἐνὶ πλούτῳ.
Εἷς θεός ἐστι σοφὸς, δυνατός θ' ἅμα, καὶ πολύολβος.
  Μηδὲ παροιχομένοισι κακοῖς τρύχου τεὸν ἦτορ·
Οὐκέτι γὰρ δύναται τὸ τετυγμένον εἶναι ἄτυκτον·
  Μὴ προπετὴς ἐς χεῖρα, χαλίνου δ' ἄγριον ὀργήν·
Πολλάκι γὰρ πλήξας, ἀέκων φόνον ἐξετέλεσεν.
  Ἔστω κοινὰ πάθη· μηδὲν μέγα, μηδ' ὑπέροπλον.
Οὐκ ἀγαθὸν πλεονάζον ἔφυ θνητοῖσιν ὄνειαρ·
Ἡ πολλὴ δὲ τροφὴ πρὸς ἀμέτρους ἕλκει ἔρωτας.
Ὑψαυχεῖ δ' ὁ πολὺς πλοῦτος, καὶ ἐς ὕβριν ἀέξει.
  Θυμὸς ὑπερχόμενος μανίην ὀλοόφρονα τεύχει·
Ὀργὴ δ' ἐστὶν ὄρεξις· ὑπερβαίνουσα δὲ, μῆνις.
  Ζῆλος τῶν ἀγαθῶν, ἐσθλός· φαύλων δὲ, κακοῦργος·
Τόλμα κακῶν, ὀλοή· μέγ' ὀφέλλει δ' ἐσθλὰ πονεῦντας.
Σεμνὸς ἔρως ἀρετῆς, ὁ δὲ Κύπριδος, αἶσχος ὀφέλλει.
Ἡδὺς ἀγανόφρων, κικλήσκεται ἐν πολιήταις.
Μέτρῳ μὲν φαγέειν, πίνειν καὶ μυθολογεύειν.
Πάντων μέτρον ἄριστον, ὑπερβασίαι δ' ἀλεειναί.
  Μὴ φθονέσῃς ἀγαθῶν ἑτάροις, μὴ μῶμον ἀνάψῃς.
Ἄφθονοι οὐρανίδαι καὶ ἐν ἀλλήλοις τελέθουσιν.
Οὐ φθονέει μήνη πολὺ κρείσσοσιν ἡλίου αὐγαῖς·
Οὐ χθὼν οὐρανίοις ὑψώμασι, νέρθεν ἐοῦσα·
Οὐ ποταμοὶ πελάγεσσιν· αἰεὶ δ' ὁμόνοιαν ἔχουσιν.
Εἰ γὰρ ἔρις μακάρεσσιν ἔην, οὐκ ἂν πόλος ἔστη.
  Σωφροσύνην δ' ἀσκεῖν, αἰσχρῶν δ' ἔργων ἀπέχεσθαι.
Μὴ μιμοῦ κακότητα, Δίκῃ δ' ἀπόλειψον ἄμυναν.

Πειθὼ μὲν γὰρ ὄνειαρ· ἔρις δ' ἔριν ἀντιφυτεύει.
Μὴ πίστευε τάχιστα, πρὶν ἀτρεκέως πέρα ὄψει,
Νικᾷν εὖ ἔρδοντας ἐπὶ πλεόνεσσι καθήκει.
  Καλὸν ξεινίζειν ταχέως λιταῖσι τραπέζαις,
Ἢ πλείσταις θαλίαισι βραδυνούσαις παρὰ καιρόν.
  Μηδέποτε χρήστης πικρὸς γένῃ ἀνδρὶ πένητι.
Μηδέ τις ὄρνιθας καλιῆς ἅμα πάντας ἑλέσθω.
Μητέρα δ' ἐκπρολίποις, ἵν' ἔχῃς πάλι τῆσδε νεοσσούς.
  Μηδέποτε κρίνειν ἀδαήμονας ἄνδρας ἐάσῃς.
Τὴν σοφίην σοφὸς ἰθύνει, τέχνην δ' ὁμότεχνος.
Οὐ χωρεῖ μεγάλην διδαχὴν ἀδίδακτος ἀκούειν·
Οὐ γὰρ δὴ νοέουσ' οἱ μηδέποτ' ἐσθλὰ μαθόντες.
  Μηδὲ τραπεζοκόρους κόλακας ποιεῖσθαι ἑταίρους.
Πολλοὶ γὰρ πόσιος καὶ βρώσιός εἰσιν ἑταῖροι,
Καιρὸν θωπεύοντες, ἐπὴν κορέσασθαι ἔχωσιν.
Ἀχθόμενοι δ' ὀλίγοις καὶ πολλοῖς, πάντες ἄπληστοι,
  Λαῷ μὴ πίστευε· πολύτροπός ἐστιν ὅμιλος.
Λαός τοι, καὶ ὕδωρ, καὶ πῦρ ἀκατάσχετα πάντα.
  Μηδὲ μάτην ἐπὶ πῦρ καθίσας, μινύθῃς φίλον ἦτορ.
Μέτρα δὲ τεῦχε θεοῖσι· τὸ γὰρ μέτρον ἐστὶν ἄριστον.
  Γαῖαν ἐπιμοιρᾶσθαι ἀταρχύτοις νεκύεσσι.
Μὴ τύμβον φθιμένου ἀνορύξῃς, μηδ' ἀθέατα
Δείξῃς ἠελίῳ, καὶ δαιμόνιον χόλον ὄρσῃς.
Οὐ καλὸν ἁρμονίην ἀναλυέμεν ἀνθρώποιο.
Καὶ τάχα δ' ἐκ γαίης ἐλπίζομεν ἐς φάος ἐλθεῖν
Λείψαν' ἀποιχομένων· ὀπίσω δὲ θεοὶ τελέθονται.
Ψυχαὶ γὰρ μίμνουσιν ἀκήριοι ἐν φθιμένοισι.

Πνεῦμα γάρ ἐστι θεοῦ χρῆσις θνητοῖσι καὶ εἰκών·
Σῶμα δ' ἄρ' ἐκ γαίης ἔχομεν, καὶ πᾶν τόδ' ἐς αὐτὴν
Λυόμενον κόνις ἐστίν· ἀνὴρ δ' ἀνὰ πνεῦμα δέδεκται.
Πλούτου μὴ φείδου· μέμνησ' ὅτι θνητὸς ὑπάρχεις,
Οὐκ ἔν' ἐς Ἅδην ὄλβον ἔχειν, καὶ χρήματ' ἄγεσθαι.
Πάντες ἴσοι νέκυες· ψυχῶν δὲ θεὸς βασιλεύει.
Κοινὰ μέλαθρα δόμων αἰώνια, καὶ πατρὶς Ἅδης·
Ξυνὸς χῶρος ἅπασι, πένησί τε καὶ βασιλεῦσιν.
Οὐ πολὺν ἄνθρωποι ζῶμεν χρόνον, ἀλλ' ἐπὶ καιρόν.
Ψυχὴ δ' ἀθάνατος καὶ ἀγήρως ζῇ διὰ παντός.
Μήτε κακοῖς ἄχθου, μήτ' οὖν ἐπαγάλλεο χάρμῃ.
Πολλά τοι ἐν βιότῳ καὶ θαρσαλέοισιν ἄπιστα.
Καιρῷ λατρεύειν μηδ' ἀντιπνέειν ἀνέμοισι.
Πῆμα, καὶ ἀχθομένοισι κακοῦ λύσις ἤλυθεν ἄφνω.
Μὴ μεγαληγορίῃσι τρυφῶν φρένα λυσσωθείης.
Εὐεπίην ἀσκεῖν· ἥ τις μάλα πάντας ὀνήσει.
Ὅπλον τοι λόγος ἀνδρὶ τομώτερόν ἐστι σιδήρου·
Ὅπλον ἑκάστῳ νεῖμε θεός· φύσιν ἠερόφοιτον
Ὄρνισι· πολλὴν ταχυτῆτ' ἀλκήν τε λέουσι·
Ταύροις δ' αὐτόφυτον κέρας ἐστίν· κέντρα μελίσσαις,
Ἔμφυτον ἄλκαρ, ἔδωκε· λόγος δ' ἔρυμ' ἀνθρώποισι.
Τῆς δὲ θεοπνεύστου σοφίης λόγος ἐστὶν ἄριστος.
Βέλτερος ἀλκήεντος ἔφυ σεσοφισμένος ἀνήρ.
Ἀγροὺς καὶ πόλιας σοφίη καὶ νῆα κυβερνᾷ.
Οὐχ ὅσιον κρύπτειν, τὸν ἀτάσθαλον ἄνδρα ἄδεικτον.
Ἀλλὰ χρὴ κακοεργὸν ἀποτροπάασθαι ἀνάγκῃ.
Πολλάκι συνθνήσκουσι κακοῖς οἱ συμπαρεόντες.

Φωρῶν μὴ δέξῃ κλοπίμην ἀνδρῶν παραθήκην·
Ἀμφότεροι κλῶπες, καὶ ὁ δεξάμενος, καὶ ὁ κλέψας.

Μοίρας παισὶ νέμειν· ἰσότης δ' ἐν πᾶσιν ἀρίστη.

Ἀρχόμενος φείδου πάντων, μὴ τέρμ' ἐπιδεύῃς.
Μὴ κτήνους θνητοῖο βορὴν κατὰ μέτρον ἕληαι.

Κτῆνος δ' ἢν ἐχθροῖο πέσῃ καθ' ὁδὸν, συνέγειρον.
Πλαζόμενον δὲ βροτὸν καὶ ἀλίτροπον οὐχ ὑπαλύξεις.
Βέλτερον ἀντ' ἐχθροῖο τυχεῖν φίλον εὐμενέοντα.
Ἀρχόμενον τὸ κακὸν κόπτειν, ἕλκος τ' ἀκέσασθαι.
Μηδέ τι θηρόβορον δαίσῃ κρέας· ἀργίποσιν δὲ
Λείψανα λεῖπε κυσίν· θηρῶν ἄπο θῆρες ἔδονται.
Φάρμακα μὴ τεύχειν· μαγικῶν βίβλων ἀπέχεσθαι.
Νηπιάχων ἁπαλῶν μὴ ἅψῃ χειρὶ βιαίᾳ.
Φεῦγε διχοστασίας καὶ ἔριν, πολέμου προσιόντος.
Μὴ κακὸν εὖ ἔρξῃς· σπείρειν ἴσον ἔστ' ἐνὶ πόντῳ.

Ἐργάζευ, μοχθῶν ὡς ἐξ ἰδίων βιοτεύῃς.
Πᾶς γὰρ ἀεργὸς ἀνὴρ ζώει κλοπίμων ἀπὸ χειρῶν.
Μηδ' ἄλλου παρὰ δαιτὸς ἔδοις σκυβάλισμα τραπέζης·
Ἀλλ' ἀπὸ τῶν ἰδίων βιότων φαγέοις ἀνύβριστα.
Εἰ δέ τις οὐ δεδάηκε τέχνην, σκάπτοιτο δικέλλῃ.
Ἔστι βίῳ πᾶν ἔργον, ἐπὰν μοχθεῖν ἐθέλησθα.
Ναυτίλος εἰ πλώειν ἐθέλεις, εὐρεῖα θάλασσα·
Εἰ δὲ γεωπονίην μεθέπειν, μακραί τοι ἄρουραι.
Οὐδὲν ἄνευ καμάτου πέλει ἀνδράσιν εὐπετὲς ἔργον,
Οὐδ' αὐτοῖς μακάρεσσι· πόνος δ' ἀρετὴν μέγ' ὀφέλλει.
Μύρμηκες, γαίης μυχάτους προλελοιπότες οἴκους,
Ἔρχονται βιότοιο κεχρημένοι, ὁπότ' ἄρουραι,

Ἤϊα κειράμεναι, καρπῶν πλήθουσιν ἀλωάς·
Οἱ δ' αὐτοὶ πυροῖο νεοτριβὲς ἄχθος ἔχουσιν,
Ἢ κριθῶν· αἰεὶ δὲ φέρων φορέοντα διώκει,
Ἐκ θέρεος ποτὶ χεῖμα βορὴν σφετέρην ἐπάγοντες,
Ἄτρυτοι· φῦλον δ' ὀλίγον τελέθει πολύμοχθον.
Κάμνει δ' ἠεροφοῖτις ἀριστοπόνος τε μέλισσα
Ἠὲ πέτρης κοίλης κατὰ χηραμὸν, ἢ δονάκεσσιν,
Ἢ δρυὸς ὠγυγίης κατὰ κοιλάδος, ἔνδοθι σίμβλων
Σμήνεσι μυριότρητα κατ' ἄγγεα κηροδομοῦσα.
Μὴ μείνῃς ἄγαμος, μή πως νώνυμος ὄληαι.
Δός τι φύσει καὐτός· τέκε δ' ἔμπαλιν, ὡς ἐλοχεύθης.
Μὴ προαγωγεύσῃς ἄλοχον σέο, τέκνα μιαίνων·
Οὐ γὰρ τίκτει παῖδας ὁμοίους μοιχικὰ λέκτρα.
Μητρυιῆς μὴ ψαῦε τὰ δεύτερα λέκτρα γονῆος·
Μητέρα δ' ὥς, τίμα τὴν μητέρος ἴχνια βᾶσαν.
Μηδὲ κασιγνήτης ἐς ἀπότροπον ἐλθέμεν εὐνήν.
Μηδ' ἐπὶ παλλακίσιν πατρὸς λεχέεσσι μιγείης.
Μηδὲ γυνὴ φθείρῃ βρέφος ἔμβρυον ἔνδοθι γαστρὸς,
Μηδὲ τεκοῦσα κυσὶ ῥίψῃ καὶ γυψὶν ἕλωρα.
Μηδ' αὖ παιδογόνον ποτὲ τέμνειν ἄρσενα κοῦρον·
Μηδὲ τεῇ ἀλόχῳ ἐγκύμονι χεῖρα βάλοιο.
Μηδ' ἀλόγοις ζώοισι βατήριον ἐς λέχος ἔλθοις.
Μηδ' ὕβριζε γυναῖκα ἐπ' αἰσχυντοῖς χείλεσσι.
Μὴ παραβῇς εὐνὰς φύσεως ἐς κύπριν ἄθεσμον.
Οὐδ' αὐτοῖς θήρεσσι συνεύαδον ἄρσενες εὐναί·
Μηδέ τι θηλύτεραι λέχος ἀνδρῶν μιμήσαιντο.
Μηδ' ἐς ἔρωτα γυναικὸς ἅπας ῥεύσῃς ἀκάθεκτον.

Οὐ γὰρ ἔρως θεός ἐστι, πάθος δ' ἀΐδηλον ἁπάντων.
Μηδὲ κασιγνήτων ἀλόχων ἐπὶ δέμνια βαίνειν.
Στέργε τεὴν ἄλοχον· τί γὰρ ἡδύτερον καὶ ἄρειον,
Ἢ ὅταν ἀνδρὶ γυνὴ φρονέῃ φίλα γήραος ἄχρι,
Καὶ πόσις ᾗ ἀλόχῳ. μηδ' ἐμπέσῃ ἄνδιχα νεῖκος;
Μηδέ τις ἀμνήστευτα βίῃ κούρῃσι μιγείη.
Μηδὲ γυναῖκα κακὴν πολυχρήματον οἴκαδ' ἄγεσθαι,
Λατρεύειν δ' ἀλόχῳ λυγρῆς χάριν εἵνεκα φερνῆς.
Ἵππους εὐγενέας διζέσθαι μὲν κατὰ οἶκον,
Ταύρους δ' ὑψιτένοντας, ἀτὰρ σκυλάκων παναγρείους.
Γῆμαι δ' οὐκ ἀγαθὴν ἐριδαίνομεν ἀφρονέοντες·
Οὐδὲ γυνὴ κακὸν ἄνδρ' ἀπαναίνεται ἀφνεὸν ὄντα.
Μηδὲ γάμῳ γάμον ἄλλον ἄγοις, ἐπὶ πήματι πῆμα.
Μηδ' ἀμφὶ κτεάνων συνομαίμοσιν εἰς ἔριν ἔλθοις.
Παισὶ δὲ μὴ χαλέπαινε τεοῖς, ἀλλ' ἤπιος ἴσθι·
Ἢν δέ τι παῖς ἀλίτῃ, κωλυέτω υἱέα μήτηρ,
Ἢ καὶ πρεσβύτατοι γενεῆς, ἢ δημογέροντες.
Μὴ μὲν ἐπ' ἄρσενι παιδὶ τρέφειν πλοκάμους ἐπὶ χαίτης·
Μὴ κορυφὴν πλέξῃς, μήθ' ἅμματα λοξὰ κορύμβων.
Ἄρσεσιν οὐκ ἐπέοικε κόμη, χλιδαὶ δὲ γυναιξί.
Παιδὸς δ' εὐμόρφου φρουρεῖν νεοτήσιον ὥρην.
Πολλοὶ γὰρ λυσσῶσι πρὸς ἄρσενα μῖξιν ἔρωτος.
Παρθενικὴν δὲ φύλασσε πολυκλείστοις θαλάμοισι·
Μηδέ μιν ἄχρι γάμων πρὸ δόμων ὀφθῆναι ἐάσῃς.
Κάλλος δυστήρητον ἔφυ παίδων τοκέεσσιν.
Συγγενέσι φιλότητα νέμοις, ὁσίην θ' ὁμόνοιαν.
Αἰδεῖσθαι πολιοκροτάφους, εἴκειν δὲ γέρουσιν

Ἕδρης καὶ γεράων πάντων· γενεῇ δ' ἀτάλαντον
Πρέσβυν ὁμήλικα πατρὸς ἴσαις τιμαῖσι γέραιρε.
Γαστρὸς ὀφειλόμενον δασμὸν παρέχου θεράπουσι.
Δούλῳ τακτὰ νέμοις, ἵνα τοι καταθύμιος εἴη.
Στίγματα μὴ γράψῃς, ἐπονειδίζειν θεράποντα..
Δοῦλον μὴ βλάψῃς, τι κακηγορέων πρὸς ἄνακτα.
Λάμβανε καὶ βουλὴν παρὰ οἰκέτου εὖ φρονέοντος.
Ἁγνείη ψυχῆς, τοῦ σώματός ἐστι καθαρμός.
Ταῦτα δικαιοσύνης μυστήρια· τοῖα βιεῦντες
Ζωὴν ἐκτελέοιτ' ἀγαθὴν μέχρι γήραος οὐδοῦ.

ΤΕΛΟΣ ΤΩΝ ΝΟΥΘΕΣΙΩΝ.

# ΠΥΘΑΓΟΡΟΥ ΧΡΥΣΑ ΕΠΗ.

Ἀθανάτους μὲν πρῶτα θεούς, νόμῳ ὡς διάκειται,
Τίμα, καὶ σέβου ὅρκον, ἔπειθ' ἥρωας ἀγαυούς.
Τούς τε καταχθονίους σέβε δαίμονας, ἔννομα ῥέζων·
Τούς τε γονεῖς τίμα, τούς τ' ἄγχιστ' ἐκγεγαῶτας·
Τῶν δ' ἄλλων ἀρετῇ ποιεῦ φίλον, ὅς τις ἄριστος.
Πραέσι δ' εἶκε λόγοις, ἔργοισί τ' ἐπωφελίμοισι.
Μηδ' ἔχθαιρε φίλον σὸν ἁμαρτάδος εἵνεκα μικρῆς,
Ὄφρα δύνῃ· δύναμις γὰρ ἀνάγκης ἐγγύθι ναίει.
Ταῦτα μὲν οὕτως ἴσθι· κρατεῖν δ' εἰθίζεο τῶνδε,
Γαστρὸς μὲν πρώτιστα, καὶ ὕπνου, λαγνείης τε,
Καὶ θυμοῦ. πρήξεις δ' αἰσχρόν ποτε μήτε μετ' ἄλλου,
Μήτ' ἰδίῃ· πάντων δὲ μάλιστ' αἰσχύνεο σαυτόν.
Εἶτα δικαιοσύνην ἄσκει ἔργῳ τε λόγῳ τε.
Μηδ' ἀλογίστως σαυτὸν ἔχειν περὶ μηδὲν ἔθιζε.
Ἀλλὰ γνῶθι μὲν ὡς θανέειν πέπρωται ἅπασι.
Χρήματα δ' ἄλλοτε μὲν κτᾶσθαι φίλει, ἄλλοτ' ὀλέσσαι.
Ὅσσα τε δαιμονίῃσι τύχαις βροτοὶ ἄλγε' ἔχουσιν·
Ἣν ἂν μοῖραν ἔλῃς, ταύτην φέρε, μηδ' ἀγανάκτει·
Ἰᾶσθαι δὲ πρέπει, καθόσον δύνῃ· ὧδε δὲ φράζευ·
Οὐ πάνυ τοῖς ἀγαθοῖς τούτων πολὺ μοῖρα δίδωσι.
Πολλοὶ δ' ἀνθρώποισι λόγοι δειλοί τε καὶ ἐσθλοί

Προσπίπτουσ', ὧν μήτ' ἐκπλήσσεο, μήτ' ἄρ' ἐάσῃς
Εἴργεσθαι σαυτόν· ψεῦδος δ' ἤν πέρ τι λέγηται,
Πράως ἴσχ'· ὃ δέ τοι ἐρέω, ἐπὶ παντὶ τελείσθω.
Μηδεὶς μήτε λόγῳ σε παρείπῃ, μήτε τι ἔργῳ,
Πρῆξαι μήτ' εἰπεῖν ὅ,τι τοι μὴ βέλτερόν ἐστι·
Βουλεύου δὲ πρὸ ἔργου, ὅπως μὴ μῶρα πέληται.
Δειλοῦ τοι πρήσσειν τε λέγειν τ' ἀνόητα πρὸς ἀνδρός.
Ἀλλὰ τάδ' ἐκτελέειν, ἅ σε μὴ μετέπειτ' ἀνιήσει.
Πρῆσσε δὲ μηδὲν τῶν μὴ ἐπίστασαι, ἀλλὰ διδάσκευ
Ὅσσα χρεών, καὶ τερπνότατον βίον ὧδε διάξεις.

Οὐδ' ὑγιείης τῆς περὶ σῶμ' ἀμέλειαν ἔχειν χρή.
Ἀλλὰ ποτοῦ τε μέτρον, καὶ σίτου, γυμνασίων τε
Ποιεῖσθαι· μέτρον δὲ λέγω τόδ', ὃ μή σ' ἀνιήσει.
Εἰθίζου δὲ δίαιταν ἔχειν καθάρειον, ἄθρυπτον·
Καὶ πεφύλαξό γε ταῦτα ποιεῖν, ὁπόσα φθόνον ἴσχει.
Μὴ δαπανᾶν παρὰ καιρὸν, ὁποῖα καλῶν ἀδαήμων·
Μηδ' ἀνελεύθερος ἴσθι· μέτρον δ' ἐπὶ πᾶσιν ἄριστον.
Πρῆσσε δὲ ταῦθ', ἅ σε μὴ βλάψει· λόγισαι δὲ πρὸ ἔργου.

Μηδ' ὕπνον μαλακοῖσιν ἐπ' ὄμμασι προσδέξασθαι,
Πρὶν τῶν ἡμερινῶν ἔργων τρὶς ἕκαστον ἐπελθεῖν·
Πῆ παρέβην; Τί δ' ἔρεξα; Τί μοι δέον οὐκ ἐτελέσθη;
Ἀρξάμενος δ' ἀπὸ πρώτου ἐπέξιθι· καὶ μετέπειτα
Δειλὰ μὲν ἐκπρήξας, ἐπιπλήσσεο· χρηστὰ δὲ, τέρπου.

Ταῦτα πόνει, ταῦτ' ἐκμελέτα· τούτων χρὴ ἐρᾶν σε.
Ταῦτά σε τῆς θείης ἀρετῆς εἰς ἴχνια θήσει.
Ναὶ μὰ τὸν ἁμετέρᾳ ψυχᾷ παραδόντα τετρακτὺν,
Παγὰν ἀενάου φύσεως. ἀλλ' ἔρχευ ἐπ' ἔργον,

Θεοῖσιν ἐπευξάμενος τελέσαι· τούτων δὲ κρατήσας,
Γνώσῃ ἀθανάτων τε θεῶν, θνητῶν τ' ἀνθρώπων
Σύστασιν, ᾗ τε ἕκαστα διέρχεται, ᾗ τε κρατεῖται·
Γνώσῃ δ', ἣ θέμις ἐστὶ, φύσιν περὶ παντὸς ὁμοίην,
Ὥστε σε μήτε ἄελπτ' ἐλπίζειν, μήτε τε λήθειν.
Γνώσῃ δ' ἀνθρώπους αὐθαίρετα πήματ' ἔχοντας.
Τλήμονες, οἵ τ' ἀγαθῶν πέλας ὄντων οὐκ ἐσορῶσιν
Οὔτε κλύουσι· λύσιν δὲ κακῶν παῦροι συνίσασι.
Τοίη μοῖρα βροτῶν βλάπτει φρένας· ὡς δὲ κύλινδροι
Ἄλλοτ' ἐπ' ἄλλα φέρονται, ἀπείρονα πήματ' ἔχοντες.
Λυγρὴ γὰρ συνοπαδὸς ἔρις βλάπτουσα λέληθε
Σύμφυτος, ἣν οὐ δεῖ προσάγειν, εἴκοντα δὲ φεύγειν.
Ζεῦ πάτερ, ἦ πολλῶν κε κακῶν λύσειας ἅπαντας,
Εἰ πᾶσιν δείξαις, οἵῳ τῷ δαίμονι χρῶνται.
Ἀλλὰ σὺ θάρσει, ἐπεὶ θεῖον γένος ἐστὶ βροτοῖσιν,
Οἷς ἱερὰ προφέρουσα φύσις δείκνυσιν ἕκαστα.
Ὧν εἴ σοί τι μέτεστι, κρατήσεις, ὧν σε κελεύω,
Ἐξακέσας, ψυχὴν δὲ πόνων ἀπὸ τῶνδε σαώσεις.
Ἀλλ' εἴργου βρωτῶν, ὧν εἴπομεν, ἔν τε καθαρμοῖς,
Ἔν τε λύσει ψυχῆς κρίνων, καὶ φράζευ ἕκαστα,
Ἡνίοχον γνώμην στήσας καθύπερθεν ἀρίστην.
Ἢν δ' ἀπολείψας σῶμα, ἐς αἰθέρ' ἐλεύθερον ἔλθῃς,
Ἔσσεαι ἀθάνατος, θεὸς ἄμβροτος, οὐκέτι θνητός.

ΤΕΛΟΣ ΤΩΝ ΠΥΘΑΓΟΡΟΥ.

# ΤΥΡΤΑΙΟΥ.

ΤΕΘΝΑΜΕΝΑΙ γὰρ καλὸν ἐπὶ προμάχοισι πεσόντα
Ἄνδρ' ἀγαθὸν, περὶ ᾗ πατρίδι μαρνάμενον·
Τὴν δ' αὐτοῦ προλιπόντα πόλιν καὶ πίονας ἀγροὺς
Πτωχεύειν, πάντων ἔστ' ἀνιηρότατον,
Πλαζόμενον σὺν μητρὶ φίλῃ, καὶ πατρὶ γέροντι,
Παισί τε σὺν μικροῖς, κουριδίῃ τ' ἀδόχῳ.
Ἔχθιστος γὰρ τοῖσι μετέσσεται, οὕς κεν ἵκηται,
Χρησμοσύνῃ τ' εἴκων καὶ στυγερῇ πενίῃ·
Αἰσχύνει τε γένος, κατὰ δ' ἀγλαὸν εἶδος ἐλέγχει,
Πᾶσα δ' ἀτιμία καὶ κακότης ἕπεται.
Εἶθ' οὕτως ἀνδρός τοι ἀλωμένου οὐδεμί' ὤρη
Γίγνεται, οὔτ' αἰδὼς εἰσοπίσω τελέθει.
Θυμῷ γῆς περὶ τῆσδε μαχώμεθα, καὶ περὶ παίδων
Θνήσκωμεν, ψυχέων μηκέτι φειδόμενοι,
Ὦ νέοι, ἀλλὰ μάχεσθε παρ' ἀλλήλοισι μένοντες.
Μηδὲ φυγῆς αἰσχρᾶς ἄρχετε, μηδὲ φόβου.
Ἀλλὰ μέγαν ποιεῖτε καὶ ἄλκιμον ἐν φρεσὶ θυμὸν,
Μηδὲ φιλοψυχεῖτ' ἀνδράσι μαρνάμενοι.
Τοὺς δὲ παλαιοτέρους, ὧν οὐκέτι γούνατ' ἐλαφρὰ,
Μὴ καταλείποντες φεύγετε τοὺς γεραιούς.
Αἰσχρὸν γὰρ δὴ τοῦτο, μετὰ προμάχοισι πεσόντα,
Κεῖσθαι πρόσθε νέων ἄνδρα παλαιότερον,

Ἤδη λευκὸν ἔχοντα κάρη, πολιόν τε γένειον,
Θυμὸν ἀποπνείοντ' ἄλκιμον ἐν κονίῃ,
Αἱματόεντ' αἰδοῖα φίλαις ἐν χερσὶν ἔχοντα,
(Αἰσχρὰ τά γ' ὀφθαλμοῖς καὶ νεμεσητὸν ἰδεῖν)
Καὶ χρόα γυμνωθέντα· νέοισι δὲ πάντ' ἐπέοικεν·
Ὄφρ' ἄρα τῆς ἥβης ἀγλαὸν ἄνθος ἔχῃ,
Ἀνδράσι μὲν θνητὸς ἰδεῖν, ἐρατός τε γυναιξὶ,
Ζωὸς ἐὼν, καλὸς δ' ἐν προμάχοισι πεσών.
Ἀλλ' Ἡρακλῆος γὰρ ἀνικήτου γένος ἐστέ.
Θαρσεῖτ', οὔτω Ζεὺς αὐχένα λοξὸν ἔχει.
Μηδ' ἀνδρῶν πληθὺν δειμαίνετε, μηδὲ φοβεῖσθε
Ἰθὺς δ' ἐς προμάχους ἀσπίδ' ἀνὴρ ἐχέτω,
Ἐχθρὰν μὲν ψυχὴν θέμενος, θανάτου δὲ μελαίνας
Κῆρας ἴσ' αὐγαῖσιν ἠελίοιο φίλας.
Ἴστε γὰρ ὡς Ἄρεως πολυδακρύου ἔργ' ἀρίδηλα,
Εὖ δ' ὀργὴν ἐδάητ' ἀργαλέου πολέμου·
Καὶ πρὸς φευγόντων τε διωκόντων τ' ἐγένεσθε,
Ὦ νέοι, ἀμφοτέρων δ' εἰς κόρον ἠλάσατε.
Οἳ μὲν γὰρ τολμῶσι, παρ' ἀλλήλοισι μένοντες,
Εἴς τ' αὐτοσχεδίην καὶ προμάχους ἰέναι,
Παυρότεροι θνήσκουσι, σάουσι δὲ λαὸν ὀπίσσω.
Τρεσσάντων δ' ἀνδρῶν πᾶσ' ἀπόλωλ' ἀρετή.
Οὐδεὶς ἄν ποτε ταῦτα λέγων ἀνύσειεν ἕκαστα,
Ὅσσ' ἐὰν αἰσχρὰ πάθῃ, γίγνεται ἀνδρὶ κακά.
Ἀργαλέον γὰρ ὄπισθε μετάφρενόν ἐστι δαΐζειν
Ἀνδρὸς φεύγοντος δηΐῳ ἐν πολέμῳ,

Αἰσχρὸν δ' ἔστι νέκυς κατακείμενος ἐν κονίῃσι,
Νῶτον ὄπισθ' αἰχμῇ δουρὸς ἐληλαμένος.
Ἀλλά τις εὖ διαβὰς μενέτω, ποσὶν ἀμφοτέροισι
Στηριχθεὶς ἐπὶ γῆς, χεῖλος ὀδοῦσι δακών,
Μηρούς τε κνήμας τε κάτω, καὶ στέρνα, καὶ ὤμους
Ἀσπίδος εὐρείης γαστρὶ καλυψάμενος·
Δεξιτερῇ δ' ἐν χειρὶ τινασσέτω ὄβριμον ἔγχος,
Κινείτω δὲ λόφον δεινὸν ὑπὲρ κεφαλῆς.
Ἔρδων δ' ὄβριμα ἔργα, διδασκέσθω πολεμίζειν,
Μηδ' ἐκτὸς βελέων ἑστάτω ἀσπίδ' ἔχων.
Ἀλλά τις ἐγγὺς ἰὼν, αὐτοσχεδὸν ἔγχεϊ μακρῷ
Ἢ ξίφει οὐτάζων, δήϊον ἄνδρ' ἑλέτω·
Καὶ πόδα πὰρ ποδὶ θεὶς, καὶ ἐπ' ἀσπίδος ἀσπίδ' ἐρείσας,
Ἐν δὲ λόφον τε λόφῳ, καὶ κυνέην κυνέῃ,
Καὶ στέρνον στέρνῳ, πεπλημένος ἀνδρὶ μαχέσθω,
Ἢ ξίφεος κώπην, ἢ δόρυ μακρὸν ἑλών·
Ὑμεῖς δ', ὦ γυμνῆτες, ὑπ' ἀσπίδος ἄλλοθεν ἄλλος
Πτώσσοντες, μεγάλοις σφάλλετε χερμαδίοις,
Δούρασί τε ξεστοῖσιν ἀκοντίζοντες ἐς αὐτοὺς
Τοῖσι πανοπλίταις ἐγγύθεν ἱστάμενοι.

Οὔτ' ἂν μνησαίμην, οὔτ' ἐν λόγῳ ἄνδρα τιθείμην,
Οὔτε ποδῶν ἀρετῆς, οὔτε παλαισμοσύνης,
Οὐδ' εἰ Κυκλώπων μὲν ἔχοι μέγεθός τε βίην τε,
Νικῴη δὲ θέων Θρηΐκιον Βορέην·
Οὐδ' εἰ Τιθωνοῖο φυὴν χαριέστερος εἴη,
Πλουτοίη δὲ Μίδεω καὶ Κινύρεω βάθιον,

Οὐδ' εἰ Τανταλίδεω Πέλοπος βασιλεύτερος εἴη,
Γλῶσσαν δ' Ἀδρήστου μειλιχόγηρυν ἔχοι,
Οὐδ' εἰ πᾶσαν ἔχοι δόξαν, πλὴν θούριδος ἀλκῆς.
Οὐ γὰρ ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ,
Εἰ μὴ τετλαίη μὲν ὁρῶν φόνον αἱματόεντα,
Καὶ δηΐων ὀρέγοιτ' ἐγγύθεν ἱστάμενος.
Ἡ δ' ἀρετὴ, τό γ' ἄριστον ἐν ἀνθρώποισιν ἄεθλον,
Κάλλιστόν τε φέρειν γίγνεται ἀνδρὶ νέῳ.
Ξυνὸν δ' ἐσθλὸν τοῦτο πόληΐ τε παντί τε δήμῳ,
Ὅςτις ἀνὴρ διαβὰς ἐν προμάχοισι μένῃ
Νωλεμέως, αἰσχρᾶς δὲ φυγῆς ἐπὶ πάγχυ λάθηται,
Ψυχὴν καὶ θυμὸν τλήμονα παρθέμενος,
Θαρσύνῃ δὲ πεσεῖν τὸν πλησίον ἄνδρα παρεστώς.
Οὗτος ἀνὴρ ἀγαθὸς γίγνεται ἐν πολέμῳ·
Αἶψα δὲ δυσμενέων ἀνδρῶν ἔτρεψε φάλαγγας
Τρηχείας, σπουδῇ τ' ἔσχεθε κῦμα μάχης.
Αὐτὸς δ' ἐν προμάχοισι πεσὼν φίλον ὤλεσε θυμὸν,
Ἄστυ τε, καὶ λαοὺς, καὶ πατέρ' εὐκλεΐσας,
Πολλὰ διὰ στέρνοιο, καὶ ἀσπίδος ὀμφαλοέσσης,
Καὶ διὰ θώρηκος πρόσθεν ἐληλαμένος.
Τὸν δ' ὀλοφύρονται μὲν ὁμῶς νέοι ἠδὲ γέροντες,
Ἐργαλέῳ τε πόθῳ πᾶσα κέκηδε πόλις.
Καὶ τύμβος, καὶ παῖδες ἐν ἀνθρώποις ἀρίσημοι,
Καὶ παίδων παῖδες, καὶ γένος ἐξοπίσω.
Οὐδέποτε κλέος ἐσθλὸν ἀπόλλυται, οὐδ' ὄνομ' αὐτοῦ·
Ἀλλ' ὑπὸ γῆς περ ἐὼν γίγνεται ἀθάνατος,
Ὅν τιν' ἀριστεύοντα, μένοντά τε, μαρνάμενόν τε
Γῆς πέρι καὶ παίδων, θοῦρος Ἄρης ὀλέσῃ.

Ἢν δὲ φύγῃ μὲν κῆρα τανηλεγέος θανάτοιο,
  Νικήσας δ' αἰχμῆς ἀγλαὸν εὖχος ἕλῃ,
Πάντες μιν τιμῶσιν ὁμῶς νέοι ἠδὲ παλαιοὶ,
  Πολλὰ δὲ τερπνὰ παθὼν ἔρχεται εἰς Ἀΐδην.
Γηράσκων δ' ἀστοῖσι μεταπρέπει, οὐδέ τις αὐτὸν
  Βλάπτειν οὔτ' αἰδοῦς, οὔτε δίκης ἐθέλει·
Πάντες δ' ἐν θώκοισιν ὁμῶς νέοι, οἵ τε κατ' αὐτὸν,
  Εἴκουσ' ἐκ χώρης, οἵ τε παλαιότεροι.
Ταύτης νῦν τις ἀνὴρ ἀρετῆς εἰς ἄκρον ἱκέσθαι
  Πειράσθω θυμῷ, μὴ μεθιεὶς πόλεμον.

## ΤΕΛΟΣ ΤΩΝ ΤΥΡΤΑΙΟΥ.

# ΚΩΜΙΚΩΝ

## *ΤΙΝΩΝ ΠΑΛΑΙΩΝ ΓΝΩΜΑΙ.*

### ΕΚ ΤΩΝ ΑΛΕΞΙΔΟΣ.

Ει τοῦ μεθύσκεσθαι πρότερον τὸ κραιπαλᾷν
Παραγένεθ' ἡμῖν, οὐδ' ἂν εἰς οἰνόν ποτε
Προσίετο πλεῖον τοῦ μετρίου· νυνὶ δὲ τὴν
Τιμωρίαν οὐ προσδοκῶντες τῆς μέθης
Ἥξειν, προχείρως τοὺς ἀκράτους πίνομεν.

Ὁμοιότατον ἄνθρωπος οἴνῳ τὴν φύσιν
Τρόπον τιν' ἐστί. καὶ γὰρ οἶνον τὸν νέον
Πολλή γ' ἀνάγκη καὶ τὸν ἄνδρ' ἀποζέσαι
Πρώτιστον, ἀφυβρίσαι τ'· ἀπανθήσαντα δὲ,
Σκληρὸν γενέσθαι· παρακμάσαντα δ', ὧν λέγω
Τούτων ἁπάντων, ἀπαρυθέντα τὴν ἄνω
Ταύτῃ ἄνοιαν ἐπιπολάζουσαν, ποτὲ
Πότιμον γενέσθαι, καὶ καταστῆναι πάλιν,
Ἡδὺν θ' ἅπασι τοὐπίλοιπον διατελεῖν.

Οὐκ ἔστιν οὔτε τεῖχος, οὔτε χρήματα,
Οὔτ' ἄλλο δυσφύλακτον οὐδὲν, ὡς γυνή.

## ΕΚ ΤΩΝ ΑΜΦΙΔΟΣ.

Ἐν οἷς ἂν ἀτυχήσῃ τις ἄνθρωπος τόποις,
Ἥκιστα τούτοις πλησιάζων ἥδεται.
Ὅστις γὰρ ὀμνύοντι μηδὲν πείθεται,
Αὐτὸς ἐπιορκεῖν ῥᾳδίως ἐπίσταται.

---

## ΕΚ ΤΩΝ ΑΝΑΞΑΝΔΡΙΔΟΥ.

Ὅστις λόγους γὰρ, παρακαταθήκην ὡς, λαβὼν,
Ἐξεῖπεν, ἄδικός ἐστιν, ἢ ἀκρατὴς ἄγαν.
Ὁ μὲν διὰ κέρδος, ἄδικος· ὁ δὲ τούτου δίχα,
Ἀκρατής. ἴσως δέ γ' εἰσὶν ἀμφότεροι κακοί.

Οὔ τοι τὸ γῆράς ἐστιν, ὡς οἴει, πάτερ,
Τῶν φορτίων μέγιστον, ἀλλ' ὃς ἂν φέρῃ
Ἀγνωμόνως αὔθ', οὗτός ἐστιν αἴτιος·
Ὁ δ' εὐκόλως, ἐνίοτε κοιμίζειν ποιεῖ,
Μεταλαμβάνων ἐπιδέξι' αὐτοῦ τὸν τρόπον,
Λύπην ἀφαιρῶν, ἡδονήν τε προστιθείς.
Λύπην δ' ἐποίησ', ὅστις εἶχε δυσκόλως.

---

## ΕΚ ΤΩΝ ΑΝΤΙΦΑΝΟΥΣ.

Δέσποιν', ὅταν τις ὀμνύοντος καταφρονῇ,
Ὧ μὴ ξύνοιδε πρότερον ἐπιορκηκότι,

Οὗτος καταφρονεῖν τῶν θεῶν ἐμοὶ δοκεῖ,
Καὶ πρότερον ὀμόσας αὐτὸς ἐπιωρκηκέναι.

Ἐπὶ χρήμασιν ἰδὼν ἔμπειρος φρονεῖ μέγα,
Ὧν ἐστὶ πάντων ἐνίοτ' ἄνεμος κύριος.

Κρύψαι, Φειδία,
Ἅπαντα τἄλλα τις δύναιτ' ἂν, πλὴν δυοῖν,
Οἶνόν τε πίνων, εἰς ἔρωτά τ' ἐμπεσών.
Ἀμφότερα μηνύει γὰρ ἀπὸ τῶν βλεμμάτων,
Καὶ τῶν λόγων αὖ· ὥστε τοὺς ἀρνουμένους
Μάλιστα ταῦτα καταφανεῖς πολλοὺς ποιεῖν.

Οὐκ ἔστιν οὐδὲν βαρύτερον τῶν φορτίων
Ὄντως γυναικὸς προῖκα πολλὴν φερομένης.

Πενθεῖν δὲ μετρίως τοὺς προσήκοντας φίλους.
Οὐ γὰρ τεθνᾶσιν, ἀλλὰ τὴν αὐτὴν ὁδὸν,
Ἣν πᾶσιν ἐλθεῖν ἔστ' ἀναγκαίως ἔχον,
Προεληλύθασιν· εἶτα χ' ἡμεῖς ὕστερον
Ἐς ταὐτὸ καταγώγειον αὐτοῖς ἥξομεν,
Κοινῇ τὸν ἄλλον συνδιατρίψοντες χρόνον.

Πλοῦτος δὲ βάσανός ἐστιν ἀνθρώπου τρόπων.
Ὅταν εὐπορῶν γὰρ αἰσχρὰ πράττῃ πράγματα·
Τί τοῦτον ἀπορήσαντ' ἂν οὐκ οἴει ποιεῖν;

Πρὸς γὰρ τὸ γῆρας, ὥσπερ ἐργαστήριον,
Ἅπαντα τἀνθρώπεια προσφοιτᾷ κακά.

Σφόδρ' ἐστὶν ἡμῶν ὁ βίος οἴνῳ προσφερής.
Ὅταν ᾖ τὸ λοιπὸν μικρὸν, ὄξος γίγνεται.

Καλῶς πένεσθαι μᾶλλον, ἢ πλουτεῖν κακῶς.
Τὸ μὲν γὰρ ἔλεον, τὸ δ' ἐπιτίμησιν φέρει.

Τί δ'; οὐχὶ θανάτου μισθοφόρος, ὦ φιλτάτη,
Ὃς ἕνεκα τοῦ ζῆν ἔρχετ' ἀποθανούμενος;

Τὸ γῆρας ὥσπερ βωμός ἐστι τῶν κακῶν.
Πάντ' ἔστ' ἰδεῖν ἐς τοῦτο καταπεφευγότα.

Τοῦ γὰρ ποτ' ἄλλου, πρὸς θεῶν, τις οὕνεκα
Εὔξαιτο πλουτεῖν, εὐπορεῖν τε χρημάτων,
Ἢ τοῦ δύνασθαι παραβοηθεῖν τοῖς φίλοις,
Σπείρειν τε καρπὸν Χάριτος, ἡδίστης θεῶν;
Τοῦ γὰρ πιεῖν τε καὶ φαγεῖν τὰς ἡδονὰς
Ἔχομεν ὁμοίας· οὐχὶ τοῖς λαμπροῖσι δὲ
Δείπνοις τὸ πεινῆν παύεται.

## ΕΚ ΤΩΝ ΑΠΘΛΛΟΔΩΡΟΥ

ΚΑΙ κλείεθ' ἡ θύρα μοχλοῖς· ἀλλ' οὐδὲ εἷς
Τέκτων ὀχυρὰν οὕτως ἐποίησεν θύραν,
Δι' ἧς γαλῆ καὶ μοιχὸς οὐκ εἰσέρχεται.

Ὅτε μειράκιον ἦν, τοὺς ἀώρους ἠλέουν·
Νυνὶ δ' ὅταν γέροντος ἐκφορὰν ἴδω,
Κλαίω. πρὸς ἐμὲ γάρ ἐστι τοῦτ' ἐκεῖν' ὁδοῦ.

Οὐδέποτ' ἀθυμεῖν τὸν κακῶς πράττοντα δεῖ,
Ἄνδρες, τὰ βελτίω δὲ προσδοκᾶν ἀεί.

Τὰ μεγάλα δῶρα τῆς τύχης ἔχει φόβον.
Καὶ τὸ πάνυ λαμπρὸν οὐκ ἀκίνδυνον κυρεῖ·
Οὐδ' ἀσφαλὲς πᾶν ὕψος ἐν θνητῷ γένει,
Ὃ περιέτριψεν ἢ χρόνος τις ἢ φθόνος,
Ἐπὰν ἐπ' ἄκρον τις τοῦ καλῶς πράττειν δράμῃ.
Ἡ δὲ μεσότης ἐν πᾶσιν ἀσφαλεστέρα,
Τῷ μήτε λίαν ἐν ταπεινῷ τῆς τύχης
Μέρει φέρεσθαι, μήτ' ἐν ὑψηλῷ πάλιν.
Κἂν γὰρ πέσῃ τις ἐξ ἐλάττονος μέτρου,
Εὐπερικάλυπτον ἔσχε τὴν δυσπραξίαν·
Ὄγκου δὲ μεγάλου πτῶμα γίγνεται μέγα.
Πρὸς γὰρ τὸ λαμπρὸν ὁ φθόνος βιάζεται,
Σφάλλει δ' ἐκείνους, οὓς ἂν ὑψώσῃ τύχη.

---

## ΕΚ ΤΩΝ ΔΙΦΙΛΟΥ.

Εὖ γ' ὁ κατάχρυσος εἶπε τοῦτ' Εὐριπίδης·
» Νικᾷ δὲ χρεία μ', ἡ κακῶς τ' ὀλουμένη
Γαστήρ. » ταλαιπωρότερον οὐδέν ἐστι γὰρ
Τῆς γαστρὸς, εἰς ἣν πρῶτον ἂν πάντ' ἐμβάλοις,
Ἀλλ' οὐχ ἕτερον ἀγγεῖον. ἐν πήρᾳ φέροις
Ἄρτους ἄν, ἀλλ' οὐ ζωμὸν, ἢ διαφθερεῖς·
Εἰς σπυρίδα μάζας ἐμβαλεῖς, ἀλλ' οὐ φακῆν·
Οἰνάριον εἰς λάγηνον, ἀλλ' οὐ κάραβον.

Ὡς τὴν θεοῖς ἐχθρὰν δὲ ταύτην εἰσφορεῖς
Τὰ πάνθ', ἑαυτοῖς οὐδὲν ὁμολογούμενα.
Κοὐ προστίθημι τἆλλα, διότι πανταχοῦ
Διὰ τὴν τάλαιναν πάντα ταῦτα γίγνεται.

Ὅστις γὰρ αὐτὸς αὑτὸν οὐκ αἰσχύνεται
Συνειδόθ' αὑτῷ φαῦλα διαπεπραγμένῳ,
Πῶς τόν γε μηδὲν εἰδότ' αἰσχυνθήσεται;

Πένητος ἀνδρὸς οὐδὲν εὐτυχέστερον.
Τὴν γὰρ ἐπὶ τὸ χεῖρον μεταβολὴν οὐ προσδοκᾷ.

## ΕΚ ΤΩΝ ΜΕΝΑΝΔΡΟΥ.

Ἀιεὶ κράτιστόν ἐστι τἀληθῆ λέγειν
Ἐν παντὶ καιρῷ. τοῦτ' ἐγὼ παρεγγυῶ
Εἰς ἀσφάλειαν τῷ βίῳ πλεῖστον μέρος.

Ἂν μὲν πλέωμεν ἡμερῶν που τεττάρων,
Σκεπτόμεθα τἀναγκαῖ' ἑκάστης ἡμέρας·
Δέον δὲ φείσασθαί τι τοῦ γήρως χάριν,
Οὐ φειδόμεσθ', ἐφόδια περιποιούμενοι.

Ἅπαντα τὰ ζῷ' ἐστὶ μακαριώτερα
Καὶ νοῦν ἔχοντα μᾶλλον ἀνθρώπου πολύ.
Τὸν ὄνον ὁρᾶν ἔξεστι πρῶτα τουτονί.
Οὗτος κακοδαίμων ἐστὶν ὁμολογουμένως·
Τούτῳ κακὸν δι' αὑτὸν οὐδὲν γίγνεται·
Ἃ δ' ἡ φύσις δέδωκε, ταῦτ' ἔχει μόνα.

Ὑμεῖς δ', χωρὶς τῶν ἀναγκαίων κακῶν,
Αὐτοὶ παρ' αὐτῶν ἕτερα προσπορίζομεν.
Λυπούμεθ', ἂν πτάρῃ τις· ἂν εἴπῃ κακῶς,
Ὀργιζόμεθ'· ἂν ἴδῃ τις ἐνύπνιον, σφόδρα
Φοβούμεθ'· ἂν γλαὺξ ἀνακράγῃ, δεδοίκαμεν.
Ἀγωνία, δόξαι, φιλοτιμίαι νόμοι,
Ἅπαντα ταῦτ' ἐπίθετα τῇ φύσει κακά.

Γέρων γέροντι γλῶτταν ἡδίστην ἔχει,
Παῖς παιδὶ, καὶ γυναικὶ πρόσφορον γυνὴ,
Νοσῶν τ' ἀνὴρ νοσοῦντι· καὶ δυσπραξίᾳ
Ληφθεὶς, ἐπῳδός ἐστι τῷ πειρωμένῳ·

Σ· πρὸς τὸ πρᾶγμ' ἔχω.
Κακῶς. Λ. ἐπαριστερῶς γὰρ αὐτὸ λαμβάνεις.
Τὰ δυσχερῆ γὰρ καὶ τὰ λυπήσαντά σε
Ὁρᾷς ἐν αὐτῷ· τὰ δ' ἀγάθ' οὐκ ἐπιβλέπεις.
Εὕροις δ' ἂν οὐδὲν τῶν ἁπάντων, Σιμύλε,
Ἀγαθὸν, ὅπου τι μὴ πρόσεστι καὶ κακόν.
Γυνὴ πολυτελὴς, ἔστ' ὀχληρὸν, οὐδ' ἐᾷ
Ζῆν τὸν λαβόνθ', ὡς βούλετ'· ἀλλ' ἔνεστί τι
Ἀγαθὸν ἀπ' αὐτῆς, παῖδες· ἐλθόντ' εἰς νόσον,
Τὸν ἔχοντα ταύτην ἐθεράπευσεν ἐπιμελῶς·
Ἀτυχοῦντι συμπαρέμεινεν· ἀποθανόντα τε
Ἔθαψε· περιέστειλεν οἰκείως. ὅρα
Εἰς ταῦθ', ὅταν λυπῇ τι τῶν καθ' ἡμέραν.
Οὕτω γὰρ οἴσεις πᾶν τὸ πρᾶγμ'· ἂν δ' ἐκλέγῃς
Ἀεὶ τὸ λυποῦν, μηδὲν ἀντιπαρατιθεὶς
Τῶν προσδοκωμένων, ὀδυνήσῃ διὰ τέλους.

Εἰ γὰρ ἐγένου σὺ, Τρόφιμε, τῶν πάντων μόνος,
Ὅτ' ἔτικτεν ἡ μήτηρ σ', ἐφ' ᾧ γε διατελεῖν
Πράττων, ἃ βούλει, καὶ διευτυχῶν ἀεὶ,
Καὶ τοῦτο τῶν θεῶν τις ὡμολόγησέ σοι,
Ὀρθῶς ἀγανακτεῖς· ἔστι γάρ σ' ἐψευσμένος,
Ἄτοπόν τε πεποίηκ'· εἰ δ' ἐπὶ τοῖς αὐτοῖς νόμοις,
Ἐφ' οἷσπερ ἡμεῖς, ἔσπασας τὸν ἀέρα
Τὸν κοινὸν, ἵνα σοί τι τραγικώτερον λαλῶ,
Οἰστέον ἄμεινον ταῦτα καὶ λογιστέον,
Τὸ δὲ κεφάλαιον τῶν λόγων· ἄνθρωπος εἶ,
Οὗ μεταβολὴν θᾶττον πρὸς ὕψος, καὶ πάλιν
Ταπεινότητα, ζῶον οὐδὲν λαμβάνει·
Καὶ μάλα δικαίως· ἀσθενέστερον γὰρ ὂν
Φύσει, μεγίστοις οἰκονομεῖται πράγμασιν·
Ὅταν πέσῃ δὲ, πλεῖστα συντρίβει καλά.
Σὺ δ' οὔθ' ὑπερβάλλοντα, Τρόφιμ', ἀπώλεσας
Ἀγαθά· τὰ νυνὶ δ' ἐστὶ μέτρια σοι κακά.
Ὡς τἀνάμεσόν που καὶ τὸ λοιπὸν εὖ φέρε.

Εἰρήνη γεωργὸν κἂν πέτραις
Τρέφει καλῶς· πόλεμος δὲ κἂν πεδίῳ κακῶς.

Θυγάτηρ ἐπίγαμος, κἂν ὅλως μηδὲν λαλῇ,
Διὰ τοῦ σιωπᾶν πλεῖστα περὶ αὐτῆς λέγει.

Πλεονεξία μέγιστον ἀνθρώποις κακόν.
Οἱ γὰρ θέλοντες προσλαβεῖν τὰ τῶν πέλας,
Ἀποτυγχάνουσι πολλάκις νικώμενοι,
Τὰ δ' ἴδια προστιθέασι τοῖς ἀλλοτρίοις.

Οὐπώποτ' ἐζήλωσα πολυτελῆ νεκρόν.
Εἰς τὸν ἴσον οἶκον τῷ σφόδρ' ἔρχετ' εὐτελεῖ.

Μὴ τοῦτο βλέψῃς, εἰ νεώτερος λέγω,
Ἀλλ' εἰ φρονούντων τοὺς λόγους ἀνδρῶν ἐρῶ·

Ὁ σκληρότατος πρὸς υἱὸν ἐν τῷ νουθετεῖν,
Τοῖς μὲν λόγοις πικρός ἐστι, τοῖς δ' ἔργοις πατήρ.

Ὅστις δὲ διαβολαῖσι πείθεται ταχὺ,
Ἤτοι πονηρὸς αὐτός ἐστι τοὺς τρόπους,
Ἢ παντάπασι παιδαρίου γνώμην ἔχει.

Οὔτ' ἐκ χερὸς μεθέντα καρτερὸν λίθον
Ῥᾷον κατασχεῖν, οὔτ' ἀπὸ γλώττης λόγον.
Οὗτος κράτιστός ἐστ' ἀνὴρ, ὦ Γοργία,
Ὅστις ἀδικεῖσθαι πλεῖστ' ἐπίσταται βροτῶν.

Τὸ κουφότατόν σε τῶν κακῶν πάντων δάκνει,
Πενία. τί γὰρ τοῦτ' ἔστιν; ἧς γένοιτ' ἂν εἷς
Φίλος, βοηθήσας, ἰατρὸς ῥᾳδίως;

Τρία γάρ ἐστι, δέσποτα,
Δι' ὧν ἅπαντα γίγνετ', ἢ κατὰ τοὺς νόμους,
Ἢ ταῖς ἀνάγκαις, ἢ τὸ τρίτον ἔθει τινί.

Τῷ μὲν τὸ σῶμα διατεθειμένῳ κακῶς
Χρεία 'στὶν ἰατροῦ· τῷ δὲ τὴν ψυχὴν, φίλου.
Λύπην γὰρ εὔνους οἶδε θεραπεύειν λόγος.

Ὑπερήφανόν που γίγνεθ' ἡ λίαν τρυφή·
Ὅ τε πλοῦτος ἐξώκειλε τὸν κεκτημένον

...ς ἕτερον ἦθος, οὐχ ἐν ᾧ τὸ πρόσθεν ἦν.

Ὤμην ἐγὼ τοὺς πλουσίους, ὦ Φανία,
Οἷς μὴ τὸ δανείζεσθαι πρόσεστιν, οὐ στένειν
Τὰς νύκτας, οὐδὲ στρεφομένους ἄνω κάτω
ΟΙΜΟΙ λέγειν, ἡδὺν δὲ καὶ πρᾷόν τινα
Ὕπνον καθεύδειν, ἀλλὰ τῶν πτωχῶν τινά.
Νυνὶ δὲ καὶ τοὺς μακαρίους καλουμένους
Ὑμᾶς, ὁρῶ ποιοῦντας ἡμῖν ἐμφερῆ.

Ἀλλ' ὅταν ἐρῶντα νοῦν ἔχειν τις ἀξιοῖ,
παρὰ τίνι τἀνόητον οὗτος ὄψεται;

Ὁ προκαταγιγνώσκων δὲ, πρὶν ἀκοῦσαι σαφῶς,
Αὐτὸς πονηρός ἐστι, πιστεύσας κακῶς.

Πολλοὺς δι' ἀνάγκην γὰρ πονηροὺς οἶδ' ἐγὼ,
Ὅταν ἀτυχήσωσιν, γεγονότας, οὐ φύσει
Ὄντας τοιούτους.

## ΕΚ ΤΩΝ ΦΙΛΗΜΟΝΟΣ.

ΑΓΑΘΗΣ γυναικός ἐστιν, ὦ Νικοστράτη,
Μὴ κρείττον' εἶναι τἀνδρὸς, ἀλλ' ὑπήκοον.
Γυνὴ δὲ νικῶσ' ἄνδρα, κακόν ἐστιν μέγα.
Ἀνὴρ δίκαιός ἐστιν, οὐχ ὁ μὴ ἀδικῶν,
Ἀλλ' ὅστις, ἀδικεῖν δυνάμενος, μὴ βούλεται.
Οὐδ' ὃς τὰ μικρὰ λαμβάνειν ἀπέσχετο,
Ἀλλ' ὃς τὰ μεγάλα καρτερεῖ μὴ λαμβάνων,
Ἔχειν δυνάμενος καὶ κρατεῖν ἀζημίως.

Οὐδ' ὅς γε ταῦτα πάντα διατηρεῖ μόνον.
Ἀλλ' ὅστις ἄδολον γνησίαν τ' ἔχων φύσιν,
Εἶναι δίκαιος, κοὐ δοκεῖν εἶναι θέλει.

Εἴ τις δὲ θυσίαν προσφέρων, ὦ Πάμφιλε,
Ταύρων γε πλῆθος, ἢ ἐρίφων, ἢ νὴ Δία
Ἑτέρων τοιούτων, ἢ κατασκευάσματα,
Χρυσᾶς ποιήσας χλαμύδας, ἤτοι πορφυρᾶς,
Ἢ δί ἐλέφαντος, ἢ σμαράγδου ζώδια,
Εὔνουν νομίζει τὸν θεὸν καθιστάναι,
Πεπλάνητ' ἐκεῖνος, καὶ φρένας κούφας ἔχει.
Δεῖ γὰρ τὸν ἄνδρα χρήσιμον πεφυκέναι,
Μὴ παρθένους φθείροντα, μὴ μοιχώμενον,
Κλέπτοντα, καὶ σφάττοντα χρημάτων χάριν.

* * * * * * * * * * * *

Μηδὲ βελόνης,
Ὦ φίλτατ', ἐπιθύμησον ἀλλοτρίας ποτέ.
Ὁ θεὸς γὰρ ἔργοις τοῖς δικαίοις ἥδεται
Πονοῦντα δ' ἐᾷ τὸν ἴδιον ὑψῶσαι βίον,
Τὴν γῆν ἀροῦντα νύκτα καὶ τὴν ἡμέραν.
Θεῷ δὲ θῦε διὰ τέλους δίκαιος ὤν,
Μὴ λαμπρὸς ὢν ταῖς χλαμύσιν ὡς τῇ καρδία.
Βροντῆς δ' ἀκούσας, μηδαμῶς πόρρω φύγῃς,
Μηδὲν συνειδὼς αὐτὸς αὑτῷ, δέσποτα.
Ὁ γὰρ θεὸς βλέπει σε πλησίον παρών·

Ἥδιον οὐδὲν, οὐδὲ μουσικώτερον
Ἔστ', ἢ δύνασθαι λοιδορούμενον φέρειν.

Ὁ λοιδορῶν γὰρ, ἐὰν ὁ λοιδορούμενος
Μὴ προσποιῆται, λοιδορεῖται λοιδορῶν.

Κἂν δοῦλος ᾖ τις, οὐδὲν ἧττον, δέσποτα,
Ἄνθρωπος οὗτός ἐστιν, ἂν ἄνθρωπος ᾖ.

Οὐκ ἔστιν ἡμῖν οὐδεμία Τύχη θεὸς,
Οὐκ ἔστιν· ἀλλὰ ταὐτόματον, ὃ γίγνεται,
Ὡς ἔτυχ' ἑκάστῳ, προσαγορεύεται Τύχη.

Οὔτε γὰρ ἰατρὸς οὐδὲ εἷς, ἂν εὖ σκοπῇς,
Τοὺς αὐτὸς αὑτοῦ βούλεθ' ὑγειαίνειν φίλους,
Οὔτε στρατιώτης πόλιν ὁρᾷν ἄνευ κακοῦ.

Πάντ' ἐστὶν ἐξευρεῖν, ἐὰν μὴ τὸν πόνον
Φεύγῃ τις, ὃς πρόσεστι τοῖς ζητουμένοις.

Πολὺ μεῖζόν ἐστι τοῦ κακῶς ἔχειν κακὸν,
Τὸ καθ' ἕνα πᾶσι τοῖς ἐπισκοπουμένοις
Δεῖν τὸν κακῶς ἔχοντα, πῶς ἔχει λέγειν.

Α. Σύρα, Σύρα. Σ. Τί ἐστι; Α. Πῶς ἡμῖν ἔχεις;
Σ. Μηδέποτ' ἐρώτα τοῦτ', ἐπὰν γέροντ' ἴδῃς,
Ἢ γραῦν τιν'· ἴσθι δ' εὐθὺς, ὅτι κακῶς ἔχει.

Ἄνθρωπον ὄντα ῥᾴδιον παραινέσαι
Ἐστὶν, ποιῆσαι δ' αὐτὸν οὐχὶ ῥᾴδιον.
Τεκμήριον δὲ τοὺς ἰατροὺς οἶδ' ἐγὼ
Ὑπὲρ ἐγκρατείας τοῖς νοσοῦσιν εὖ σφόδρα
Πάντας λαλοῦντας· εἶτ' ἐπὰν πταίσωσί τι,
Αὑτοὺς ποιοῦντας πάνθ', ὅσ' οὐκ εἴων τότε.
Ἕτερον τό τ' ἀλγεῖν καὶ τὸ θεωρεῖν ἔστ' ἴσως.

Α. Τίς ἐστιν οὗτος; Β. Ἰατρός. Α. Ὡς κακῶς ἔχει
Ἅπας ἰατρὸς, ἂν κακῶς μηδεὶς ἔχῃ.

Τὸν μὴ λέγοντα τῶν δεόντων μηδὲ ἓν,
Μακρὸν νόμιζε, κἂν δύ' εἴπῃ συλλαβάς.
Τὸν δ' εὖ λέγοντα μὴ νόμιζ' εἶναι μακρὸν,
Μηδ' ἂν σφόδρ' εἴπῃ πολλὰ, καὶ πολὺν χρόνον.
Τεκμήριον δὲ τοῦδε τὸν Ὅμηρον λάβε.
Οὗτος γὰρ ἡμῖν μυριάδας ἐπῶν γράφει,
Ἀλλ' οὐδὲ εἷς Ὅμηρον εἴρηκεν μακρόν.

Εἰ τὰ δάκρυ' ἡμῖν τῶν κακῶν ἦν φάρμακον,
Ἀεὶ θ' ὁ κλαύσας τοῦ πονεῖν ἐπαύετο,
Ἠλλαττόμεσθ' ἂν δάκρυα δόντες χρυσίον.
Νῦν δ' οὐ προσέχει τὰ πράγματ', οὐδ' ἀποβλέπει
Ἐς ταῦτα, δέσποτ', ἀλλὰ τὴν αὐτὴν ὁδὸν,
Ἐάν τε κλαίῃς, ἄν τε μὴ, πορεύσεται.
Τί οὖν πλέον σοί γ'; οὐδέν. ἡ λύπη δ' ἀεὶ,
Ὥσπερ τὰ δένδρα καρπὸν, ἔχει τὰ δάκρυα.

ΤΕΛΟΣ ΤΟΥ ΔΕΥΤΕΡΟΥ ΤΟΜΟΥ.

# ΠΑΡΟΡΑΜΑΤΑ.

## ΕΝ ΤΩ ΚΕΙΜΕΝΩ.

Σελ. 2. στίχ. 2. γρ. Ἔρωτα. 6. 33. Ὀπανίκα. 30. 56. Χριζός. 32. 86. τάδ'. 34. 106. τρέφε. 38. 105. Λαοφόρου. 46. 262. παραφρονέοντα. 54. 35. χαίροι. 76. 28. ἐσεῖδον. 80. 23. ἀπ' εὐώδους· 90. 42. Πάχεας 98. 2. Ἔρωτα. 112. 1. Λιγαίνειν· αὐτόθι. 2. ἐρωτικόν· 124. 3. ἐφίζων. 128. 44. τετυγμένη· 136. 151. αὐτός τοι. 138. 2. ἱμερόεντα· 140. 28. ὠδύραντο. καὶ 29· ὀδύρεται. αὐτόθι. 32. Μάλων. 142. 52. Θησεῖ. 146. 91. ἀντιδέ. 148, 108. Ἄμμες. 156. 57. βλεφάρων 158. 64. τάδ' οὐ νῦν. καὶ 65. ἤ. 174,35. δὲ ἀντὶ τοῦ δί· 176,57. εἴσ'. 181,177. δὴ ἀντὶ τοῦ δέ. 186,179. πενίῃ. 190,250. οὔτις· 192,278. μήθ'. 202,404 ᾧ. 405· θωρήξομαι. 204,436. θυμόν. 218,603. ὦμεν. 224,690. γιγνώσκοι. 234,817. ἂν ἀντὶ εἰ. 246,950. ὅν. 252,1038. μέλλει. 270, 122· περὶ ἀντὶ τοῦ παρά. 280,86. βρώσιος· 281,102, λυόμενον. 282,153. ὁπότ'. 289, 6, ἀλόχῳ. 296,5. ἔμπορος. 300,14. ἡμεῖς.

## ΕΝ ΤΗ ΠΑΡΑΦΡΑΣΕΙ.

Σελ. 5. στίχος. 20. γρ. τακεῖσα. 13. 13. εἶδε. αὐτόθι. 21. κεκμηκότες. 15. 14. εἰσι 17. 6. χλαίνῃ. 19,11. συλλέξασαν. 21. 6. δ' αὖ. αὐτόθι· 16. βλοσυρῷ. 27. 20. παριππεύοντος. 31. 10. ποδαπός. αὐτόθι. 18. ἐπῃσθημένοι. 37. 1. λευκόκνημοι. 43- 9. Ἑλικῶνι. 45. 3. βλοσυρόν. 47. 7. κατήνεγκα, 87, 3. πορφυραῖς. αὐτόθι. 11. χείλη 89. 5. ἀνυπόδητος. αὐτόθι· 17. ἀντηχοῦσιν. 91. 6. ἀπολαύσω. αὐτόθι. 14. Ἀχέροντα. αὐτόθι. 16. ἀποθανοῦσα. 93. 23. μηρούς. 101. 9. γλῶσσα· 105. 5. ἄεργος. 107. 1. νιφετούς. 111. 1. σταγόνος. 115. 21. διεζεύχθημεν. 117. 16. ἐπαφῆκας 121. 4. ὁ μηνύσων. αὐτόθι. 7. εἴκοσιν· αὐτόθι. 12. ἀπηνής. 125. 10. γυναικεία. 127. 1 αὐτῇ, αὐτόθι. 4. ὕπαρ. 129. 22. παρθένοι. 131. 6. χάρισιν. αὐτόθι. 18. μετώπῳ. αὐτόθι. 23. ἔφεσις. 133. 11. ἐπικαθεσθεῖσαι. αὐτοθι. 21. αὐτῶν· 135. 1. πομπῇ. αὐτόθι. 2. προηγεῖτο 137. 11. μεταλαβόντα. 139. 9. ἀοιδῶν. 141. 8. λανθάνων. 143. 7. ἐν ταῖς. 145. 26. ηὔφραινε. 147. 1. τεκταίνων 149. 3. σέλινα. 149. 18. ἐγχέας. 151. 2. ταχέως ἄν· 155. 14. δεξαμένην. 157. 4. οἴχεται ἀπολιπών. αὐτόθι. ἄθλων. καὶ 6. καρδίαν. 159. 7. ἀπαριθμῆσαι. 170,6. ἦν. αὐτόθι 16. εἰσὶ ἀντὶ τοῦ ἐστί. 177,22. σωτηρίας. 187,6. θηλείας. 195. 13. ἀναμοχλεύειν. 2 1,16. ἦλθον. 205,8. ὑπενδεδυμένον. 207,7. ζηλωτός. 235,11. ἀπιστήσας. 257. 15. φάρμακα.

## ΕΝ ΤΟΙΣ ΣΧΟΛΙΟΙΣ.

Σελ. 22 στίχ. 9. προθύστερον. γρ. πρωθύστερον. 27. 2. τὰ γάρ. 45. 2. ὑπ' ὀδόντας. 53. 1. διώρθωσε. καὶ 2. εἴη. 69. 2. ἀντιφιλεῖσθαι 87· 2- ἐν τοῖς 100. 3. ἀπαρκοῖ. αὐτόθι μέλψῃ. 106. 2. εἴη 120. 6. καταγεγοητευμένην. 129· 1. διὰ τούς. 137. 6. παρεισφρῆσαι· 140. 3. ταῖς θυγατράσι. 145. 1. ἐν τῇ Ἀσίᾳ 151. 2. ᾖσε. 159. 5. ἠρέθισε.

Εγραδικος εις αγορ

τας όπως και οι

γοις σου

ά

ΑΚΑΔΗΜΙΑ ΑΘΗΝΩΝ
007000079445